4. τὰ ἐμοὶ ἀρκοῦντα] Liber Lips. recte ἐμοὶ omittere videtur. ἱκανά ἐστιν τὰ ἐμοὶ Paris. A.

οὐδ' ὧς ἂν] Male ἂν omittunt edd. vett.

5. ἀπεφήνατο ὁ Σωκράτης, Ὅτι πρῶτον μὲν ὁρῶ—.] Dubito ego an ἀπεκρίνατο potius scripserit Xenophon, quem quidem verbo ἀποφαίνεσθαι sic nusquam usum commeminerim. Id hoc loco quum propter pronunciandi similitudinem facile ex illo nasci potuit tum ejusdem fortasse interpretatio est. Hesychius ἀποκρίνου, ἀποφαίνου, similiterque scholiasta Thucydidis V. 118. εἶπεν, ἀπεφήνατο. DIND.

ἢ οὔτε θεοὺς] Sic cum Stephano Camerarius. Edd. vett. Guelf. Lips. Paris. A.C.D. ἢ ὅσους.

εὖ ποιεῖν] Ad ἐράνους recte refert Zeune.

6. προστατείας] Patrocinia μετοίκων recte interpretatur Zeune comparato Polluce viii. 35.

γένηται] Weiskiana errore operarum γένητο dedit.

τριηραρχίας μισθοὺς] Mercedem remigibus et militibus pendere tunc cogebantur τριήραρχοι, postea ipsam navem apparare et instruere. Enarravit genera hæc λειτουργιῶν omnia egregie Wolfius in Prolegomenis ad Leptineam. Locus hic est memorabilis propter notam temporis, quod ab initio Dialogi definire sum conatus. Onera enim τριηράρχων pro temporibus variis varia fuerunt.

σοι προστάξουσιν, ὅσας σὺ οὐ ῥᾳδίως ὑποίσεις. Ὅπου δ' ἂν
ἐνδεῶς δόξῃς τὶ τούτων ποιεῖν, οἶδ' ὅτι σε τιμωρήσονται Ἀθη-
7 ναῖοι οὐδὲν ἧττον ἢ εἰ τὰ αὐτῶν λάβοιεν κλέπτοντα. Πρὸς δὲ
τούτοις ὁρῶ σε οἰόμενον πλουτεῖν, καὶ ἀμελῶς μὲν ἔχοντα πρὸς
τὸ μηχανᾶσθαι χρήματα, παιδικοῖς δὲ πράγμασι προσέχοντα
τὸν νοῦν, ὥσπερ ἐξόν σοι. Ὧν ἕνεκα οἰκτείρω σε, μή τι ἀνή-
8 κεστον κακὸν πάθῃς, καὶ εἰς πολλὴν ἀπορίαν καταστῇς. Καὶ
ἐμοὶ μὲν, εἴτι καὶ προσδεηθείην, οἶδ' ὅτι καὶ σὺ γινώσκεις, ὡς
εἰσὶν, οἳ καὶ ἐπαρκέσειαν, ὥστε πάνυ μικρὰ πορίσαντες, κατα-
κλύσειαν ἂν ἀφθονίᾳ τὴν ἐμὴν δίαιταν· οἱ δὲ σοὶ φίλοι, πολὺ
ἀρκοῦντα σοῦ μᾶλλον ἔχοντες τῇ ἑαυτῶν κατασκευῇ, ἢ σὺ τῇ
9 σῇ, ὅμως ὡς παρὰ σοῦ ὠφελησόμενοι ἀποβλέπουσι. Καὶ ὁ
Κριτόβουλος εἶπεν, ἐγὼ τούτοις, ὦ Σώκρατες, οὐκ ἔχω ἀντιλέ-
γειν· ἀλλ' ὥρα σοι προστατεύειν ἐμοῦ, ὅπως μὴ τῷ ὄντι οἰ-
κτρὸς γένωμαι. Ἀκούσας οὖν ὁ Σωκράτης εἶπε, καὶ σὺ θαυ-
μαστὸν δοκεῖς, ὦ Κριτόβουλε, τοῦτο σαυτῷ ποιεῖν, ὅτι ὀλίγον
μὲν πρόσθεν, ὅτε ἐγὼ ἔφην πλουτεῖν, ἐγέλασας ἐπ' ἐμοὶ ὡς

τὰ αὐτῶν] Paris. A.C.D. et Lips. τ' αὐτῶν dant. sed in Paris. A. τι αὐτῶν suprascriptum.

7. παιδικοῖς δὲ πράγμασι] Zeune πράγματα defendit contra Leonclavium delentem ita, ut interpretetur delicias, res ludicras, oblectamenta, quibus ditiores solent indulgere. Quam sententiam amplecti oportet, si volumus Xenophontem defendere a crimine chronologiæ neglectæ. Critobulus enim νεόγαμος vocatur in Symposio cap. ii. 3. quod pertinet ad Olymp. 89. 4. Hic vero Dialogus notas habet, ex quibus eum ad Olymp. 95. 1. referendum esse dixi. An dicendum, Critobulum etiam maritum indulsisse amoribus puerilibus? Maritum vero non ita recentem nec satis officiorum memorem arguunt, quæ legimus infra cap. iii. sect. 12.

ἐξόν] Male Paris. A. ἐξῆν, suprascripto ἐξοῖ.

8. εἴτι καὶ] Paris. C. D. καὶ omittunt.

κατακλύσειαν] Vulgatum κατακλύσαιεν, in Guelf. suprascriptum, ex eodem Guelf. Lips. et Victorio V. L. xxxiii. 19. correxit Zeune. Similis est dictio Æschinis contra Ctesiph. p. 504. τὸ βασιλικὸν χρυσίον ἐπικέκλυκε τὴν δαπάνην αὐτοῦ. Paulo aliter utitur verbo Euripides Troadum versu 994.

πολὺ ἀρκοῦντα] Guelf. suprascriptum habet πάνυ. male. πολὺ enim pertinet ad μᾶλλον.

ὅμως ὡς] Recte ὡς addendum vidit Stephanus; Weiske εἰς σὲ ὡς addi voluit; ita vero παρὰ σοῦ ingrate repetitur. Pro ἀποβλέπουσι simplex βλέπουσι est in Paris. A.

9. οἰκτρὸς] Male Guelf. οἰκτρῶς.

ὀλίγον] Margo Steph. cum Guelf. Paris. A. C. D. et Lips. ὀλίγῳ. Deinde καὶ οὐδὲ εἰδότι Juntina dat; Paris. A. ὡς οὐδ' οἶδ' ὅτι, sed correctum.

οὐδὲ εἰδότι, ὅ τι εἴη πλοῦτος, καὶ πρότερον οὐκ ἐπαύσω, πρὶν
ἐξήλεγξάς με καὶ ὁμολογεῖν ἐποίησας, μηδὲ ἑκατοστὸν μέρος
τῶν σῶν κεκτῆσθαι· νῦν δὲ κελεύεις με προστατεύειν σοῦ καὶ
ἐπιμελεῖσθαι, ὅπως ἂν μὴ παντάπασιν ἀληθῶς πένης γένοιο;
Ὁρῶ γάρ σε, ἔφη, ὦ Σώκρατες, ἕν τι πλουτηρὸν ἔργον ἐπιστά- 10
μενον, περιουσίαν ποιεῖν. Τὸν οὖν ἀπ᾽ ὀλίγων περιποιοῦντα
ἐλπίζω ἀπὸ πολλῶν γ᾽ ἂν πάνυ ῥᾳδίως πολλὴν περιουσίαν
ποιῆσαι. Οὔκουν μέμνησαι ἀρτίως ἐν τῷ λόγῳ, ὅτε οὐδ᾽ ἀνα- 11
γρύζειν μοι ἐξουσίαν ἐποίησας, λέγων ὅτι τῷ μὴ ἐπισταμένῳ
ἵπποις χρῆσθαι οὐκ εἴη χρήματα οἱ ἵπποι, οὐδὲ ἡ γῆ, οὐδὲ τὰ
πρόβατα, οὐδὲ ἀργύριον, οὐδὲ ἄλλο οὐδὲν ὅτῳ τὶς μὴ ἐπίσταιτο
χρῆσθαι. Εἰσὶ μὲν οὖν αἱ πρόσοδοι ἀπὸ τῶν τοιούτων· ἐμὲ δὲ
πῶς τινὶ τούτων οἴει ἂν ἐπιστηθῆναι χρῆσθαι, ᾧ τὴν ἀρχὴν οὐδὲν
πώποτ᾽ ἐγένετο τούτων; Ἀλλ᾽ ἐδόκει ἡμῖν, καὶ εἰ μὴ χρήματά 12
τις τύχοι ἔχων, ὅμως εἶναί τις ἐπιστήμη οἰκονομίας. Τί οὖν
κωλύει καὶ σὲ ἐπίστασθαι; Ὅπερ, νὴ Δία, καὶ αὐλεῖν ἂν κω-
λύσειεν ἄνθρωπον ἐπίστασθαι, εἰ μήτε αὐτὸς πώποτε κτήσαιτο
αὐλοὺς, μήτε ἄλλος αὐτῷ παράσχοι ἐν τοῖς αὐτοῦ μανθάνειν.
Οὕτω δὴ καὶ ἐμοὶ ἔχει περὶ τῆς οἰκονομίας. Οὔτε γὰρ αὐτὸς 13
ὄργανα χρήματα ἐκεκτήμην ὥστε μανθάνειν, οὔτε ἄλλος πώ-
ποτέ μοι παρέσχε τὰ ἑαυτοῦ διοικεῖν, ἀλλ᾽ ἢ σὺ νυνὶ ἐθέλεις
παρέχειν. Οἱ δὲ δήπου τὸ πρῶτον μανθάνοντες κιθαρίζειν καὶ
τὰς λύρας λυμαίνονται· καὶ ἐγὼ δὴ εἰ ἐπιχειρήσαιμι ἐν τῷ σῷ
οἴκῳ μανθάνειν οἰκονομεῖν, ἴσως ἂν καταλυμηναίμην ἄν σου τὸν
οἶκον. Πρὸς ταῦτα ὁ Κριτόβουλος εἶπε, προθύμως γε, ὦ Σώ- 14

με προστατεύειν σοῦ] Guelf. Lips. προστ. με σοῦ. Pronomen με omittunt Paris. A.C.D.

10. ὀλίγων] Margo Steph. ὀλίγου dat.

11. ὅτε οὐδ᾽] Stephani conjecturam ὅτι scribentis recte repudiavit Zeune. Vide dicta ad Hellenica vi. 4, 5. vi. 5, 46. et 47. et Wyttenbach ad Eclogas historicas p. 366.

οὐδὲν] Guelf. Lips. Paris. C. D. οὐδὲ ἕν.

ἐπιστηθῆναι] Leonclavius ἐπίστασθαι malebat, forma rariore offensus.

οὐδὲν] Edd. vett. Paris. A. C. D. Guelf. Lips. οὐδὲ, Brodæi libri οὐδέ τι, verum dedit Cast.

12. Οὕτω δὴ] Edd. vett, δὴ omittunt, sed addit margo etiam Villois.

13. ἐκεκτήμην] Margo Steph. κέκτημαι. male! deinceps οὔτε μανθάνειν Paris. C.

νυνὶ] Sic vulgatum νῦν ex Guelf. Lips. Paris. A.C.D. correxit Zeune.

καὶ ἐγὼ δὴ] Juntina καὶ ἐγὼ γὰρ.

ἐπιχειρήσαιμι ἐν τῷ σῷ] Hunc verborum ordinem servant Guelf. Lips. Paris. A. C. cum margine Villois.

κρατες, ἀποφεύγειν μοι πειρᾷ, μηδέν με συνωφελῆσαι εἰς τὸ
ῥᾷον ὑποφέρειν τὰ ἐμοὶ ἀναγκαῖα πράγματα. Οὐ μὰ Δί',
ἔφη ὁ Σωκράτης, οὐκ ἔγωγε, ἀλλ', ὅσα ἔχω, καὶ πάνυ προ-
15 θύμως ἐξηγήσομαί σοι. Οἶμαι δ' ἄν, καὶ εἰ ἐπὶ πῦρ ἐλθόντος
σου, καὶ μὴ ὄντος παρ' ἐμοί, εἰ ἄλλοσε ἡγησάμην, ὁπόθεν σοι
εἴη λαβεῖν, οὐκ ἂν ἐμέμφου μοι. Καὶ εἰ ὕδωρ παρ' ἐμοῦ αἰ-
τοῦντί σοι αὐτὸς μὴ ἔχων, ἄλλοσε καὶ ἐπὶ τοῦτο ἤγαγον, οἶδ'
ὅτι οὐδ' ἂν τοῦτό μοι ἐμέμφου. Καὶ εἰ βουλομένου μουσικὴν
μαθεῖν σου παρ' ἐμοῦ, δείξαιμί σοι πολὺ δεινοτέρους ἐμοῦ περὶ
μουσικήν, καί σοι χάριν εἰδότας, εἰ ἐθέλοις παρ' αὐτῶν μανθά-
νειν, τί ἂν ἔτι μοι ταῦτα ποιοῦντι μέμφοιο; Οὐδὲν ἂν δικαίως
16 γε, ὦ Σώκρατες. Ἐγὼ τοίνυν σοι δείξω, ὦ Κριτόβουλε, ὅσα
νῦν λιπαρεῖς παρ' ἐμοῦ μανθάνειν, πολὺ ἄλλους ἐμοῦ δεινοτέ-
ρους τοὺς περὶ ταῦτα. Ὁμολογῶ δὲ μεμεληκέναι μοι, οἵτινες
17 ἕκαστα ἐπιστημονέστατοί εἰσι τῶν ἐν τῇ πόλει. Καταμαθὼν
γάρ ποτε ἀπὸ τῶν αὐτῶν ἔργων τοὺς μὲν πάνυ ἀπόρους ὄντας,
τοὺς δὲ πάνυ πλουσίους, ἀπεθαύμασα, καὶ ἔδοξέ μοι ἄξιον εἶ-
ναι ἐπισκέψεως, ὅ τι εἴη τοῦτο. Καὶ εὗρον ἐπισκοπῶν πάνυ
18 οἰκείως ταῦτα γιγνόμενα. Τοὺς μὲν γὰρ εἰκῇ ταῦτα πράτ-
τοντας, ζημιουμένους ἑώρων, τοὺς δὲ γνώμῃ συντεταμένῃ ἐπιμε-
λουμένους, καὶ θᾶττον καὶ ῥᾷον καὶ κερδαλεώτερον κατέγνων

ubi tamen est δὲ pro δή. Vulgo ἐπιχ. verbum post οἴκῳ insertum legitur.

14. μηδέν με] Intellige ὥστε μηδὲν, aut scribe μηδέ. Insolens etiam dativus μοι verbo ἀποφεύγειν junctus.

15. ἄν, καὶ εἰ] Geminatum ἂν et εἰ negligentiam obscuritati medentem scriptoris arguit. Sed Paris. D. a prima manu οἶμαι γὰρ καὶ εἰ habet: quod probo.

ἡγησάμην] Hoc tempus ex edd. antiquis et libris scriptis recte revocavit Zeune. ἡγησαίμην dedit Stephanus, quod est in Paris. A. C. D. et marg. Villois. Deinde Paris. A. εἰ καὶ εἰ ὕδωρ. Margo habet ἢ καὶ εἰ.

σου παρ' ἐμοῦ] Guelf. Lips. Paris. A.C.D. παρ' ἡμῶν. sed vera lectio in Guelf. adscripta est.

καί σοι χάριν] Edd. vett. excepta Aldina χάριν εἰδότας σοὶ omissa copula καί. Rectum dedit Steph. Guelf. Lips.

ἐθέλοις] Sic Steph. Guelf. Lips. ἐθέλεις edd. vett. Paris. C.

δικαίως γε] Guelf. γε omisit.

16. ἄλλους ἐμοῦ δεινοτέρους τοὺς] Hunc verborum ordinem ex Guelf. Lips. et Paris. A. substitui vulgato ἄλλους δεινοτέρους ἐμοῦ τούς. Est dictum pro ἄλλους τοὺς i. e. ἄλλους τινας, trajectione simili illi sect. 8. Nec opus est correctione Leonclavii ὄντας scribentis, vel Stephani et Weiskii articulum τοὺς, quem putabant, delentium. Paris. C.D. ἐμοῦ omittunt.

18. συντεταμένῃ] Guelf. Lips. Castal. et margo Steph. συντεταγμένῃ. In Paris. A. est γνώμην.

πράττοντας. Παρ' ὧν ἂν καὶ σὲ οἶμαι, εἰ βούλοιο, μαθόντα, εἴ σοι ὁ θεὸς μὴ ἐναντιοῖτο, πάνυ ἂν δεινὸν χρηματιστὴν γενέσθαι.

CAP. III.

ΑΚΟΥΣΑΣ ταῦτα ὁ Κριτόβουλος εἶπε, νῦν τοι, ἔφη, ἐγώ
σε οὐκέτι ἀφήσω, ὦ Σώκρατες, πρὶν ἄν μοι, ἃ ὑπέσχησαι ἐν-
αντίον τῶν φίλων τουτωνὶ, ἀποδείξῃς. Τί οὖν; ἔφη ὁ Σωκρά-
της, ὦ Κριτόβουλε, ἤν σοι ἀποδεικνύω πρῶτον μὲν οἰκίας τοὺς
μὲν ἀπὸ πολλοῦ ἀργυρίου ἀχρήστους οἰκοδομοῦντας, τοὺς δὲ
ἀπὸ πολὺ ἐλάττονος, πάντα ἐχούσας ὅσα δεῖ, ἦ δόξω ἕν τί σοι
τοῦτο τῶν οἰκονομικῶν ἔργων ἐπιδεικνύναι; Καὶ πάνυ γ', ἔφη ὁ
Κριτόβουλος. Τί δ', ἢν τὸ τούτου ἀκόλουθον μετὰ τοῦτό σοι 2
ἐπιδεικνύω, τοὺς μὲν πάνυ πολλὰ καὶ παντοῖα κεκτημένους
ἔπιπλα, καὶ τούτοις, ὅταν δέωνται, μὴ ἔχοντας χρῆσθαι, μηδὲ
εἰδότας εἰ σῶά ἐστιν αὐτοῖς, καὶ διὰ ταῦτα πολλὰ μὲν αὐτοὺς
ἀνιωμένους, πολλὰ δὲ ἀνιῶντας τοὺς οἰκέτας· τοὺς δὲ, οὐδὲν
πλέον, ἀλλὰ καὶ μείονα τούτων κεκτημένους, ἔχοντας εὐθὺς
ἕτοιμα, ὅτων ἂν δέωνται, χρῆσθαι. Ἄλλο τι οὖν τούτων ἐστὶν, 3
ὦ Σώκρατες, αἴτιον, ἢ ὅτι τοῖς μὲν ὅπου ἔτυχεν ἕκαστον κατα-
βέβληται, τοῖς δὲ ἐν χώρᾳ ἕκαστα τεταγμένα κεῖται; Ναὶ μὰ
Δί', ἔφη ὁ Σωκράτης. Καὶ οὐδ' ἐν χώρᾳ γ', ἐν ᾗ ἔτυχεν, ἀλλ'

Cap. III. ἔφη, ἐγώ σε] Guelf. Lips. Paris. A.C.D. ἔφην. sed Paris. A. νῦν τι dat. deinde ἔγωγε edd. vett.

ἀποδείξῃς] i. e. repræsentaveris, præstiteris. Aliud est ἐπιδεῖξαι.

ἤν σοι] Lips. Paris. A. D. ἤν σου. Sequens ἀποδείκνυω mutatum malim in ἐπιδεικνύω, quo in reliquis membris utitur Xenophon.

πολλοῦ] Guelf. a prima manu πολλὸν habet.

2. ὅταν δέωνται] Vitium Leonclavianæ, δέονται, a Welsio, Bachio et Weiskio repetitum, tolli jusserat Zeune.

ὅτων ἂν] i. e. ὧντινων ἄν. Admisi correctionem Koënii ad Gregorium de Dialectis p. 245. temere repudiatam a Weiskio, cum exempla duplicis interrogationis, τίς τί ποιεῖ, πῶς πότε συνέβη, et interrogativi cum relativo juncti, ὅταν τί ποιήσωσι, ὅταν περὶ τίνος βουλεύωνται, omnia sint in interrogatione; nullum vero equidem novi vel allatum reperi, ubi duo relativa eadem in sententia sine interrogatione ponuntur. Vulgatum igitur ὅταν ὧν ἂν, varie a viris doctis tentatum, non ferendum censui. Juntina ἂν omisit. ὅταν ἂν, ὧν δ. χρ. margo Villois.

3. Ἄλλο τι οὖν] Weiskii conjecturam vulgato ἀλλὰ τί οὖν substitui; Zeune in vulgato ἄλλο intelligi censebat.

ἔνθα προσήκει, ἕκαστα διατέτακται. Λέγειν τι μοὶ δοκεῖς,
4 ἔφη, καὶ τοῦτο, ὁ Κριτόβουλος, τῶν οἰκονομικῶν. Τί οὖν ἢν
σοι, ἔφη, καὶ οἰκέτας αὖ ἐπιδεικνύω ἔνθα μὲν πάντας, ὡς εἰ-
πεῖν, δεδεμένους, καὶ τούτους θαμινὰ ἀποδιδράσκοντας, ἔνθα δὲ
λελυμένους, καὶ ἐθέλοντάς τε ἐργάζεσθαι καὶ παραμένειν, οὐ
καὶ τοῦτό σοι δόξω ἀξιοθέατον τῆς οἰκονομίας ἔργον ἐπιδεικνύ-
5 ναι; Ναὶ μὰ Δί', ἔφη ὁ Κριτόβουλος, καὶ σφόδρα γε. Ἦν
δὲ καὶ παραπλησίους γεωργίας γεωργοῦντας, τοὺς μὲν ἀπολω-
λέναι φάσκοντας ὑπὸ γεωργίας, καὶ ἀποροῦντας, τοὺς δὲ ἀφ-
θόνως καὶ καλῶς πάντα ἔχοντας, ὅσων δέονται, ἀπὸ τῆς γε-
ωργίας; Ναὶ μὰ Δί', ἔφη ὁ Κριτόβουλος. Ἴσως γὰρ ἀναλί-
σκουσιν οὐκ εἰς ἃ δεῖ μόνον, ἀλλὰ καὶ εἰς ἃ βλάβην φέρει
6 αὐτῷ καὶ τῷ οἴκῳ. Εἰσὶ μέν τινες ἴσως, ἔφη ὁ Σωκράτης,
καὶ τοιοῦτοι. Ἀλλ' ἐγὼ οὐ τούτους λέγω, ἀλλ' οἳ οὐδ' εἰς
τἀναγκαῖα ἔχουσι δαπανᾶν, γεωργεῖν φάσκοντες. Καὶ τί ἂν
εἴη τούτου αἴτιον; ἔφη, ὦ Σώκρατες. Ἐγώ σε ἄξω καὶ ἐπὶ
τούτους, ἔφη ὁ Σωκράτης· σὺ δὲ θεώμενος δήπου καταμαθήσῃ.
7 Νὴ Δί', ἔφη, ἢν δύνωμαί γε. Οὐκοῦν χρὴ θεώμενον σαυτοῦ
ἀποπειρᾶσθαι εἰ γνώσῃ. Νῦν δ' ἐγώ σοι σύνοιδα ἐπὶ μὲν κω-
μῳδῶν θέαν καὶ πάνυ πρωῒ ἀνισταμένῳ, καὶ πάνυ μακρὰν
ὁδὸν βαδίζοντι, καὶ ἐμὲ ἀναπείθοντι προθύμως συνθεᾶσθαι· ἐπὶ

4. δόξω] Juntina, Guelf. Lips. Paris. A. C. D. δείξω. Verum dat margo Villois. Negationem οὐ omittit Paris. C.

5. παραπλησίους γεωργίας] i. e. agros plane similes arantes. Vulgatum παραπλησίως ex Guelf. Paris. A. C.D. et Lips. correxi. Si vulgatum esset verum, ratiocinatio Socratis non esset consentanea vero. Peccatur enim in modo agri colendi, cura et diligentia, cum sint agri æque boni.

ὑπὸ γεωργίας] Guelf. ἀπὸ a prima manu habet, deinde καλά. Postea ἀπὸ γεωργίας absque articulo dat Paris. C.D.

αὐτῷ καὶ τῷ οἴκῳ] αὐτῷ de domino interpretatur Bachius, quasi sit pro αὐτοῖς positum, cui assentiturWeiske αὐτῷ καὶ οἴκῳ, *ipsi adeo rei familiari*, interpretatur Ernesti, cum meliorem loci vitiosi medicinam non reperisset.

6. ἴσως, ἔφη] Guelf. ἔφη, ἴσως. non male. deinde οὐ τοιούτους λ. margo Villois.

αἴτιον; ἔφη] Lips. cum Guelf. et Paris. A.C.D. omittit ἔφη. Deinde δύνομαι male Guelf.

7. ἀνισταμένῳ — βαδίζοντι—ἀναπείθοντι] Vulgatæ ἀνιστάμενον—βαδίζοντα—ἀναπείθοντα, quam cum Castal. Steph. Lips. et Guelf. dedit Zeune et Weiske, cum in edd. vett. esset ἀνιστάμενος, vitium sensit et correxit Camerarius. Diversum est exemplum cap. i. sect. 4. comparatum a Zeunio.

δὲ τοιοῦτον οὐδέν με πώποτε ἔργον παρεκάλεσας. Οὐκοῦν γε-
λοῖός σοι φαίνομαι εἶναι, ὦ Σώκρατες. Σαυτῷ δὲ πολὺ, νὴ
Δί', ἔφη, γελοιότερος. Ἢν δὲ καὶ ἀφ' ἱππικῆς σοι ἐπιδεικνύω 8
τοὺς μὲν εἰς ἀπορίαν τῶν ἐπιτηδείων ἐληλυθότας, τοὺς δὲ διὰ
τὴν ἱππικὴν καὶ πάνυ εὐπόρους ὄντας, καὶ ἅμα ἀγαλλομένους
ἐπὶ τῷ κέρδει; Οὐκοῦν τούτους μὲν καὶ ἐγὼ ὁρῶ, καὶ οἶδα
ἑκατέρους, καὶ οὐδέν τι μᾶλλον τῶν κερδαινόντων γίγνομαι.
Θεᾷ γὰρ αὐτοὺς ἧπερ τοὺς τραγῳδούς τε καὶ κωμῳδοὺς, οὐχ 9
ὅπως ποιητὴς, οἴομαι, γένῃ, ἀλλ' ὅπως ἡσθῇς ἰδών τι ἢ ἀκού-
σας. Καὶ ταῦτα μὲν ἴσως οὕτως ὀρθῶς ἔχει (οὐ γὰρ ποιητὴς
βούλει γενέσθαι) ἱππικῇ δ' ἀναγκαζόμενος χρῆσθαι, οὐ μωρὸς
οἴει εἶναι, εἰ μὴ σκοπεῖς, ὅπως μὴ ἰδιώτης ἔσῃ τούτου τοῦ ἔργου,
ἄλλως τε καὶ τῶν αὐτῶν ὄντων ἀγαθῶν εἴς τε τὴν χρῆσιν, καὶ
κερδαλέων εἰς πώλησιν ὄντων; Πωλοδαμνεῖν με κελεύεις, ὦ 10
Σώκρατες; Οὐ μὰ Δί', οὐδέν τι μᾶλλον ἢ καὶ γεωργοὺς ἐκ
παιδίων ὠνούμενον κατασκευάζειν. Ἀλλ' εἶναί τινές μοι δο-
κοῦσιν ἡλικίαι καὶ ἵππων καὶ ἀνθρώπων, αἳ εὐθύς τε χρήσιμοί
εἰσι, καὶ ἐπὶ τὸ βέλτιον ἐπιδιδόασιν. Ἔχω δ' ἐπιδεῖξαι καὶ
γυναιξὶ ταῖς γαμεταῖς τοὺς μὲν οὕτω χρωμένους, ὥστε συνερ-
γοὺς ἔχειν αὐτὰς εἰς τὸ συναύξειν τοὺς οἴκους, τοὺς δὲ, ᾗ ὡς
πλεῖστα λυμανοῦνται. Καὶ τούτου πότερον χρὴ, ὦ Σώκρατες, 11
τὸν ἄνδρα αἰτιᾶσθαι ἢ τὴν γυναῖκα; Πρόβατον μὲν, ἔφη ὁ Σω-

8. ἑκατέρους] Guelf. ἀμφοτέρους. inepte! Paulo ante οὔκουν καὶ τούτους μὲν καὶ ἐγὼ Paris. A.

9. ἧπερ τοὺς] Contra librorum omnium fidem Stephanus et cum eo Weiske ὥσπερ dedit. Paulo antea θεῷ margo Villois. dat deinde καὶ τοὺς κωμῳδοὺς Paris. C.

ἴσως οὕτως] Paris. C. omisso ἴσως dat αὕτως.

βούλει] Guelf. βούλῃ. deinde pro οἴει Lips. εἴη habet.

τῶν αὐτῶν] Paris. A. αὐτῆς habet, et αὐτοῖς suprascriptum.

εἰς πώλησιν] Articulum non additum, ut ante χρῆσιν, excusat Zeune ita, ut dicat τὴν χρῆσιν definite referri ad usum eum, de quo traditum erat verbis ἱππικῇ δ' ἀναγκαζόμενος χρῆσθαι.

10. οὐδέν τι] Paris. C. οὐ μέν τι dat.

χρήσιμοι] Edd. vett. Guelf. Lips. et Paris. C. D. χρήσιμαι dant.

ᾗ ὡς πλεῖστα] Sic cum Stephano edidit Zeune et Weiske. Edd. vett. Guelf. Lips. Paris. A.C.D. ᾗ οἱ πλεῖστοι λυμαίνονται. Brodæus αἷς οἱ πλεῖστοι λυμαίνονται, Ernesti οἳ ὡς πλεῖστα λ. inde efficiebat: neutra conjectura loco apta est. Ad λυμανοῦνται intellige αἱ γυναῖκες.

11. πότερον] In Guelf. πρότερον suprascriptum est. Paris. A.C.D. πότερα. Deinde ἂν κακουργῇ iidem Paris. libri cum margine Villois.

κράτης, ὡς ἐπὶ τὸ πολὺ ἢν κακῶς ἔχῃ, τὸν νομέα αἰτιώμεθα·
καὶ ἵππος ὡς ἐπὶ τὸ πολὺ ἢν κακουργῇ, τὸν ἱππέα κακίζομεν·
τῆς δὲ γυναικὸς, εἰ μὲν διδασκομένη ὑπὸ τοῦ ἀνδρὸς τἀγαθὰ
κακοποιεῖ, ἴσως δικαίως ἂν ἡ γυνὴ τὴν αἰτίαν ἔχοι· εἰ δὲ μὴ
διδάσκων τὰ καλὰ κἀγαθὰ, ἀνεπιστήμονι τούτων χρῷτο, ἆρ'
12 οὐ δικαίως ἂν ὁ ἀνὴρ τὴν αἰτίαν ἔχοι; Πάντως δ', ἔφη, ὦ Κρι-
τόβουλε, (φίλοι γάρ ἐσμεν οἱ παρόντες) ἀπαληθεῦσαι πρὸς
ἡμᾶς. Ἔστιν ὅτῳ ἄλλῳ τῶν σπουδαίων πλείω ἐπιτρέπεις ἢ
τῇ γυναικί; Οὐδενὶ, ἔφη. Ἔστι δὲ ὅτῳ ἐλάσσονα διαλέγῃ ἢ
13 τῇ γυναικί; Εἰ δὲ μὴ, οὐ πολλοῖς γε, ἔφη. Ἔγημας δὲ αὐ-
τὴν παῖδα νέαν μάλιστα, ἢ καὶ ὡς ἠδύνατο ἐλάχιστα ἑωρα-
κυῖαν καὶ ἀκηκουῖαν; Μάλιστα. Οὐκοῦν πολὺ θαυμαστότε-
ρον, εἴτι ὧν δεῖ λέγειν ἢ πράττειν ἐπίσταιτο, ἢ εἰ ἐξαμαρτάνοι.
14 Οἷς δὲ σὺ λέγεις ἀγαθὰς εἶναι γυναῖκας, ὦ Σώκρατες, ἦ αὐ-
τοὶ ταύτας ἐπαίδευσαν; Οὐδὲν οἷον τὸ ἐπισκοπεῖσθαι. Συ-
στήσω δέ σοι ἐγὼ καὶ Ἀσπασίαν, ἣ ἐπιστημονέστερον ἐμοῦ σοι
15 ταῦτα πάντα ἐπιδείξει. Νομίζω δὲ γυναῖκα κοινωνὸν ἀγαθὴν
οἴκου οὖσαν, πάνυ ἀντίῤῥοπον εἶναι τῷ ἀνδρὶ ἐπὶ τὸ ἀγαθόν.
Ἔρχεται μὲν γὰρ εἰς τὴν οἰκίαν διὰ τῶν τοῦ ἀνδρὸς πράξεων τὰ
κτήματα ὡς ἐπὶ τὸ πολὺ, δαπανᾶται δὲ διὰ τῶν τῆς γυναικὸς
ταμιευμάτων τὰ πλεῖστα· καὶ εὖ μὲν τούτων γιγνομένων αὔ-

κακοποιεῖ] Edd. vett. κακοποιεῖν. vitium monente Brodæo correxit Castal.

ἆρα οὐ] Guelf. ἆρ' οὐ. melius, ut videtur.

12. ἀπαληθεῦσαι] Intellige δεῖ. Stephanus tamen ἀπαλήθευσαι vel ἀπαλήθευσον scriptum malebat. Illam conjecturam probavit cum Bachio Dorville ad Charitonem p. 51.

13. μάλιστα ἢ καὶ] ἢ delendum existimo. DIND.

ἢ εἰ ἐξαμαρτάνοι] Juntina cum Guelf. Paris. A.C.D. et Lips. omisit εἰ. sed habet margo Villois.

14. ἦ αὐτοὶ] Stephanus εἰ dedit, ἦ est in Castal. margine Stephan. Paris. A.C D. et libro Lipsiensi, ἢ in Guelf. sed in margine ἦ annotatur.

Οὐδὲν οἷον τὸ] Edd. vett. οἷόν τε. Camerarius recte vertit *quid prohibet*, sed male Leoncl. conjecit scribendum οὐδὲν κωλύον τό.

Συστήσω δέ σοι—Ἀσπασίαν] Leonclavii conjecturam δέ σε καὶ Ἀσπασίᾳ ideo repudiat Bachius, quod nihil referat, utrum dicas: *ego tibi Aspasiam* (magistram) *commendabo*, an *ego te Aspasiæ commendabo*. Zeune Leonclavium Camerarii versione, *atque ego te Aspasiæ conciliabo*, deceptum fuisse putat. In Symposio iv. sect. 64. est καὶ πρὸς ἐμὲ ἐπαινῶν τὸν Ἡρακλεώτην ξένον, ἐπεί με ἐποίησας ἐπιθυμεῖν αὐτοῦ, συνέστησάς μοι αὐτόν. Sed cum συστῆσαι sit proprie perducere aliquem et conciliare alteri, non satis apte h. l. Aspasia perduci ad Critobulum eique conciliari videtur dici, utpote femina.

ζονται οἱ οἶκοι, κακῶς δὲ τούτων πραττομένων οἱ οἶκοι μειοῦν-
ται. Οἶμαι δέ σοι καὶ τῶν ἄλλων ἐπιστημῶν τοὺς ἀξίως λό- 16
γου ἑκάστην ἐργαζομένους ἔχειν ἂν ἐπιδεῖξαί σοι, εἴτι προσδεῖ-
σθαι νομίζεις.

CAP. IV.

ΑΛΛΑ *πάσας μὲν τί σε δεῖ ἐπιδεικνύναι, ὦ Σώκρατες;*
ἔφη ὁ Κριτόβουλος. Οὔτε γὰρ κτήσασθαι πασῶν τῶν τεχνῶν
ἐργάτας ῥάδιον οἵους δεῖ, οὔτε ἔμπειρον γενέσθαι αὐτῶν οἷόν τε·
ἀλλ' αἳ δοκοῦσι κάλλισται τῶν ἐπιστημῶν, καὶ ἐμοὶ πρέποιεν
ἂν μάλιστα ἐπιμελομένῳ, ταύτας μοι καὶ αὐτὰς ἐπιδείκνυε,
καὶ τοὺς πράττοντας αὐτάς. Καὶ αὐτὸς δὲ, ὅ τι δύνασαι,
συνωφέλει εἰς ταῦτα διδάσκων. Ἀλλὰ καλῶς, ἔφη, λέγεις, 2
ὦ Κριτόβουλε· καὶ γάρ αἵ γε βαναυσικαὶ καλούμεναι καὶ
ἐπίῤῥητοί εἰσι, καὶ εἰκότως μέντοι πάνυ ἀδοξοῦνται πρὸς τῶν
πόλεων. Καταλυμαίνονται γὰρ τὰ σώματα τῶν τε ἐργαζο-
μένων καὶ τῶν ἐπιμελομένων, ἀναγκάζουσαι καθῆσθαι καὶ σκια-
τραφεῖσθαι, ἔνιαι δὲ καὶ πρὸς πῦρ ἡμερεύειν. Τῶν δὲ σωμά-
των θηλυνομένων καὶ αἱ ψυχαὶ πολὺ ἀῤῥωστότεραι γίγνονται.
Καὶ ἀσχολίας δὲ μάλιστα ἔχουσι καὶ φίλων καὶ πόλεως συν- 3

16. *ἀξίως λόγου*] Lips. Paris. A.C. D. et libri Stobæi cum margine Villois. *ἀξίους* habent, et Guelf. a prima manu scriptum. Ceterum in editione Castal. prius *σοι* tanquam inutile pronomen omissum est, quod factum cum Weiskio probo.

1. *πρέποιεν*] Edd. vett. Guelf. et Lips. a prima manu *πρέπει ἂν*; a secunda est in utroque libro *πρέποι*. Paris. D. *πρέπῃ ἄν*. Castalio et Camerarius *πρέπειν* probarunt, *πρέποι ἂν* Weiske cum Leoncl. Equidem cum Zeunio Stephani editionem alteram sequor; barbarum enim mihi videtur *πρέποι ἂν*, in quo repetendum est *ἄν*. Sed græce non adeo frequenter dicitur *πρέπει μοι ἐπιμελεῖσθαι αὐτοῦ*. Deinde *ἐπιμελουμένῳ* Paris. C. dat.

καὶ αὐτὰς] Edd. vett. *αὐτὸς*, cui obstat sequens *αὐτός*. Igitur scripturam Guelf. Lips. Paris. A.C.D. Camerarii et marg. Villois. prætuli cum Zeunio.

ὅ τι δύνασαι] Edd. vett. *ὅτι τὶ δύνασαι*.

2. *αἵ γε*] Stobæus editus in Sermonibus p. 382. omittit *γε*. Sed idem *τε* post *ἐπίῤῥητοι* vulgo additum rectius omittit. Itaque Stobæi auctoritatem secuti sunt Steph. Leoncl. Wels. et Bach. Accedit Paris. A. In Lips. est *βασαναυσικαί*.

πρὸς τῶν πόλεων] Stobæus MS. *ὑπὸ* dat.

τῶν τε—καὶ τῶν] Stobæus *τε* et *τῶν* omittit, deinde *ἐπιμελουμένων καὶ τὰς ψυχὰς* dat. Paris. C. etiam *ἐπιμελουμένων* dat.

σκιατραφεῖσθαι] Stobæus cum Guelf. et Paris. A. *σκιατροφεῖσθαι*.

πολὺ] Stobæi *ἐπὶ πολὺ* probavit Valckenaer ad Ammonium, p. 215.

3. *ἔχουσι*] Ita cum Stobæo Ste-

ἐπιμελεῖσθαι αἱ βαναυσικαὶ καλούμεναι. Ὥστε οἱ τοιοῦτοι
δοκοῦσι κακοὶ καὶ φίλοις χρῆσθαι, καὶ ταῖς πατρίσιν ἀλεξη-
τῆρες εἶναι. Καὶ ἐν ἐνίαις μὲν τῶν πόλεων, μάλιστα δὲ ἐν
ταῖς εὐπολέμοις δοκούσαις εἶναι, οὐδ' ἔξεστι τῶν πολιτῶν οὐ-
4 δενὶ βαναυσικὰς τέχνας ἐργάζεσθαι. Ἡμῖν δὲ δὴ ποίαις συμ-
βουλεύεις, ὦ Σώκρατες, χρῆσθαι; Ἆρα, ἔφη ὁ Σωκράτης, μὴ
αἰσχυνθῶμεν τὸν Περσῶν βασιλέα μιμήσασθαι; Ἐκεῖνον γάρ
φασιν ἐν τοῖς καλλίστοις τε καὶ ἀναγκαιοτάτοις ἡγούμενον εἶ-
ναι ἐπιμελήμασι γεωργίαν τε καὶ τὴν πολεμικὴν τέχνην, τού-
των ἀμφοτέρων ἰσχυρῶς ἐπιμελεῖσθαι.
5 Καὶ ὁ Κριτόβουλος ἀκούσας ταῦτα εἶπε· καὶ τοῦτο, ἔφη, πι-
στεύεις, ὦ Σώκρατες, βασιλέα τῶν Περσῶν γεωργίας τι συνεπι-
μελεῖσθαι; Ὧδ' ἄν, ἔφη ὁ Σωκράτης, ἐπισκοποῦντες, ὦ Κριτό-
βουλε, ἴσως ἂν καταμάθοιμεν, εἴ τι συνεπιμελεῖται. Τῶν μὲν
γὰρ πολεμικῶν ἔργων ὁμολογοῦμεν αὐτὸν ἰσχυρῶς ἐπιμελεῖσθαι,
ὅτι ἐξ ὁπόσων περ ἐθνῶν δασμοὺς λαμβάνει, τέταχε τῷ ἄρχοντι
ἑκάστῳ, εἰς ὁπόσους δεῖ διδόναι τροφὴν ἱππέας καὶ τοξότας καὶ
σφενδονήτας καὶ γεῤῥοφόρους, οἵτινες τῶν τε ὑπ' αὐτοῦ ἀρχο-
μένων ἱκανοὶ ἔσονται κρατεῖν, καί, ἢν πολέμιοι ἐπίωσιν, ἀρήξουσι
6 τῇ χώρᾳ. Χωρὶς δὲ τούτων φύλακας ἐν ταῖς ἀκροπόλεσι τρέ-
φει· καὶ τὴν μὲν τροφὴν τοῖς φρουροῖς δίδωσιν ὁ ἄρχων ᾧ τοῦτο
προστέτακται· βασιλεὺς δὲ κατ' ἐνιαυτὸν ἐξέτασιν ποιεῖται

phaniana altera. Libri Xenophontis editi et scripti dant ineptum ἔχουσαι. Est hoc in loco *afferunt*, παρέχουσι, ut est infra cap. vi. 9.

πόλεως σ. αἱ] Stobæus, omisso articulo, πόλεων dat, quod est infra cap. vi. 9.

οἱ τοιοῦτοι] Intellige οἱ βάναυσοι ex βαναυσικαί. Stobæus εἰκότως σοι κακοὶ ἂν habet. Vulgo deinde est κακὸν καὶ φίλοις, Castalio κακῶς dedit. Stephani ed. altera κακοὶ sine ἂν dedit: Stobæum et Brodæum sequimur cum Zeunio.

εὐπολέμοις] Vulgatum ἐν πολέμοις, (ἐν πολέμῳ Paris. A.) quod Stephanus in ἐμπολέμοις mutatum voluit, cum Brodæo ex Stobæo correxit Zeune.

ἔξεστι—οὐδενὶ] Codex Paris. A. Stobæi dat ἔξαιτο—οὐδενὶ ἤ.

4. Ἆρα, ἔφη] Guelf. Ἆρ', ἔφη, dat mollius. Deinde τῶν Περσῶν Lips. Guelf. Paris. C. D.

5. τοῦτο, ἔφη] Juntina ἔφη omisit.

ὁπόσων] Edd. vett. ὁποίων. Verum est in margine etiam Villois. deinde λαμβάνειν cum Guelf. Lips. Eædem cum Lips. et Paris. A. D. δασμοὺς omittunt. De re compara Cyri institutionem viii. 6, 3.

ἢν πολέμιοι] Paris. C. ἢν οἱ πόλεμοι dat. ἂν πολ. margo Villois.

6. τρέφει] Edd. vett. Guelf. Lips. Paris. A. τρέφειν. deinde ᾧ τούτῳ Lips.

τῶν μισθοφόρων καὶ τῶν ἄλλων οἷς ὡπλίσθαι προστέτακται, καὶ
πάντας ἅμα συνάγων, πλὴν τοὺς ἐν ταῖς ἀκροπόλεσιν, ἔνθα δὴ ὁ
σύλλογος καλεῖται, τοὺς μὲν ἀμφὶ τὴν αὑτοῦ οἴκησιν αὐτὸς ἐφο-
ρᾷ, τοὺς δὲ πρόσω ἀποικοῦντας, πιστοὺς πέμπει ἐπισκοπεῖν.
Καὶ οἳ μὲν ἂν φαίνωνται τῶν φρουράρχων καὶ τῶν χιλιάρχων καὶ 7
τῶν σατραπῶν τὸν ἀριθμὸν τὸν τεταγμένον ἔκπλεων ἔχοντες, καὶ
τούτους δοκίμοις ἵπποις τε καὶ ὅπλοις κατεσκευασμένους παρ-
έχωσι, τούτους μὲν τοὺς ἄρχοντας καὶ ταῖς τιμαῖς αὔξει, καὶ
δώροις μεγάλοις καταπλουτίζει· οὓς δ' ἂν εὕρῃ τῶν ἀρχόντων
ἢ καταμελοῦντας τῶν φρουράρχων, ἢ κατακερδαίνοντας, τού-
τους χαλεπῶς κολάζει, καὶ παύων τῆς ἀρχῆς, ἄλλους ἐπιμε-
λητὰς καθίστησι. Τῶν μὲν δὴ πολεμικῶν ἔργων, ταῦτα ποιῶν,
δοκεῖ ἡμῖν ἀναμφιλόγως ἐπιμελεῖσθαι. Ἔτι δὲ ὁπόσην μὲν 8
τῆς χώρας διελαύνων ἐφορᾷ αὐτὸς, καὶ δοκιμάζει, ὁπόσην δὲ
μὴ αὐτὸς ἐφορᾷ, πέμπων πιστοὺς ἐπισκοπεῖται. Καὶ οὓς μὲν
ἂν αἰσθάνηται τῶν ἀρχόντων συνοικουμένην γε τὴν χώραν παρ-
εχομένους, καὶ ἐνεργὸν οὖσαν τὴν γῆν, καὶ πλήρη δένδρων τε ὧν
ἑκάστη φέρει καὶ καρπῶν, τούτοις μὲν χώραν τὴν ἄλλην προσ-

ὡπλίσθαι] Lips. ὁπλίσθαι dat. De re cf. Cyrop. viii. 6, 15.

ἀκροπόλεσιν] In Guelf. ακρο est suprascriptum, τρέφειν Paris. A.C.D.

ὁ σύλλογος καλεῖται] Inusitatum videtur verbum in hac re. Noster in Cyrop. vi. 2, 11, de urbe Thymbrara: ἔνθα καὶ νῦν ὁ σύλλογος τῶν ὑπὸ βασιλέα βαρβάρων τῶν κάτω Συρίας.

τοὺς μὲν] Vulgo καὶ τοὺς μὲν editur, sed καὶ copula ordinem verborum turbat, nisi cum Zeunio συνάγων pro συνάγει dictum interpreteris.

οἴκησιν αὐτὸς] In Guelf. αὐτὴν est a prima manu scriptum. Paulo antea τὴν ἑαυτοῦ Paris. A.C.D. Discrimen φρουράρχων, χιλιάρχων et σατραπῶν disce ex Cyrop. viii. 6. 1, et 3.

7. ἔκπλεων] Edd. vett. ἔκπλεον dant, ἔκπλεω margo Villois.

δοκίμοις] Sic cum Brodæo et Stephano scripsi. Vulgatum δοκίμους defendit Zeune tanquam pro δοκίμως dictum. Exemplum ex sect. 14. allatum et ipsum emendatione indiget.

ταῖς τιμαῖς] *Notis illis honoribus* interpretatur cum Bachio Weiske, de quibus in Cyrop. viii. 6, 11.

εὕρῃ] Hoc ex Guelf. et Lips. pro εὕροι dedit Zeune.

ἀναμφιλόγως] Margo Steph. ἀναμφιβόλως dat.

8. ὁπόσην μὲν] Guelf. ὁπόσης μὲν dat.

καὶ δοκιμάζει] Est pro ταύτην καὶ δοκιμάζει, ut recte monuit Stephanus. Camerarius autem καὶ αὐτὸς δοκιμάζει, Leonclavio probante. Deinde δὲ αὐτὸς μὴ ἐφορᾷ Paris. A.

συνοικουμένην γε] Ineptum est γε et mutandum in τε. Verbo opponitur in altero membro ὀλιγάνθρωπον.

χώραν τε ἄλλην προστίθησι] Ita correxi vulgatam χώραν τὴν ἄλλην, quam minime vindicavit Schneiderus eis quæ dixit præfatione ad Anabasin. DIND.

τίθησι, καὶ δώροις κοσμεῖ, καὶ ἕδραις ἐντίμοις γεραίρει· οὓς δ'
ἂν ὁρᾷ ἀργόν τε τὴν χώραν οὖσαν καὶ ὀλιγάνθρωπον ἢ διὰ χα-
λεπότητα, ἢ δι' ὕβριν, ἢ δι' ἀμέλειαν, τούτους δὲ κολάζων καὶ
9 παύων τῆς ἀρχῆς, ἄρχοντας ἄλλους καθίστησι. Ταῦτα ποιῶν
δοκεῖ ἧττον ἐπιμελεῖσθαι ὅπως ἡ γῆ ἐνεργὸς ἔσται ὑπὸ τῶν
κατοικούντων, ἢ ὅπως εὖ φυλάξεται ὑπὸ τῶν φρουρούντων; Καὶ
εἰσὶ δ' αὐτῷ οἱ ἄρχοντες διατεταγμένοι ἐφ' ἑκάτερον, οὐχ οἱ αὐ-
τοὶ, ἀλλ' οἱ μὲν ἄρχουσι τῶν κατοικούντων τε καὶ τῶν ἐργα-
τῶν, καὶ δασμοὺς ἐκ τούτων ἐκλέγουσιν· οἱ δ' ἄρχουσι τῶν
10 ὡπλισμένων φρουρῶν. Κἂν μὲν ὁ φρούραρχος μὴ ἱκανῶς τῇ
χώρᾳ ἀρήγῃ, ὁ τῶν ἐνοικούντων ἄρχων καὶ τῶν ἔργων ἐπιμελού-
μενος κατηγορεῖ τοῦ φρουράρχου, ὅτι οὐ δύνανται ἐργάζεσθαι
διὰ τὴν ἀφυλαξίαν· ἢν δὲ παρέχοντος τοῦ φρουράρχου εἰρήνην
τοῖς ἔργοις ὁ ἄρχων ὀλιγάνθρωπόν τε παρέχηται καὶ ἀργὸν τὴν
11 χώραν, τούτου αὖ κατηγορεῖ ὁ φρούραρχος. Καὶ γὰρ σχεδόν
τι οἱ κακῶς τὴν χώραν ἐργαζόμενοι οὔτε τοὺς φρουροὺς τρέφου-
σιν, οὔτε τοὺς δασμοὺς δύνανται ἀποδιδόναι. Ὅπου δ' ἂν
σατράπης καθιστῆται, οὗτος ἀμφοτέρων τούτων ἐπιμελεῖται.
12 Ἐκ τούτων ὁ Κριτόβουλος εἶπεν, οὐκοῦν εἰ μὲν δὴ ταῦτα ποιεῖ
ὁ βασιλεὺς, ὦ Σώκρατες, οὐδὲν ἔμοιγε δοκεῖ ἧττον τῶν γεωρ-
13 γικῶν ἔργων ἐπιμελεῖσθαι ἢ τῶν πολεμικῶν. Ἔτι δὲ πρὸς
τούτοις, ἔφη ὁ Σωκράτης, ἐν ὁπόσαις τε χώραις ἐνοικεῖ, καὶ
εἰς ὁπόσας ἐπιστρέφεται, ἐπιμελεῖται τούτων, ὅπως κῆποί τε
ἔσονται, οἱ παράδεισοι καλούμενοι, πάντων καλῶν τε καὶ ἀγα-
θῶν μεστοὶ, ὁπόσα ἡ γῆ φύειν ἐθέλει. Καὶ ἐν τούτοις αὐτὸς τὰ
πλεῖστα διατρίβει, ὅταν μὴ ἡ ὥρα τοῦ ἔτους ἐξείργῃ. Νὴ Δί',

ἐντίμοις] Paris. A. omisit: deinde διὰ ὕβριν Paris. A.C.D.

9. δοκεῖ ἧττον] Juntina signum interrogationis positum post φρουρούντων omisit, et Castalio οὐχ ἧττον dedit. Mihi quidem interrogationis figura ab hoc loco aliena videtur, ubi novum exorditur argumentum Zenophon, quod in sequentibus copiose explicat. Deinde ἐπιμέλεσθαι est in margine Steph.

εἰσὶ δ' αὐτῷ] Paris. C.D. αὐτῶν.

ὡπλισμένων] Lips. et a prima manu Guelf. ὁπλισμένων dat.

10. ἱκανῶς] Margo Steph. dat καλῶς.

11. Καὶ γὰρ] Juntina et Camer. γάρ. omittunt. deinde καθίστηται Guelf.

12. ὁ βασιλεὺς] Articulum addidit Bach.

13. εἰς ὁπόσας] Paris. A. εἰς omittit; deinde, ἐπιμελεῖσθαι edd. vett. præter Castal. Guelf. Lips. Paris. A.

ὁπόσα—ἐθέλει] Guelf. Paris. C.D. et Lips. ὅσα—θέλει. Paris. A. θέλοι. Paulo antea κἀγαθῶν Paris. A.C.D.

ἔφη ὁ Κριτόβουλος, ἀνάγκη τοίνυν, ὦ Σώκρατες, ἔνθα γε δια- 14
τρίβει αὐτὸς, καὶ ὅπως ὡς κάλλιστα κατεσκευασμένοι ἔσον-
ται οἱ παράδεισοι, ἐπιμελεῖσθαι, δένδρεσι καὶ τοῖς ἄλλοις
ἅπασι καλοῖς, ὅσα ἡ γῆ φύει. Φασὶ δέ τινες, ἔφη ὁ Σωκρά- 15
της, ὦ Κριτόβουλε, καὶ ὅταν δῶρα διδῷ ὁ βασιλεὺς, πρῶτον
μὲν εἰσκαλεῖν τοὺς πολέμῳ ἀγαθοὺς γεγονότας, (ὅτι οὐδὲν ὄφε-
λος πολλὰ ἀροῦν, εἰ μὴ εἶεν οἱ ἀρήξοντες·) δεύτερον δὲ, τοὺς
κατασκευάζοντας τὰς χώρας ἄριστα καὶ ἐνεργοὺς ποιοῦντας·
λέγοντα ὅτι οὐδ' ἂν οἱ ἄλκιμοι δύναιντο ζῆν, εἰ μὴ εἶεν οἱ ἐργα-
ζόμενοι. Λέγεται δὲ καὶ Κῦρός ποτε, ὅσπερ εὐδοκιμώτατος 16
δὴ βασιλεὺς γεγένηται, εἰπεῖν τοῖς ἐπὶ τὰ δῶρα κεκλημένοις,
ὅτι αὐτὸς ἂν δικαίως τὰ ἀμφοτέρων δῶρα λαμβάνοι· κατασκευ-
άζειν τε γὰρ ἄριστος εἶναι ἔφη χώραν καὶ ἀρήγειν τοῖς κατ-
εσκευασμένοις. Κῦρος μέντοι, ἔφη ὁ Κριτόβουλος, ὦ Σώκρατες, 17
καὶ ἐπηγάλλετο οὐδὲν ἧττον, εἰ ταῦτα ἔλεγεν, ἐπὶ τῷ χώρας
ἐνεργοὺς ποιεῖν καὶ κατασκευάζειν, ἢ ἐπὶ τῷ πολεμικὸς εἶναι.
Καὶ ναὶ μὰ Δί', ἔφη ὁ Σωκράτης, Κῦρός γε, εἰ ἐβίωσεν, ἄρι- 18
στος ἂν δοκεῖ ἄρχων γενέσθαι. Καὶ τούτου τεκμήρια ἄλλα τε
πολλὰ παρέσχηται, καὶ ὁπότε περὶ τῆς βασιλείας τῷ ἀδελφῷ

14. *ὡς κάλλιστα κατεσκευασμένοι*] Cum Stephano vulgatum *κάλλιστοι* mutavi, quod cum Zeunio repetiit Weiske, quanquam mox sequatur *τοὺς κατασκευάζοντας ἄριστα τὰς χώρας*. Supra iv. 7. *καὶ τούτους δοκίμους ἵπποις τε καὶ ὅπλοις κατεσκευασμένους παρέχωσι·* ubi Brodæi et Stephani emendationem *δοκίμοις* probabat Weiske. Noster Cyrop. iii. 3, 3. *ὡς κάλλιστα κατασκ.* usurpavit, et sic in reliquis locis additur, quod rationem declaret, verbum *εὖ*, *καλῶς* aut *οὕτως*. Unicus superest locus in Anabasi i. 9, 19. *εἰ δέ τινα ὁρῴη δεινὸν οἰκονόμον ὄντα ἐκ τοῦ δικαίου, καὶ κατασκευάζοντά τε ἧς ἄρχοι χώρας, καὶ προσόδους ποιοῦντα.* ubi adverbium *εὖ* vel *καλῶς* excidisse videtur, quanquam ibi Zeune ex nostro sect. 16. comparat *ἄριστος εἶναι κατασκ. χώραν.*

15. *ἄριστα*] Paris. C. et D. omittunt, D. præterea *τάς*.

16. *βασιλεὺς γεγένηται*] Cyrus junior, ut regis filius, et quia in sua ditione vere regis jura et honores habebat, dicitur, uti monet Weiske.

ἐπὶ τὰ δῶρα] In margine Guelf. *ἐπὶ* adscriptum est; idem deinde *ἀμφότερα* dat. Postea *ἄριστον* Paris. A.C.D. dant.

17. *μέντοι*] Edd. vett. Guelf. Lips. Paris. A. dant *μὲν τοίνυν*.

ἐπηγάλλετο] Est ex conjectura Stephani pro *ἐπηγγέλλετο*. Sed copula *καὶ* in hac sententia plane inutilis est, monente etiam Weiskio.

χώρας] Male Juntina *τῆς χώρας*. Deinde *πολεμικοὺς* vulgatum antea ex margine Steph. et Villois., Guelf. et Lips. correxit Zeune.

18. *δοκεῖ*] Male Guelf. *δοκῇ*, quod temere adscivit Zeune.

καὶ ὁπότε] Fuerunt, qui *καὶ ὅτι ὁπότε* mallent, quos refellit Zeune ita, ut dicat, in Expeditione Cyri i.

ἐπορεύετο μαχούμενος· παρὰ μὲν Κύρου οὐδεὶς λέγεται αὐτομολῆσαι πρὸς τὸν βασιλέα, παρὰ δὲ τοῦ βασιλέως πολλαὶ
19 μυριάδες πρὸς Κῦρον. Ἐγὼ δὲ καὶ τοῦτο ἡγοῦμαι μέγα τε-

9, 16. eandem esse orationis structuram. At vero in sect. 16. nihil est simile, sed sect. 29. est: τεκμήριον δὲ τούτου καὶ τόδε· παρὰ μὲν Κύρου, δούλου ὄντος, οὐδεὶς ἀπῄει πρὸς βασιλέα —παρὰ δὲ βασιλέως πολλοὶ πρὸς Κῦρον ἀπῆλθον. At ita post μαχούμενος erat non comma ponendum, sed major distinctio; id quod feci.

πρὸς τὸν βασιλέα] Sic cum Juntina Zeune; articulum cum reliquis edd. et Guelf. Lips. omisit Weiske. In loco Anabaseos ut recte omissus sit articulus, facit additum membrum δούλου ὄντος. Igitur etiam παρὰ τοῦ βασιλέως tenendum est, nec eum Guelf. omittendus articulus, quod factum recte in Anabasi, ubi παρὰ δὲ βασιλέως πολλοὶ πρὸς Κῦρον ita dicitur, ut cogitatione repetendum sit Κῦρον, δοῦλον ὄντα.

19. καὶ τοῦτο] Copulam omittit Paris. C.D.

Ἐγὼ δὲ καὶ τοῦτο ἡγοῦμαι μέγα τεκμήριον ἄρχοντος ἀρετῆς εἶναι ᾧ ἂν— ἐν τοῖς δεινοῖς παραμένειν ἐθέλωσιν· ἐκείνῳ δὲ καὶ οἱ φίλοι ζῶντί τε συνεμάχοντο καὶ ἀποθανόντι συναπέθανον πάντες πλὴν Ἀριαίου· Ἀριαῖος δ' ἔτυχεν ἐπὶ τῷ εὐωνύμῳ κέρατι τεταγμένος] Jam dudum ejectum oportuerat ineptum καὶ post ἐκείνῳ δὲ, quod sæpissime librarii post δὲ interpolarunt temere. Alia et gravior quidem quæstio est de sequentibus verbis, utrum quod ab Heindorfio excogitatum editoribus adhuc omnibus placuit credendum sit an falsum putandum. Namque Heindorfius verba postrema Ἀριαῖος δ' ἔτυχεν ἐπὶ τῷ εὐωνύμῳ κέρατι τεταγμένος tollebat ut ascripta ab interprete ex simillimo Anabasis loco, ubi hæc res eisdem pene verbis narratur estque de Ariæo I. 9. 31. πάντες οἱ περὶ αὐτὸν φίλοι καὶ συντράπεζοι μαχόμενοι ἀπέθανον ὑπὲρ Κύρου πλὴν Ἀριαίου· οὗτος δὲ τεταγμένος ἐτύγχανεν ἐπὶ τῷ εὐωνύμῳ τοῦ ἱππικοῦ ἄρχων. Quam opinionem suam etsi nullis argumentis aut ille aut qui eum sequuti sunt muniverint, manifestum est tamen sic eos judicasse, corrumpi istis additis laudem Cyri, nimiamque esse hanc quam pro laudante fidem ac diligentiam qua ubi locorum fuerit Ariæus quum Cyrus caderet doceatur. Hæc igitur ille verba delevit neque intellexit ita demum vim laudis omnem, qua ornetur Cyrus, pessundatum iri. Socrates enim si semel laudes Cyri suas vel minimum ab veritate discedere nolebat, provideratque ne, quum familiares mortis ei omnes consortes fuisse diceret, illud prætermitteret, quod unus tamen abfuisset amicissimorum ejus, hac illius absentia prodenda stolide laudem viri minuisset, si caussam absentiæ quam ille a Cyro ipso alio delegatus justissimam habuerat celasset. Unde colligimus tanquam certissimum, Ariæum aut non fuisse aut excusatum de absentia memorandum: isque quibus verbis excusetur, ea verba sincerissima esse atque verissima, falsissimam autem opinionem ejus qui ea tollat Heindorfii. Hanc rem præclare video intellexisse Schæferum, qui etsi ipse quoque consequutus Heindorfium est, eo tamen quantumvis audacior, prudentior fuit. Omnem enim omnino hic memoriam Ariæi sustulit ita ut præter illa quæ Heindorfius ipsum etiam πλὴν Ἀριαίου deleret. Rationem autem judicii hujus, quod in editione tenuit sua, hanc ab eo secum communicatam attulit Schneiderus in Epistola ad eum hujus e-

χμήριον ἄρχοντος ἀρετῆς εἶναι, ᾧ ἂν ἑκόντες ἕπωνται, καὶ ἐν τοῖς δεινοῖς παραμένειν ἐθέλωσιν. Ἐκείνῳ δὲ καὶ οἱ φίλοι ζῶντί τε συνεμάχοντο, καὶ ἀποθανόντι συναπέθανον πάντες περὶ τὸν νεκρὸν μαχόμενοι, πλήν γε Ἀριαίου. Ἀριαῖος δ' ἔτυχεν ἐπὶ τῷ εὐωνύμῳ κέρατι τεταγμένος. Οὗτος τοίνυν ὁ Κῦρος λέγεται Λυσάνδρῳ, ὅτε ἦλθεν ἄγων αὐτῷ τὰ παρὰ τῶν συμμά-

ditioni præmissa p. xiii., quod exceptio hæc consilio laudatoris officiat, in historiæ diligentia ac religione merito probanda. Quod tamen ego valde imbecillum esse argumentum censeo. Quid? solosne historiæ scriptores veraces esse decet rerum gestarum auctores, quicunque autem laudare quempiam instituunt, impudenter mentiri convenit? credo vero ego ne laudes quidem ab ulla re plus habere quam veritate commendationis. Eam autem quid est tandem quam ob rem Schæferus tam molestam putet? An quod laudi detrahat Cyri? Enimvero, si quid video, Ariæus non memoratus multo est periculosior Cyri existimationi. Nam quum incredibile sit ignotum fuisse in Græcia qua perfidia Ariæus post mortem Cyri Græcorum adversus exercitum usus esset, quid magis erat metuendum Socrati quam hoc, ne qui ista audiret Ariæum cogitans falsa esse et ementita putaret quæ de amicorum fide erga Cyrum jactasset? Illum igitur ne quis morienti Cyro non fideliorem quam mortuo amicum suspicaretur fuisse, quid aptius, quid prudentius instituere potuit quam ut ille qui solus ex familiaribus Cyri salvus evasisset, quo pacto id consequutus esset explicaret? Ac ne quicquam eorum quæ pro infelici illa, ut arbitror, conjectura allata sunt prætercam, levissimo eam argumento adjuvare conatus est Schneiderus. Numeros ille scilicet orationis in hac laudatione studiose quæsitos clausula hac censet corrumpi, nec nisi deleta bonos esse. Quod si quem ego quoque numerosæ orationis sensum habeo, nihil est in hoc loco numerosi admodum nisi forte hæc ipsa ἐκείνῳ δὲ οἱ φίλοι ζῶντί τε συνεμάχοντο καὶ ἀποθανόντι συναπέθανον πάντες περὶ τὸν νεκρὸν μαχόμενοι, deletis quidem quæ delet Schneiderus, sed quæ nos demonstravimus non delenda esse. Unde igitur apparet numerositatis studium Socratis? Vah quam risisset ille si confabulantem se de Cyro cum familiari familiariter in encomiastam transformatum vidisset, cui rhetorico artificio exornandum sit encomion. DIND.

ἕπωνται] Stobæi hanc lectionem recte prætulit Zeune vulgato πείθωνται. Male neglexit Weiske; nam sequens παραμένειν manifesto refertur ad ἕπεσθαι.

πλήν γε] Guelf. Lips. Paris. A.C. D. et locus Anabaseos sect. 31. omittunt γε.

'Ἀριαῖος δ' ἔτυχεν] Lips. dat 'Ἀριαῖος γάρ. In Anabasi est οὗτος δὲ τεταγμένος ἐτύγχανεν ἐπὶ τῷ εὐωνύμῳ τοῦ ἱππικοῦ ἄρχων. Sed totum hoc membrum ex Anabasi a librario fuisse insertum Heindorfio suspicanti assentitur etiam Weiske. In Anabasi i. 8, 5. Codex Eton. 'Ἀρισταῖος dat, Diodorus 'Ἀριδαῖον vocat; Datamis filium Nepos cap. vi. Arsidæum habet.

20. Λυσάνδρῳ—φιλοφρονεῖσθαι] Cyrop. iii. 1, 8. Κῦρος—ἄλλο μὲν οὐδὲν ἐφιλοφρονήσατο αὐτῷ. quem locum temere suspectum habui. Paris. A. φιλοφρονῆσαι dat.

χων δῶρα, ἄλλα τε φιλοφρονεῖσθαι, (ὡς αὐτὸς ἔφη ὁ Λύσαν-
δρος ξένῳ ποτέ τινι ἐν Μεγάροις διηγούμενος) καὶ τὸν ἐν Σάρ-
21 δεσι παράδεισον ἐπιδεικνύναι αὐτὸν ἔφη. Ἐπεὶ δὲ ἐθαύμαζεν
αὐτὸν ὁ Λύσανδρος, ὡς καλὰ μὲν τὰ δένδρα εἴη, δι᾽ ἴσου δὲ τὰ
πεφυτευμένα, ὀρθοὶ δὲ οἱ στίχοι τῶν δένδρων, εὐγώνια δὲ πάντα
καλῶς εἴη, ὀσμαὶ δὲ πολλαὶ καὶ ἡδεῖαι συμπαρομαρτοῖεν αὐ-
τοῖς περιπατοῦσι· καὶ ταῦτα θαυμάζων εἶπεν, ἀλλ᾽ ἐγώ τοι,
ὦ Κῦρε, πάντα μὲν ταῦτα θαυμάζω ἐπὶ τῷ κάλλει, πολὺ δὲ
μᾶλλον ἄγαμαι τοῦ καταμετρήσαντός σοι καὶ διατάξαντος
22 ἕκαστα τούτων. Ἀκούσαντα δὲ ταῦτα τὸν Κῦρον ἡσθῆναί τε
καὶ εἰπεῖν· ταῦτα τοίνυν, ὦ Λύσανδρε, ἐγὼ πάντα καὶ διεμέ-
τρησα καὶ διέταξα· ἔστι δ᾽ αὐτῶν, φάναι, ἃ καὶ ἐφύτευσα
23 αὐτός. Καὶ ὁ Λύσανδρος ἔφη, ἀποβλέψας εἰς αὐτὸν, καὶ
ἰδὼν τῶν τε ἱματίων τὸ κάλλος ὧν εἶχε, καὶ τῆς ὀσμῆς αἰσθό-
μενος, καὶ τῶν στρεπτῶν καὶ τῶν ψελλίων τὸ κάλλος, καὶ
τοῦ ἄλλου κόσμου οὗ εἶχεν, εἰπεῖν, τί λέγεις; φάναι, ὦ Κῦρε·
24 ἦ γὰρ σὺ ταῖς σαῖς χερσὶ τούτων τι ἐφύτευσας; Καὶ τὸν Κῦρον
ἀποκρίνασθαι, θαυμάζεις τοῦτο; ἔφη, ὦ Λύσανδρε. Ὄμνυμί
σοι τὸν Μίθρην, ὅταν περ ὑγιαίνω, μή πώποτε δειπνῆσαι πρὶν

ἐπιδ. αὐτὸν ἔφη] Leoncl. et Welsiana omisso verbo ἔφη præferunt αὐτός. Ita oratio quidem fit recta, sed species grata negligentiæ, quæ dialogum imitatur, obscuratur et perditur.

21. τὰ πεφυτευμένα] Articulum omissum malim: redit enim oratio ad eadem δένδρα, nisi τὰ πεφυτ. sic interpreteris, ut ad utrumque membrum pertineant, quasi sit: ὡς τὰ δένδρα τὰ πεφυτευμένα καλὰ μὲν εἴη, δι᾽ ἴσου δὲ πεφυτευμένα.

εὐγώνια] *humum subactam atque puram* ex h. l. transtulit Cicero de Senectute cap. xvii. diversam secutus lectionem, nisi de suo addidit. εὐγώνια enim δένδρα πάντα licet etiam de *directis in quincuncem ordinibus* arborum interpretari, quos ex h. l. idem Cicero posuit.

συμπαρομαρτοῖεν] Edd. vett. συμπαρομαρτοῦσι, Castalio — οῦσαι dedit. Verum extat etiam in margine Villois.

πάντα μὲν ταῦτα] Edd. vett. Guelf. Lips. Paris. A.C.D. omittunt ταῦτα.

22. ταῦτα τοίνυν] Paris. A. ταῦτα μέντοι dat.

ἐφύτευσα] Castalio ἐγὼ ἐφύτευσα dedit.

23. οὗ εἶχεν, εἰπεῖν,] Quod margo Steph. adscriptum habet ad αἰσθόμενος tanquam scripturæ varietatem, ἀγάμενος, non illo pertinere, sed potius ante στρεπτῶν excidisse, vera est Zeunii suspicio. Quin membrorum orationis concinnitas verbum illud plane flagitare mihi videtur vel post κάλλος vel post εἶχεν addendum. Ceterum ψελίων est in Lips. libro. ψιλίων in Paris. A.C.D.

ἦ—σαῖς] Lips. ἢ, Castalio σαῖς omisit.

24. Μίθρην] Compara Cyrop. vii.

ἱδρῶσαι, ἢ τῶν πολεμικῶν τι ἢ τῶν γεωργικῶν ἔργων μελετῶν, ἀεὶ οὖν γέ τι φιλοτιμούμενος. Καὶ αὐτὸς μέντοι, ἔφη ὁ Λύ- 25
σανδρος, ἀκούσας ταῦτα, δεξιώσασθαί τε αὐτὸν καὶ εἰπεῖν, δικαίως μοι δοκεῖς, ἔφη, ὦ Κῦρε, εὐδαίμων εἶναι· ἀγαθὸς γὰρ ὢν ἀνὴρ εὐδαιμονεῖς.

CAP. V.

ΤΑΥΤΑ δὲ, ὦ Κριτόβουλε, ἐγὼ διηγοῦμαι, ἔφη ὁ Σωκράτης, ὅτι τῆς γεωργίας οὐδ' οἱ πάνυ μακάριοι δύνανται ἀπέχεσθαι. Ἔοικε γὰρ ἡ ἐπιμέλεια αὐτῆς εἶναι ἅμα τε ἡδυπάθειά τις καὶ οἴκου αὔξησις, καὶ σωμάτων ἄσκησις εἰς τὸ δύνασθαι ὅσα ἀνδρὶ ἐλευθέρῳ προσήκει. Πρῶτον μὲν γὰρ ἀφ' ὧν ζῶσιν 2
οἱ ἄνθρωποι, ταῦτα ἡ γῆ φέρει ἐργαζομένοις· καὶ ἀφ' ὧν τοίνυν ἡδυπαθοῦσι, προσεπιφέρει. Ἔπειτα δὲ ὅσα κοσμοῦσι βωμοὺς 3
καὶ ἀγάλματα, καὶ οἷς αὐτοὶ κοσμοῦνται, καὶ ταῦτα μετὰ ἡδίστων ὀσμῶν καὶ θεαμάτων παρέχει· ἔπειτα δὲ ὄψα πολλὰ τὰ μὲν φύει, τὰ δὲ τρέφει· καὶ γὰρ ἡ προβατευτικὴ τέχνη

5, 53. τι post πολεμικῶν omittit Paris. C.D.

ἀεὶ οὖν γέ τι] Hoc effeci ex edd. pr. Codd. Guelf. Paris. A.C.D. Lips. scriptura ἢ ἀεὶ ὢν γέ τι, quam Castalio mutavit in ἀεὶ ὢν γέ τοι, Stephanus in ἀεὶ ἕν γέ τοι, Brodæus ἀεὶ καλῶν γέ τι. Camerarii conjecturam ἢ ἄλλων γέ τι cum Zeunio secutus est Weiske: sed mihi videbatur ita debere esse ἢ ἄλλο γέ τι. Nostrum est dictum pro ἀεὶ γοῦν τι φιλοτιμ.

25. δοκεῖς, ἔφη,] Edd. vett. ἔφη omittunt, quod addidit Steph. et habet Guelf. cum margine Villois.

ὢν ἀνὴρ] Juntina ἂν, Castalio plane omisit ὢν, quod habet etiam margo Villois. Cicero vertit: *Recte vero te, Cyre, beatum ferunt, quoniam virtuti tuæ fortuna conjuncta est.*

Cap. V. 1. ὅτι—οὐδὲ οἱ] Stobæus p. 372. ὅτι περ, Guelf. οὐδ' οἱ dat. Deinde αὐτῆς ἡ ἐπιμέλεια Stobæus.

εἰς τὸ δύνασθαι] Stobæus καὶ εἰς τὸ δ. et pro ὅσα dat ἅ.

2. ἀφ' ὧν ζῶσιν] Frugum varia genera, unde ζείδωρος ἄρουρα Homero dicta. ὄψα deinceps nominantur. Articulum οἱ ante ἄνθρωποι omittit Stobæus.

προσεπιφέρει] Hæc est Stobæi lectio pro προσέτι φέρει, quam suadente Dorvillio receperunt Zeune et Weiske. Mihi τοίνυν displicet, forte in ὧν τινων mutandum.

3. ὅσα κοσμοῦσι] Codex Paris. A. Stobæi habet scriptum: καὶ θεοὺς κοσμοῦσι καὶ βωμοὺς, omisso ὅσα, quod in Guelf. secunda manus adscripsit: nam in textu est ὅσοι, ut in Paris. A. C.D. et margine Villois. quod ex ὅσοις ortum esse videtur, quod mihi præplacet. Etiam deinceps Codex Stobæi καὶ οἵοις habet. Intelliguntur flores et coronæ, quibus aræ deorum, simulacra, victimæ et sacrificantes redimiuntur.

πολλὰ τὰ μὲν] Codex Stobæi τὰ μὲν πολλά. male. deinde προβατική, non minus inepte, quanquam nihil referre arbitrabatur Bach. Προβατεία est Straboni, Plutarcho, Æliano.

συνῆπται τῇ γεωργίᾳ· ὥστε ἔχειν καὶ θεοῖς ἐξαρέσκεσθαι θύον-
4 τας, καὶ αὐτοὺς χρῆσθαι. Παρέχουσα δ' ἀφθονώτατ' ἀγαθὰ,
οὐκ ἐᾷ ταῦτα μετὰ μαλακίας λαμβάνειν, ἀλλὰ ψύχη τε
χειμῶνος καὶ θάλπη θέρους ἐθίζει καρτερεῖν· καὶ τοὺς μὲν αὐ-
τουργοὺς διὰ τῶν χειρῶν γυμνάζουσα, ἰσχὺν αὐτοῖς προστίθησι,
τοὺς δὲ τῇ ἐπιμελείᾳ γεωργοῦντας, ἀνδρίζει, πρωΐ τε ἐγείρουσα,
καὶ πορεύεσθαι σφοδρῶς ἀναγκάζουσα. Καὶ γὰρ ἐν τῷ χώρῳ
καὶ ἐν τῷ ἄστει ἀεὶ ἐν ὥρᾳ αἱ ἐπικαιριώταται πράξεις εἰσίν.
5 Ἔπειτα δ' ἤν τε σὺν ἵππῳ ἀρήγειν τὶς τῇ πόλει βούληται, τὸν
ἵππον ἱκανωτάτη ἡ γεωργία συντρέφειν· ἤν τε πεζῇ, σφοδρὸν
τὸ σῶμα παρέχει· θήραις τε ἐπιφιλοπονεῖσθαι συνεπαίρει τὶ ἡ
γῆ καὶ κυσὶν εὐπέτειαν τροφῆς παρέχουσα, καὶ θηρία συμπα-
6 ρατρέφουσα. Ὠφελούμενοι δὲ καὶ οἱ ἵπποι καὶ αἱ κύνες ἀπὸ

θεοῖς ἐξαρέσκεσθαι] De Venat. i. 3. est *ἀρέσκοντες θεοῖς ὅμως ἐτελεύτησαν.* Sed diversa est utriusque loci ratio et verbi forma. Infra tamen sect. 19. iterum est *ἐξαρεσκευομένους τοῖς θεοῖς.* At in Memor. iv. 3, 16. *ἱεροῖς θεοὺς ἀρέσκεσθαι.* Demosthenes *ἐξαρέσκεσθαι δώροις τινὰ* dixit p. 1396. Contra Theognis versu 740. *σπονδὰς θεοῖσιν ἀρεσκόμενοι* dixit pro *θεοὺς σπονδαῖς.* Pro *αὐτοὺς* Paris. C.D. dant *αὐτοῖς χρῆσθαι,* et Guelf. a prima manu.

4. *ἀγαθὰ*] Omittit Codex Paris. A. Stobæi. *δὲ* post *παρέχουσα* Paris. A. *ἀφθονώτατα* dant Paris. A.C.D.

ψύχη—θάλπη] Debetur Stephano pro edd., Stobæi, Guelf. Paris. A.C. D. *ψύχει—θάλπει.* Cf. Cyropædiæ i. 2, 10. Deinde *γυμνάζουσα διὰ τ. χ.* habet Stobæus.

ἐπιμελείᾳ] Cura et inspectione, ut dominum. Sequens *ἀνδρίζει* debetur Stobæo; edd. Guelf. Paris. A.C.D. Lips. *ἀνδρίζεσθαι* dabant.

πρωΐ τε] Copulam ex Stobæo et Guelf. adjecit Zeune: ibidem *χωρίῳ* scriptum extat.

ἐπικαιριώταται] *Res maxime opportunæ* sive *utiles* sunt Weiskio, mihi *præcipuæ*. Stobæus male omisso *ἀεὶ* habet *ἐπικαιρόταται.* Mihi præterea verba *καὶ ἐν ἄστει* ab aliena manu accessisse videntur. Si sunt a Xenophonte profecta, videtur is mihi *ὥσπερ καὶ ἐν ἄστει* dedisse. Paris. D. *καὶ τῷ ἄστει* dat.

ἐν ὥρᾳ] Suo, stato, certo tempore. *ὥραις* dat Paris. A.

5. *Ἔπειτα δ'*] Ex Stobæo *δ'* adjeci cum Zeunio; idem St. deinceps *τῇ χώρᾳ βουληθῇ τις.* Est *ἀρήγειν τῇ πόλει* munus civis Atheniensis; sive inter equites seu pedites nomen profiteatur.

συντρέφειν] Codex Stobæi et Paris. A. simplex *τρέφειν* dant. Deinceps Stobæus habet: *ἐν ταῖς θήραις τε φίλ. συνεπαίρει τε ἡ γῆ.* sed Codex *σῶμα ἐν ταῖς θήραις φιλ. συνεπαίρεται ἡ γῆ.* Vulgatum, quod est etiam in Guelf. Paris. A.C.D. Lips. *συνεπαίρει τῇ γῇ* correxit Steph.

6. *Ὠφελούμενοι—οἱ ἵπποι*] Editi et scripti libri ante Zeunium *ὠφελούμεναι—αἱ ἵπποι.* Paris. A.C.D. *ὠφελούμεναι* dant, sed A. *καὶ ἵπποι,* C. *καὶ αἱ ἵπποι,* D. *καὶ οἱ ἵπποι.* Zeune e Juntina et Stobæo *ὠφελούμενοι,* e Stobæo *οἱ ἵπποι* dedit, quia *ἡ ἵππος* equitatus dici solet.

αἱ κύνες] Guelf. a prima manu *οἱ*

τῆς γεωργίας, ἀντωφελοῦσι τὸν χῶρον, ὁ μὲν ἵππος, πρωΐ τε
κομίζων τὸν κηδόμενον εἰς τὴν ἐπιμέλειαν, καὶ ἐξουσίαν παρέ-
χων ὀψὲ ἀπιέναι· αἱ δὲ κύνες, τά τε θηρία ἀπερύκουσαι ἀπὸ
λύμης καρπῶν καὶ προβάτων, καὶ τῇ ἐρημίᾳ τὴν ἀσφάλειαν
συμπαρέχουσαι. Παρορμᾷ δέ τι καὶ εἰς τὸ ἀρήγειν σὺν ὅπλοις 7
τῇ χώρᾳ καὶ ἡ γῆ τοὺς γεωργοὺς, ἐν τῷ μέσῳ τοὺς καρποὺς
τρέφουσα τῷ κρατοῦντι λαμβάνειν. Καὶ δραμεῖν δὲ καὶ βα- 8
λεῖν καὶ πηδῆσαι τίς ἱκανωτέρους τέχνη γεωργίας παρέχεται;
τίς δὲ τοῖς ἐργαζομένοις πλείω τέχνη ἀντιχαρίζεται; τίς δὲ
ἥδιον τὸν ἐπιμελόμενον δέχεται, προτείνουσα προσιόντι λαβεῖν ὅ
τι χρήζει; τίς δὲ ξένους ἀφθονώτερον δέχεται; χειμάσαι δὲ 9
πυρὶ ἀφθόνῳ καὶ θερμοῖς λουτροῖς ποῦ πλείων εὐμάρεια ἢ ἐν
χωρίῳ; ποῦ δὲ ἥδιον θερίσαι ὕδασί τε καὶ πνεύμασι καὶ σκι-
αῖς ἢ κατ' ἀγρόν; τίς δὲ ἄλλη θεοῖς ἀπαρχὰς πρεπωδεστέρας 10

κύνες habet scriptum: quo genere canes universim appellari solent a Græcis.

ὀψὲ] Stobæus editus τῆς δείλης, scriptus τοῦ δείλης dat.

ἀπερύκουσαι] Stobæus scriptus dat συνεξαίρουσαι κωλύουσι.

καὶ τῇ ἐρημίᾳ] Ita ex Stobæo scripto vulgatum καὶ τῇ τε ἐρ. correxit Zeune.

7. Παρορμᾷ] Stobæus συμπαρορμᾷ dat; quod præferam. Infra enim cap. vi. 10. est συμπαροξύνειν. Paris. C.D. τι omittunt.

καὶ ἡ γῆ] Stobæus ἡ γεωργία· καὶ ἡ γῆ τοὺς γεωργοὺς—τοῦ καρποῦ τρέφουσα καὶ κρατοῦντι λαμβάνειν, καὶ δρ. etc. Repetitam copulam καὶ aut omitti vult Weiske, aut ab initio scribi καί τι εἰς τό. Equidem sublatam malim.

ἐν τῷ μέσῳ] Interpretatur ipse cap. vi. 10. ἔξω τῶν ἐρυμάτων τὰ ἐπιτήδεια φύουσά τε καὶ τρέφουσα.

8. παρέχεται;] Stobæus παρέχηται; deinde τέχνη πλείω. Paris. A. πλείων τε τέχνη.

τίς δὲ ἥδιον] Castalio dedit τίς δὲ καὶ ἥδιον. sed vetat sequens τίς δὲ ξένους etc. eam scripturam probare.

Mox ἐπιμελούμενον—χρήζοι Stobæus dat. ἐπιμελούμ. etiam Paris. C.D.

ξένους] Stobæus scriptus ξένον ἥδιον ἢ ἀφθ. dat.

9. ποῦ πλείων εὐμάρεια ἢ ἐν χωρίῳ] Stobæi lectionem cum Camerario, Leonclavio et Zeunio prætuli vulgatæ ποῦ πολὺ πλείων εὐμάρεια ἐν χώρῳ τῳ. Languet enim nimis illud ποῦ ἐν χώρῳ τῳ. Stephanus etiam πολὺ damnavit. Sed male Zeune εὐχέρεια Stobæi prætulit, quanquam Xenophon alibi εὐμάρεια non usurpaverit. εὐχερέστερον πρὸς βῶμα πᾶν ἔχειν est in Lacedæmoniorum republica cap. ii. sect. 5. et opponitur τῷ δυσχεραίνειν, delicias facere in cibo. In Cyrop. i. 4, 7. erat δυσχερῶν et δυσχερειῶν, ubi cum Stephano δυσχωριῶν dedi. Fœda sunt δυσχερῆ Memor. i. 4, 6. δυσχερέστατον ἰδεῖν infra viii. 6. opponitur τῷ κάλλιστον ἰδεῖν. In Hierone est i. 36. πάθος δυσχερὲς καὶ οἰκτρόν. In Xenophonte εὐχέρειαν non reperio, sed ea est facilitas cum agilitate et mobilitate conjuncta; igitur ab hoc loco aliena. εὐμάρεια contra est facilitas cum commoditate conjuncta, eaque hic sola habet locum.

παρέχει, ἢ ἑορτὰς πληρεστέρας ἀποδεικνύει; τίς δὲ οἰκέταις προσφιλεστέρα, ἢ γυναικὶ ἡδίων, ἢ τέκνοις ποθεινοτέρα, ἢ φί-
11 λοις εὐχαριστοτέρα; Ἐμοὶ μὲν θαυμαστὸν δοκεῖ εἶναι, εἴ τις ἐλεύθερος ἄνθρωπος ἢ κτῆμά τι τούτου ἥδιον κέκτηται, ἢ ἐπιμέλειαν ἡδίω τινὰ ταύτης εὕρηκεν ἢ ὠφελιμωτέραν εἰς τὸν βίον.
12 Ἔτι δὲ ἡ γῆ θέλουσα τοὺς δυναμένους καταμανθάνειν καὶ δικαιοσύνην διδάσκει· τοὺς γὰρ ἄριστα θεραπεύοντας αὐτὴν πλεῖ-
13 στα ἀγαθὰ ἀντιποιεῖ. Ἐὰν δ' ἄρα καὶ ὑπὸ πλήθους ποτὲ στρατευμάτων τῶν ἔργων στερηθῶσιν οἱ ἐν τῇ γεωργίᾳ ἀναστρεφόμενοι, καὶ σφοδρῶς καὶ ἀνδρικῶς παιδευόμενοι, οὗτοι εὖ παρεσκευασμένοι καὶ τὰς ψυχὰς καὶ τὰ σώματα, ἢν μὴ θεὸς ἀποκωλύῃ, δύνανται ἰόντες εἰς τὰς τῶν ἀποκωλυόντων λαμβάνειν ἀφ' ὧν θρέψονται. Πολλάκις δ' ἐν τῷ πολέμῳ καὶ ἀσφαλέστερόν ἐστι σὺν τοῖς ὅπλοις τὴν τροφὴν μαστεύειν ἢ σὺν
14 τοῖς γεωργικοῖς ὀργάνοις. Συμπαιδεύει δὲ καὶ εἰς τὸ ἐπαρκεῖν ἀλλήλοις ἡ γεωργία. Ἐπί τε γὰρ τοὺς πολεμίους σὺν ἀνθρώ-
15 ποις δεῖ ἰέναι, τῆς τε γῆς σὺν ἀνθρώποις ἐστὶν ἡ ἐργασία. Τὸν οὖν μέλλοντα εὖ γεωργήσειν δεῖ τοὺς ἐργαστῆρας καὶ προθύμους παρασκευάζειν καὶ πείθεσθαι θέλοντας· τὸν δὲ ἐπὶ πολεμίους

10. πληρεστέρας] Paris. A.C.D. πληρεστάτας dant.

11. εἴ τις] Stobæus scriptus: ὅτι ὁ ἐλεύθερος ἄνθρωπος κτῆμά τι τούτου ἥδιον. Deinde editus habet κτᾶται ἢ ἐπιμέλειαν τινὰ ταύτης εὕρηκεν ἡδίω ἢ ὠφ. Paris. D. κτῆμά τι ἥδιον dat.

12. ἡ γῆ θέλουσα] Margo Steph. cum Paris. A. et N. Stobæi a Grotio olim comparato, Lips. et Paris. A.C.D. θέουσα, altera in margine Steph. varietas est θεὸς οὖσα, quam sequuntur Camerarius et Leoncl. In Guelf. a prima manu fuit θέουσα, dein in θέλουσα mutatum. θέουσι margo Villois. θέλουσα interpretantur *ipsa, sua sponte, facile*; Weiske, *facile, volens, benevole*. Idem τοὺς δυναμένους καταμανθάνειν interpretatur homines, qui vim habent aliquid observandi et animadvertendi.

τοὺς—θεραπεύοντας] Stobæus scriptus male τοῖς θεραπεύουσι dat. Musonii similem locum comparavit Zeune ex Stobæo p. 370.

13. Ἐὰν] Guelf. ἂν, Stobæus ἢν. sequens καὶ omittit Stobæus.

στερηθῶσιν] Stobæus scriptus: στερηθῇ ἡ γῆ, οἱ ἐν τῇ γεωργίᾳ.

τὰ σώματα] Guelf. cum Paris. C. D. articulum omittit, Stobæus τὰ σώματα καὶ τὰς ψυχὰς, ἐὰν μὴ θεὸς κωλύῃ.

εἰς τὰς] Stobæus εἰς τὰ—κωλυόντων. Camerarius ἀποστερισκόντων malebat.

14. ἐπαρκεῖν] Stobæus ἄρχειν dat. Deinde πολέμους edd. vett. Guelf. Lips. Paris. A.C.D. sed Stephanus lectionem Stobæi dedit.

σὺν ἀνθρώποις] Stobæus μετ' ἀνθρώπων dat.

15. προθύμους] Paris. C. cum Castalione προθύμως, deinde Stobæus ἐθέλοντας.

τὸν δὲ—ταὐτὰ] Vulgatum τε cor-

ἄγοντα ταὐτὰ δεῖ μηχανᾶσθαι, δωρούμενόν τε τοῖς ποιοῦσιν ἃ
δεῖ ποιεῖν τοὺς ἀγαθοὺς, καὶ κολάζοντα τοὺς ἀτακτοῦντας.
Καὶ παρακελεύεσθαι δὲ πολλάκις οὐδὲν ἧττον δεῖ τοῖς ἐργά- 16
ταις τὸν γεωργὸν ἢ τὸν στρατηγὸν τοῖς στρατιώταις· καὶ ἐλπί-
δων δὲ ἀγαθῶν οὐδὲν ἧττον οἱ δοῦλοι τῶν ἐλευθέρων δέονται,
ἀλλὰ καὶ μᾶλλον, ὅπως μένειν ἐθέλωσι. Καλῶς δὲ κἀκεῖνος 17
εἶπεν, ὃς ἔφη τὴν γεωργίαν τῶν ἄλλων τεχνῶν μητέρα καὶ τρο-
φὸν εἶναι. Εὖ μὲν γὰρ φερομένης τῆς γεωργίας, ἔῤῥωνται καὶ
αἱ ἄλλαι τέχναι ἅπασαι· ὅπου δ' ἂν ἀναγκασθῇ ἡ γῆ χερ-
σεύειν, ἀποσβέννυνται καὶ αἱ ἄλλαι τέχναι σχεδόν τι καὶ
κατὰ γῆν καὶ κατὰ θάλατταν.
Ἀκούσας δὲ ταῦτα ὁ Κριτόβουλος εἶπεν, ἀλλὰ ταῦτα μὲν 18
ἔμοιγε, ὦ Σώκρατες, καλῶς δοκεῖς λέγειν· ὅτι δὲ τῆς γεωργι-
κῆς τὰ πλεῖστα ἐστὶν ἀνθρώπῳ ἀδύνατα προνοῆσαι. Καὶ γὰρ
χάλαζαι καὶ πάχναι ἐνίοτε καὶ αὐχμοὶ καὶ ὄμβροι ἐξαίσιοι
καὶ ἐρυσίβαι καὶ ἄλλα πολλάκις τὰ καλῶς ἐγνωσμένα καὶ
πεποιημένα ἀφαιροῦνται· καὶ πρόβατα δ' ἐνίοτε κάλλιστα τε-
θραμμένα νόσος ἐλθοῦσα κάκιστα ἀπώλεσεν. Ἀκούσας δὲ 19
ταῦτα ὁ Σωκράτης εἶπεν, ἀλλ' ᾤμην ἔγωγέ σε, ὦ Κριτόβουλε,
εἰδέναι, ὅτι οἱ θεοὶ οὐδὲν ἧττόν εἰσι κύριοι τῶν ἐν τῇ γεωργίᾳ ἔρ-
γων ἢ τῶν ἐν τῷ πολέμῳ. Καὶ τοὺς μὲν ἐν τῷ πολέμῳ ὁρᾷς,
οἶμαι, πρὸ τῶν πολεμικῶν πράξεων ἐξαρεσκευομένους τοῖς θεοῖς,
καὶ ἐπερωτῶντας θυσίαις καὶ οἰωνοῖς ὅ τι τε χρὴ ποιεῖν καὶ ὅ
τι μή· Περὶ δὲ τῶν γεωργικῶν πράξεων ἧττον οἴει δεῖν τοὺς θε- 20

rexit Zeune, ταῦτα vero in ταὐτὰ mutatum interpretati sunt Camerarius et Leoncl. δὲ μηχ. C. δὴ μηχ. Paris. D.

τοῖς ποιοῦσιν ἃ δεῖ ποιεῖν] Pro his Stobæus dat scriptus: δωρούμενόν τε οἷς δεῖ.

16. ἐθέλωσι] Sic ex Stobæo et Guelf. Zeune pro θέλωσι. Pro παρακελεύεσθαι est παρασκευάζεσθαι in Paris. C.D.

17. καὶ αἱ ἄλλαι] Articulum utroque loco omittit Stobæus, altero loco etiam Guelf. qui ἀποσβέννυνται habet.

καὶ κατὰ] Stobæus scriptus καὶ omittit.

18. ὅτι δὲ] Locum lacunosum clamant omnia. Stephanus ἔτι δὲ malebat, Camerarius τί δὲ, ὅτι vertit, quod ipsum conjecit Ernesti et Wyttenbach ad Plutarchum de S. N.V. p. 89.

19. ἐξαρεσκευομένους] Margo Steph. ἐξαρεσκομένους, quæ forma est in Paris. A. Formam illam ex Plutarcho de Educatione p. 13. ed. Reiskii, et Clemente Alex. Pædag. iii. 1. vindicare studuit Zeune.

ὅ τι τε χρὴ] Paris. D. τε omisit.

20. τοὺς θεοὺς] Paris. C. articulum omittit.

οὺς ἱλάσκεσθαι; εὖ γὰρ ἴσθι, ἔφη, ὅτι οἱ σώφρονες καὶ ὑπὲρ ὑγρῶν καὶ ξηρῶν καρπῶν, καὶ βοῶν καὶ ἵππων καὶ προβάτων, καὶ ὑπὲρ πάντων γε δὴ τῶν κτημάτων τοὺς θεοὺς θεραπεύουσιν.

CAP. VI.

ΑΛΛΑ ταῦτα μὲν, ἔφη, ὦ Σώκρατες, καλῶς μοι δοκεῖς
λέγειν, κελεύων πειρᾶσθαι σὺν τοῖς θεοῖς ἄρχεσθαι παντὸς ἔρ-
γου, ὡς τῶν θεῶν κυρίων ὄντων οὐδὲν ἧττον τῶν εἰρηνικῶν ἢ τῶν
πολεμικῶν ἔργων. Ταῦτα μὲν οὖν πειρασόμεθα οὕτω ποιεῖν.
Σὺ δ' ἡμῖν ἔνθεν λέγων περὶ τῆς οἰκονομίας ἀπέλιπες, πειρῶ
τὰ τούτων ἐχόμενα διεκπεραίνειν· ὡς καὶ νῦν μοι δοκῶ, ἀκη-
κοὼς ὅσα εἶπες, μᾶλλόν τι ἤδη διορᾶν ἢ πρόσθεν ὅ τι χρὴ ποι-
2 οῦντα βιοτεύειν. Τί οὖν; ἔφη ὁ Σωκράτης, ἆρα εἰ πρῶτον
μὲν ἐπανέλθοιμεν ὅσα μὲν ὁμολογοῦντες διεληλύθαμεν, ἵν', ἣν
πως δυνώμεθα, πειραθῶμεν οὕτω καὶ τὰ λοιπὰ διεξιέναι συν-
3 ομολογοῦντες; Ἡδύ γ' οὖν ἐστιν, ἔφη ὁ Κριτόβουλος, ὥσπερ
καὶ χρημάτων κοινωνήσαντας ἀναμφιλόγως διελθεῖν, οὕτω καὶ
λόγων κοινωνοῦντας, περὶ ὧν ἂν διαλεγώμεθα, συνομολογοῦντας
4 διεξιέναι. Οὐκοῦν, ἔφη ὁ Σωκράτης, ἐπιστήμης μέν τινος ἔδο-
ξεν ἡμῖν ὄνομα εἶναι ἡ οἰκονομία. Ἡ δὲ ἐπιστήμη αὕτη ἐφαί-
νετο ᾗ οἴκους δύνανται αὔξειν ἄνθρωποι. Οἶκος δ' ἡμῖν ἐφαί-
νετο ὅπερ κτῆσις ἡ σύμπασα. Κτῆσιν δὲ τοῦτο ἔφαμεν εἶναι ὅ
τι ἑκάστῳ ὠφέλιμον εἴη εἰς τὸν βίον. Ὠφέλιμα δὲ ὄντα εὑ-
5 ρίσκετο πάντα ὁπόσοις τὶς ἐπίσταιτο χρῆσθαι. Πάσας μὲν

Cap. VI. πειρασόμεθα] Guelf. πειρασώμεθα. Deinde ἃ ἀπέλιπες edd. vett. et liber Lips. cum Paris. A.D.

2. Τί οὖν—ἆρα εἰ] Camerarius malebat εἰ ἄρα vel ἢ ἆρα. Difficultatem facit additum ἆρα vel ἄρα. Solemne est Xenophonti τί οὖν εἰ cum optativo.

Τί οὖν, ἔφη ὁ Σωκράτης, ἆρα, εἰ πρῶτον μὲν ἐπανέλθοιμεν] Scribebatur τί οὖν; ἔφη ὁ Σωκράτης, ἆρα εἰ—. DIND.

εἰ πρῶτον μὲν ἐπανέλθοιμεν ὅσα μὲν ὁμολογοῦντες διεληλύθαμεν] Secundum μέν delendum est. DIND.

δυνώμεθα] Aldina δυναίμεθα. Deinde πειρασθῶμεν dedit Weiske; vulgatum tenent etiam Paris. A.C.D. cum reliquis libris scriptis.

3. χρημάτων κοινωνήσαντας] In Memor. ii. 6, 23. est χρημάτων νομίμως κοινωνεῖν.

διελθεῖν] Intelligo τὸν λόγον, rationes pecuniarias, non διελθεῖν χρήματα, ut Weiske, qui ἀναμφιλόγους διατελεῖν malebat.

λόγων] Guelf. λόγῳ dat.

4. ἔδοξεν] Stobæus editus et scriptus ἐδόκει dat.

ὠφέλιμον εἴη] Stobæus, Guelf. Paris. A.C.D. Lips. εἴη ὠφέλιμον. Deinde Stobæus ὠφέλιμα δὲ πάντα εὑρίσκετο, ὁπόσοις.

οὖν τὰς ἐπιστήμας οὔτε μαθεῖν οἷόν τε ἡμῖν ἐδόκει, συναποδοκι-
μάζειν τε ταῖς πόλεσι τὰς βαναυσικὰς καλουμένας τέχνας,
ὅτι καὶ τὰ σώματα καταλυμαίνεσθαι δοκοῦσι, καὶ τὰς ψυ-
χὰς καταγνύουσι. Τεκμήριον δὲ σαφέστατον γενέσθαι ἂν τού- 6
του ἔφαμεν, εἰ πολεμίων εἰς τὴν χώραν ἰόντων, διακαθίσας τὶς
τοὺς γεωργοὺς καὶ τοὺς τεχνίτας, χωρὶς ἑκατέρους ἐπερωτῴη
πότερα δοκεῖ ἀρήγειν τῇ χώρᾳ, ἢ ὑφεμένους τῆς γῆς, τὰ τείχη
διαφυλάττειν. Οὕτω γὰρ ἂν τοὺς μὲν ἀμφὶ γῆν ἔχοντας ᾠό- 7
μεθ' ἂν ψηφίζεσθαι ἀρήγειν, τοὺς δὲ τεχνίτας, μὴ μάχεσθαι,
ἀλλ', ὅπερ πεπαίδευνται, καθῆσθαι μήτε πονοῦντας, μήτε κιν-
δυνεύοντας. Ἐδοκιμάσαμεν δὲ ἀνδρὶ καλῷ τε κἀγαθῷ ἐργα- 8
σίαν εἶναι καὶ ἐπιστήμην κρατίστην τὴν γεωργίαν, ἀφ' ἧς τὰ
ἐπιτήδεια ἄνθρωποι πορίζονται. Αὕτη γὰρ ἡ ἐργασία μαθεῖν 9
τε ῥᾴστη ἐδόκει εἶναι, καὶ ἡδίστη ἐργάζεσθαι, καὶ τὰ σώματα
κάλλιστά τε καὶ εὐρωστότατα παρέχεσθαι, καὶ ταῖς ψυχαῖς
ἥκιστα ἀσχολίαν παρέχειν φίλων τε καὶ πόλεων συνεπιμελεῖ-
σθαι. Συμπαροξύνειν δέ τι ἐδόκει ἡμῖν καὶ εἰς τὸ ἀλκίμους εἶ- 10
ναι ἡ γεωργία, ἔξω τῶν ἐρυμάτων τὰ ἐπιτήδεια φύουσά τε καὶ
τρέφουσα τοὺς ἐργαζομένους. Διὰ ταῦτα δὲ καὶ ἐνδοξοτάτη
εἶναι πρὸς τῶν πόλεων αὕτη ἡ βιοτεία, ὅτι καὶ πολίτας ἀρί-

5. οἷόν τε ἡμῖν ἐδόκει] Stobæus editus ἡμῖν οἷόν τε ἐδόκει, scriptus ἐδόκει οἷόν τε εἶναι. Deinde συναπεδοκιμάζομέν τε ex Stobæo malebat Stephanus. Sed vulgata bene habet, quam latine interpretari decet: *Omnes autem artes nec faciles nobis nec honestæ ad discendum visæ sunt.*

καταλυμαίνεσθαι] Stobæus simplex verbum dat et deinde καταγνῦναι.

6. ἔφαμεν] Excidit igitur cap. iv. 2. seqq. pars disputationis, ad quam Socrates respicit. Ita non opus est cum Porto delere ἔφαμεν (adeoque etiam ᾠόμεθα) nec cum Camerario φαίημεν—οἰοίμεθα scribere. Zeuniana defensio et interpretatio vulgatæ est plane absurda.

7. Οὕτω] Guelf. οὕτως cum Paris. A.C.D.

ὅπερ πεπαίδευνται] Margo Steph. παιδεύονται. Paris. A.C.D. ὅπως παιδεύονται.

8. κρατίστην τὴν γεωργίαν] Articulum addidit Weiske.

10. φύουσά τε] Malim τε cum Weiskio tollere, ut inutile. Ceterum h. l. respexit Aristoteles Œconom. i. 2. πρὸς δὲ τούτοις καὶ πρὸς ἀνδρίαν συμβάλλεται (ἡ γεωργικὴ) μεγάλα· οὐ γὰρ, ὥσπερ αἱ βάναυσοι, τὰ σώματα ἀχρεῖα ποιοῦσιν, ἀλλὰ δυνάμενα θυραυλεῖν καὶ πονεῖν, ἔτι δὲ δυνάμενα κινδυνεύειν πρὸς τοὺς πολεμίους· μόνων γὰρ τούτων τὰ κτήματα ἔξω τῶν ἐρυμάτων ἐστί.

Διὰ ταῦτα δὲ καὶ ἐνδοξοτάτη] Ita libri editi et scripti. Weiskiana nescio unde δ. τ. δὲ μὲν ἐνδ. dedit. Paris. A. δ. ταῦτα μὲν καὶ ἐνδ. sed C.D. vulgatam habent.

ἐνδοξοτάτη—πρὸς τῶν πόλεων] Ut supra est ἀδοξοῦνται πρὸς τῶν πόλεων, ita nunc hæc dicuntur, quasi esset εὐδοξοῦνται πρὸς τ. π.

βιοτεία] Guelf. βιοτία dat cum Paris. A.

11 στους καὶ εὐνουστάτους παρέχεσθαι δοκεῖ τῷ κοινῷ. Καὶ ὁ Κριτόβουλος, ὅτι μὲν, ὦ Σώκρατες, κάλλιστόν τε καὶ ἄριστον καὶ ἥδιστον ἀπὸ γεωργίας τὸν βίον ποιεῖσθαι, πάνυ μοι δοκῶ πεπεῖσθαι ἱκανῶς· ὅτι δὲ ἔφησθα καταμαθεῖν τὰ αἴτια τῶν τε οὕτω γεωργούντων ὥστε ἀπὸ τῆς γεωργίας ἀφθόνως ἔχειν ὧν δέονται, καὶ τῶν οὕτως ἐργαζομένων ὡς μὴ λυσιτελεῖν αὐτοῖς τὴν γεωργίαν, καὶ ταῦτα μοι δοκῶ ἡδέως ἑκάτερα ἀκούσειν σου, ὅπως ἃ μὲν ἀγαθά ἐστι ποιῶμεν, ἃ δὲ βλαβερὰ, μὴ ποιῶμεν.
12 Τί οὖν, ἔφη ὁ Σωκράτης, ὦ Κριτόβουλε, ἤν σοι ἐξαρχῆς διηγήσωμαι, ὡς συνεγενόμην ποτὲ ἀνδρὶ, ὃς ἐμοὶ ἐδόκει εἶναι τῷ ὄντι τούτων τῶν ἀνδρῶν, ἐφ' οἷς τοῦτο τὸ ὄνομα δικαίως ἐστὶν, ὃ καλεῖται καλός τε κἀγαθὸς ἀνήρ; Πάνυ ἂν, ἔφη ὁ Κριτόβουλος, βουλοίμην ἂν οὕτως ἀκούειν, ὡς καὶ ἔγωγε ἐρῶ τούτου
13 τοῦ ὀνόματος ἄξιος γενέσθαι. Λέξω τοίνυν σοι, ἔφη ὁ Σωκράτης, ὡς καὶ ἦλθον ἐπὶ τὴν σκέψιν αὐτοῦ. Τοὺς μὲν γὰρ ἀγαθοὺς τέκτονας, χαλκέας ἀγαθοὺς, ζωγράφους ἀγαθοὺς, ἀνδριαντοποιοὺς, καὶ τὰ ἄλλα τὰ τοιαῦτα, πάνυ ὀλίγος μοι χρόνος ἐγένετο ἱκανὸς περιελθεῖν τε, καὶ θεάσασθαι τὰ δεδοκιμασμένα
14 καλὰ ἔργα αὐτοῖς εἶναι. Ὅπως δὲ δὴ καὶ τοὺς ἔχοντας τὸ

11. *μοι δοκῶ—ἀκούσειν*] Stephani conjecturam ἀκούσειν repudiavit Bachius. In Cyrop. vii. 3, 28. est: *ὥστε τῷ Ἀπόλλωνι ἄλλα μοι δοκῶ χαριστήρια ὀφειλήσειν.* Memorab. ii. 7, 11. *νῦν δέ μοι δοκῶ εἰς ἔργων ἀφορμὴν ὑπομένειν αὐτὸ ποιῆσαι.* ubi Stephanus similiter corrigebat *ὑπομενεῖν.* ubi vide annotata. Usum futuri exemplis Platonis, Aristophanis, Isocratis stabilivit Heindorf ad Phædrum p. 200. Igitur vulgatum ἀκούειν corrigere non dubitavi.

ἀγαθά ἐστι ποιῶμεν] Paris. C.D. *ἀγαθὰ ἐποιῶμεν* dant.

12. *ἤν—διηγήσωμαι*] Juntina, Paris. A. Stobæus scriptus *διηγήσομαι,* et antea *ἐὰν* dat Stobæus.

τὸ ὄνομα] Ex Stobæo *τοὔνομα* dedit Zeune. Cicero vertit: *Homo ex eo numero hominum, qui apud nos hoc nomine dignantur.*

Πάνυ ἂν] Lips. *Πάνυ, ἔφη, ἄν.* Deinde *βουλοίμην, ὁ Κριτόβουλος, οὕτως σου.*

13. *ὡς καὶ*] Stobæus scriptus omittit *καὶ*, deinde Stobæus editus: *ἀγαθοὺς χαλκεῖς, ἀγαθοὺς ζωγράφους, ἀγαθοὺς ἀνδριαντοποιοὺς, καὶ πάντα τὰ τοιαῦτα.* Deinde *τοὺς μὲν ἀγαθοὺς* omisso *γὰρ* Paris. C.D.

ἱκανὸς] Ita plane scriptum exhibet Guelf. quanquam de eo tacet Zeune, qui hanc Stephani conjecturam cum Bachio repudiavit ideo, quod vulgatum *ἱκανῶς* eundem sensum efficiat. Quod qui potest fieri? Recte contra monet Weiske, *ἱκανῶς* ita pertinere ad *περιελθεῖν καὶ θεάσασθαι*, ad circumeunda satis et perspicienda. At in hac verborum structura debebat esse ex usu Attico *πάνυ ὀλίγος μοι χρόνος ἐγένετο ἱκανῶς περιελθόντι τε καὶ θεασαμένῳ.*

αὐτοῖς] Stobæus *αὐτῶν* habet. *ἔργα αὐτοῖς εἶεν* Paris. A.

σεμνὸν ὄνομα τοῦτο τὸ καλός τε κἀγαθὸς ἐπισκεψαίμην, τί
ποτ' ἐργαζόμενοι ταῦτ' ἀξιοῖντο καλεῖσθαι, πάνυ μου ἡ ψυχὴ
ἐπεθύμει αὐτῶν τινι συγγενέσθαι. Καὶ πρῶτον μὲν ὅτι προσ- 15
έκειτο τὸ καλὸς τῷ ἀγαθῷ, ὅντινα ἴδοιμι καλὸν, τούτῳ προσ-
ῄειν, καὶ ἐπειρώμην καταμανθάνειν, εἴπου ἴδοιμι προσηρτη-
μένον τῷ καλῷ τὸ ἀγαθόν. Ἀλλ' οὐκ ἄρα εἶχεν οὕτως· ἀλλ' 16
ἐνίους ἐδόκουν καταμανθάνειν τῶν καλῶν τὰς μορφὰς πάνυ
μοχθηροὺς ὄντας τὰς ψυχάς. Ἔδοξεν οὖν μοι, ἀφέμενον τῆς
καλῆς ὄψεως, ἐπ' αὐτῶν τινα ἐλθεῖν τῶν καλουμένων καλῶν τε
κἀγαθῶν. Ἐπεὶ οὖν τὸν Ἰσχόμαχον ἤκουον πρὸς πάντων καὶ 17
ἀνδρῶν καὶ γυναικῶν, καὶ ξένων καὶ ἀστῶν, καλόν τε κἀγα-
θὸν ἐπονομαζόμενον, ἔδοξέ μοι τούτῳ πειραθῆναι συγγενέσθαι.

CAP. VII.

ΙΔΩΝ οὖν ποτε αὐτὸν ἐν τῇ τοῦ Διὸς τοῦ Ἐλευθερίου στοᾷ καθήμενον, ἐπεί μοι ἔδοξε σχολάζειν, προσῆλθον αὐτῷ, καὶ παρακαθιζόμενος εἶπον· Τί, ὦ Ἰσχόμαχε, οὐ μάλα εἰωθὼς

14. *καλός τε κἀγαθὸς*] Ita ex Stobæo, qui tamen *τὸ* omisit, vulgatum accusativum verborum horum correxit Zeune. Deinde Stobæus *τί ποτε ἐργασάμενοι τοῦτο ἀξιοῦνται καλεῖσθαι.*

πάνυ μου] Stobæus *πάνυ μοι* exhibet cum Paris. C.

15. *τὸ καλὸς*] Guelf. Paris. C.D. *τὸ κάλλος*. Stobæus *ὁ καλὸς*. Deinde *ἄν τινα καλὸν ἴδοιμι* Stobæanum præfero, ut magis Atticum.

τῷ καλῷ] Stobæus *τῷ κάλλει.*

16. *τῆς καλῆς ὄψεως*] Stobæus *τῆς καλῆς, τῆς ὄψεως.*

17. *Ἰσχόμαχον*] Hunc narrat Lysias p. 646. ed. Reiskii locupletissimum esse habitum, dum viveret, et ei septuaginta talenta amplius esse vulgo creditum esse, sed eum morientem nisi viginti non reliquisse. Nescio an idem sit, de quo narrat Heraclides Ponticus apud Athenæum xii. p. 537. *τὸν δὲ Νικίου τοῦ Περγασῆθεν πλοῦτον ἢ τὸν Ἰσχομάχου τίνες ἀπώλεσαν; οὐκ Αὐτοκλέης καὶ Ἐπικλέης οἱ μετ' ἀλλήλων ζῆν προελόμενοι καὶ πάντ' ἐν ἐλάττονι ποιούμενοι τῆς ἡδονῆς;* quam narrationem pervertit Ælianus V. H. iv. 23. Autocles et Epicles videntur non tam filii Niciæ et Ischomachi quam generi fuisse. Apud Plutarchum de Curiositate p. 132. ed. Hutten. extat narratio de Ischomacho ab Aristippo philosopho Olympiæ interrogato, *τί Σωκράτης διαλεγόμενος οὕτω τοὺς νέους διατίθησι· καὶ μικρὰ ἄττα τῶν λόγων αὐτοῦ σπέρματα καὶ δείγματα λαβὼν, οὕτως ἐμπαθῶς ἔσχεν, ὥστε τῷ σώματι συμπεσεῖν καὶ γενέσθαι παντάπασιν ὠχρὸς καὶ ἰσχνός.*

ἀνδρῶν καὶ γυναικῶν] Vulgo insertam post *ἀνδρῶν* copulam *τε* sustuli, quam postea vidi deesse etiam in Paris. A.

Cap. VII. *Διὸς τ. Ἐλευθερίου στοᾷ*] Huic sacra facta quotannis memorat Lysias Orat. p. 438. ed. Taylori, Plutarchus in Demosthene, Demosthenes Procemio 63. Eundem *Σωτῆρα* dictum fuisse censebant ii, quos

σχολάζειν, κάθησαι; ἐπεὶ τά γε πλεῖστα ἢ πράττοντά τι
2 ὁρῶ σε, ἢ οὐ πάνυ σχολάζοντα ἐν τῇ ἀγορᾷ. Οὐδὲ ἄν γε
νῦν, ἔφη ὁ Ἰσχόμαχος, ὦ Σώκρατες, ἑώρας, εἰ μὴ ξένους τι-
νὰς συνεθέμην ἀναμένειν ἐνθάδε. Ὅταν δὲ μὴ πράττῃς τὶ
τοιοῦτον, πρὸς τῶν θεῶν, ἔφην ἐγὼ, ποῦ διατρίβεις, καὶ τί
ποιεῖς; Ἐγὼ γάρ τοι πάνυ βούλομαί σου πυθέσθαι τί ποτε
πράττων καλὸς κἀγαθὸς κέκλησαι, ἐπεὶ οὐκ ἔνδον γε διατρί-
βεις, οὐδὲ τοιαύτη σου ἡ ἕξις τοῦ σώματος καταφαίνεται.
3 Καὶ ὁ Ἰσχόμαχος γελάσας ἐπὶ τῷ, τί ποιῶν καλὸς κἀγαθὸς
κέκλησαι, καὶ ἡσθεὶς, ὥς γ' ἐμοὶ ἔδοξεν, εἶπεν· Ἀλλ' εἰ μὲν,
ὅταν σοι διαλέγωνται περὶ ἐμοῦ τινες, καλοῦσί με τοῦτο τὸ
ὄνομα, οὐκ οἶδα. Οὐ γὰρ δὴ ὅταν γέ με εἰς ἀντίδοσιν κα-
λῶνται τριηραρχίας ἢ χορηγίας, οὐδεὶς, ἔφη, ζητεῖ τὸν καλόν
τε κἀγαθὸν, ἀλλὰ σαφῶς, ἔφη, ὀνομάζοντές με Ἰσχόμαχον,
πατρόθεν προσκαλοῦνται. Ἐγὼ μὲν τοίνυν, ἔφη, ὦ Σώκρα-
τες, ὃ με ἐπήρου, οὐδαμῶς ἔνδον διατρίβω. Καὶ γὰρ δὴ,
ἔφη, τά γε ἐν τῇ οἰκίᾳ μου πάνυ καὶ αὐτὴ ἡ γυνὴ ἱκανή ἐστι
4 διοικεῖν. Ἀλλὰ καὶ τοῦτο, ἔφην ἔγωγε, ὦ Ἰσχόμαχε, πάνυ
ἂν ἡδέως σου πυθοίμην, πότερα αὐτὸς σὺ ἐπαίδευσας τὴν γυν-
αῖκα, ὥστε εἶναι, οἵαν δεῖ, ἢ ἐπισταμένην ἔλαβες παρὰ τοῦ
5 πατρὸς καὶ τῆς μητρὸς διοικεῖν τὰ προσήκοντα αὐτῇ. Καὶ

narrat Scholiastes græcus ad Aristoph. Plut. versu 1176. Porticum templo adjunctam liberti dicuntur ædificasse ab Hyperide apud Harpocrationem. Prope forum fuisse ex hoc loco apparet.

κάθησαι] Lips. κάθισαι, deinde πλεῖστον.

2. ἔνδον γε] Ex Lips. marg. Villois. et Paris. A.C.D. γε addidi. Paulo antea iidem libri Paris. καλός τε κἀγαθὸς dant.

3. ὥς γ' ἐμοὶ] Sic Lips. pro ὥς γε ἐμοί.

ἀντίδοσιν] Hanc explicavit Wolf. Prolegom. ad Leptineam p. 123. et Spalding ad Midianam c. 23.

πατρόθεν] Addito patris nomine, non illis verbis τὸν καλὸν κἀγαθὸν vocant. Patris Ischomachi nomen equidem ignoro. Ἰσχόμαχος Φιλοστράτου, apud Brodæum positus in exemplo est, nescio an ex historia.

προσκαλοῦνται] Camerarius προκαλοῦνται legit et *postulant* interpretatur.

οὐδαμῶς—διατρίβω] Ita Codex Lips. cum Paris. A.C.D. et Stephaniana scriptum exhibet, pro quo vulgatum est κατατρίβω. Sed præterea Stephanus eumque secutus Weiske οὐ πάνυ edidit, nullo, quod sciam equidem, libro auctore.

αὐτὴ ἡ γυνὴ] i. e. sola uxor. Deinde ἐστὶν ἱκανὴ Guelf. Lips. Paris. A. C.D.

4. ἡδέως σου] Male Guelf. σοι habet scriptum. Deinde Lips. σὺ αὐτός.

τί ἂν, ἔφη, ὦ Σώκρατες, ἐπισταμένην αὐτὴν παρέλαβον, ἣ ἔτη
μὲν οὔπω πεντεκαίδεκα γεγονυῖα ἦλθε πρὸς ἐμὲ, τὸν δ' ἔμ-
προσθεν χρόνον ἔζη ὑπὸ πολλῆς ἐπιμελείας, ὅπως ὡς ἐλά-
χιστα μὲν ὄψοιτο, ἐλάχιστα δ' ἀκούσοιτο, ἐλάχιστα δ' ἔροι-
το; Οὐ γὰρ ἀγαπητόν σοι δοκεῖ εἶναι, εἰ μόνον ἦλθεν ἐπι- 6
σταμένη, ἔρια παραλαβοῦσα, ἱμάτιον ἀποδεῖξαι, καὶ ἑωρα-
κυῖα, ὡς ἔργα ταλάσια θεραπαίναις δίδοται; Ἐπεὶ τά γε
ἀμφὶ γαστέρα, ἔφη, πάνυ καλῶς, ὦ Σώκρατες, ἦλθε πεπαι-
δευμένη. Ὅπερ μέγιστον ἔμοιγε δοκεῖ παίδευμα εἶναι καὶ
ἀνδρὶ καὶ γυναικί. Τὰ δ' ἄλλα, ἔφην ἐγὼ, ὦ Ἰσχόμαχε, 7
αὐτὸς ἐπαίδευσας τὴν γυναῖκα, ὥστε ἱκανὴν εἶναι, ὧν προσή-
κει, ἐπιμελεῖσθαι; Οὐ μὰ Δί', ἔφη ὁ Ἰσχόμαχος, οὔ, πρίν
γε καὶ ἔθυσα, καὶ εὐξάμην ἐμέ τε τυγχάνειν διδάσκοντα, καὶ
ἐκείνην μανθάνουσαν τὰ βέλτιστα ἀμφοτέροις ἡμῖν. Οὐκοῦν, 8
ἔφην ἐγὼ, καὶ ἡ γυνή σοι συνέθυε καὶ συνεύχετο αὐτὰ ταῦτα;
Καὶ μάλα γ', ἔφη ὁ Ἰσχόμαχος, πολλὰ ὑπισχνουμένη μὲν
πρὸς τοὺς θεοὺς, γενέσθαι, οἵαν δεῖ, καὶ εὔδηλος ἦν, ὅτι οὐκ
ἀμελήσει τῶν διδασκομένων. Πρὸς θεῶν, ἔφην ἐγὼ, ὦ Ἰσχό- 9

5. πεντεκαίδεκα γεγονυῖα] Hic mos Athenis fuisse videtur, etsi Aristoteles Politicorum vii. 16. ante annum ætatis 18. recte conjugium puellas inire posse neget.

ὡς ἐλάχιστα] Guelf. ἐς ἐλάχιστα. Locum hunc respexit Plutarchus de Pythiæ oraculis p. 596. ed. Reiskii, p. 285. ed. Huttenii.

6. εἰ μόνον] Hanc Stephani emendationem Camerarius reliquique Interpretes recte vulgato edd. vett. εἰ μὴ μόνον prætulerunt. In Guelf. est εἰ μὴ omisso μόνον. Cum Stephano facit liber Lips.

7. τε τυγχάνειν] Recte Camerarius corrigit ἐμέ τ' ἐπιτυγχάνειν, et *meam esse doctrinam fortunatam* interpretatus. Paris. C.D. τε omittunt.

8. συνεύχετο] Lips. Codex συνηύχετο. Sequens αὐτὰ pro αὐτὸς recte cum Castal. Strebæo, Camerario, Stephano, Guelf. Lips. probavit Zeune. αὐτῷ est in Paris. A.C.D.

ὑπισχνουμένη] Edd. vett. ὑποσχομένους, quod vitium correxit Castalio. ὑπισχνουμένη Guelf. margo Villois. et Paris. A. C. ὑποσχομένη D. ὑπισχομένη Lips. Sequens μὲν Stephanus in μοι mutari jussit. Sed prius de sensu quærendum est. Camerarius vertit *testibus diis studiose promittens*, cum alii vertissent: *multa diis pollicita, si evaderet qualis deberet.* Zeune Camerarii interpretationem probans, tamen cum Bachio μὲν defendens, ait sensum ejus ita reddi: *et quidem multa promittens.* Sed si Camerarium sequaris, μοι probandum erit. ὑπισχνουμένη probavit Weiske, quod tempus et ipse aptius vulgato ὑποσχομένη esse puto. At γενέσθαι de futuro insolens mihi in hac quidem verborum structura videtur. μοι Stephanianum probat idem Weiske.

μαχε, τί πρῶτον διδάσκειν ἤρχου αὐτὴν, διηγοῦ μοι· ὡς ἐγὼ
ταῦτ' ἂν ἥδιόν σου διηγουμένου ἀκούοιμι, ἢ εἴ μοι γυμνικὸν ἢ
10 ἱππικὸν ἀγῶνα τὸν κάλλιστον διηγοῖο. Καὶ ὁ Ἰσχόμαχος
ἀπεκρίνατο, τί δ'; ἔφη, ὦ Σώκρατες, ἐπεὶ ἤδη μοι χειροήθης
ἦν, καὶ ἐτιθασσεύετο, ὥστε διαλέγεσθαι, ἠρόμην αὐτὴν, ἔφη,
ὧδέ πως· εἰπέ μοι, ὦ γύναι, ἆρα ἤδη κατενόησας, τίνος ποτὲ
ἕνεκα ἐγώ τε σε ἔλαβον, καὶ οἱ σοὶ γονεῖς ἔδωκάν σε ἐμοί;
11 Ὅτι μὲν γὰρ οὐκ ἀπορία ἦν, μεθ' ὅτου ἄλλου ἐκαθεύδομεν ἂν,
οἶδ' ὅτι καὶ σοὶ καταφανὲς τοῦτ' ἔστι. Βουλευόμενος δ' ἔγωγε
ὑπὲρ ἐμοῦ, καὶ οἱ σοὶ γονεῖς ὑπὲρ σοῦ, τίν' ἂν κοινωνὸν βέλτι-
στον οἴκου τε καὶ τέκνων λάβοιμεν, ἐγώ τε σὲ ἐξελεξάμην, καὶ
12 οἱ σοὶ γονεῖς, ὡς ἐοίκασιν, ἐκ τῶν δυνατῶν ἐμέ. Τέκνα μὲν οὖν
ἦν θεός ποτε διδῷ ἡμῖν γενέσθαι, τότε βουλευσόμεθα περὶ αὐ-
τῶν, ὅπως ὅτι βέλτιστα παιδεύσομεν αὐτά· κοινὸν γὰρ ἡμῖν
καὶ τοῦτο τἀγαθὸν, συμμάχων καὶ γηροβοσκῶν ὅτι βελτίστων
13 τυγχάνειν· νῦν δὲ δὴ οἶκος ἡμῖν ὅδε κοινός ἐστιν. Ἐγώ τε γὰρ,
ὅσα μοι ἐστὶν ἅπαντα, εἰς τὸ κοινὸν ἀποφαίνω· σύ τε, ὅσα
ἠνέγκω, πάντα εἰς τὸ κοινὸν κατέθηκας· καὶ οὐ τοῦτο δεῖ λο-
γίζεσθαι, πότερος ἄρα ἀριθμῷ πλείω συμβέβληται ἡμῶν, ἀλλ'
ἐκεῖνο δεῖ εὖ εἰδέναι, ὅτι ὁπότερος ἂν ἡμῶν βελτίων κοινωνὸς ᾖ,
14 οὗτος τὰ πλείονος ἄξια συμβάλλεται. Ἀπεκρίνατο δέ μοι,
ὦ Σώκρατες, πρὸς ταῦτα ἡ γυνὴ, τί δ' ἂν ἐγώ σοι, ἔφη, δυναί-

9. τί πρῶτον] Cicero vertit: *Quid igitur, pro deum immortalium, primum eam docebas, quæso?* Guelf. τί omittit inepte.

10. ἐτιθασσεύετο] Paris. A. ἐπιτιτασσεύετο suprascripto ἐπετιτασσεύετο, Paris. C. habet ἐτιτασεύετο scriptum.

ἔφη, ὧδέ πως] Guelf. cum Paris. C. ἔφη omisit, non male.

ἔδωκαν] Lips. liber ἔδωσαν, Guelf. ἔδοσαν cum Paris. A.C.D. dant.

11. Βουλευόμενος] Juntina, Paris. C. D. et Guelf. βουλόμενος, margo Steph. βουλευόμενοι. verum est etiam in margine Villois.

οἴκου] Edd. vett. Guelf. Lips. Paris. A.C.D. οἴκοι.

ἐκ τῶν δυνατῶν] *Quantum fieri potuit, quantum in ipsis fuit*, scilicet βέλτιστον. Ita Weiske cum Brodæo et Camerario interpretatur; sed Leoncl. *ex iis quos poterant*. Equidem cum Camerario malim, *pro eo atque licuit*. Sic dicitur ἐκ τῶν ἐνόντων, ἐκ τῶν ἐκδεχομένων, ἐκ τῶν ὄντων, de quibus Vigerum vide p. 600. editionis Hermanni. Sic fere est ἐκ τῶν ὁμοίων in Platonis Phædro sect. 45. p. 240. edit. Heindorfianæ.

12. παιδεύσομεν] Margo Steph. παιδεύσωμεν annotavit. Deinde γηρωβοσκῶν Codex Lips.

τοῦτο ἀγαθόν Dobræus ad Aristophanica Porsoni p. (142). Legebatur τοῦτου τἀγαθόν. DIND.

13. δεῖ εὖ εἰδέναι] Guelf. δεῖ omittit, igitur seclusit Zeune.

μὴν συμπρᾶξαι; τίς δὲ ἡ ἐμὴ δύναμις; ἀλλ' ἐν σοὶ πάντα
ἐστίν· ἐμὸν δ' ἔφησεν ἡ μήτηρ ἔργον εἶναι σωφρονεῖν. Ναὶ μὰ 15
Δί', ἔφην ἐγὼ, ὦ γύναι· καὶ γὰρ καὶ ἐμοὶ ὁ πατήρ. Ἀλλὰ
σωφρόνων τοι ἐστὶ καὶ ἀνδρὸς καὶ γυναικὸς, οὕτω ποιεῖν, ὅπως
τά τε ὄντα ὡς βέλτιστα ἕξει, καὶ ἄλλα ὅτι πλεῖστα ἐκ τοῦ
καλοῦ τε καὶ δικαίου προσγενήσεται. Καὶ τί δὲ ὁρᾷς, ἔφη ἡ 16
γυνὴ, ὅ τι ἂν ἐγὼ ποιοῦσα συναύξοιμι τὸν οἶκον; Ναὶ μὰ Δί',
ἔφην ἐγὼ, ἅ τε οἱ θεοὶ ἔφυσάν σε δύνασθαι, καὶ ὁ νόμος συν-
επαινεῖ, ταῦτα πειρῶ ὡς βέλτιστα ποιεῖν. Καὶ τί δαὶ ταῦτά 17
ἐστιν; ἔφη ἐκείνη. Οἶμαι μὲν ἔγωγε, ἔφην, οὐ τὰ ἐλαχίστου
ἄξια, εἰ μή περ γε καὶ ἡ ἐν τῷ σμήνει ἡγεμὼν μέλιττα ἐπ'
ἐλαχίστου ἀξίοις ἔργοις ἐφέστηκεν. Ἐμοὶ γάρ τοι, ἔφη φά- 18
ναι, καὶ οἱ θεοὶ, ὦ γύναι, δοκοῦσι πολὺ διεσκεμμένως μάλι-
στα τὸ ζεῦγος τοῦτο συντεθεικέναι, ὃ καλεῖται θῆλυ καὶ ἄρρεν,
ὅπως ἔτι ὠφελιμώτατον ᾖ αὐτῷ εἰς τὴν κοινωνίαν. Πρῶτον 19

14. ἐμὸν δ' ἔφησεν] Hoc ordine verba collocant Guelf. Lips. Paris. A.C.D. Vulgo est ἐμὸν δ' ἔργον ἔφησεν ἡ μ. εἶναι.

15. καὶ ἐμοὶ ὁ] Male Guelf. Paris. A.C.D. et Lips. καὶ omittunt.

ἐστὶ καὶ—οὕτω] Guelf. ἐστὶν, deinde οὕτως Guelf. Lips. Paris. A.C. D. postea τά τ' ἐόντα Guelf.

16. τί δὲ] Guelf. cum Lips. τί δὲ, ἔφη ἡ γυνὴ, ὁρᾷς. Paris. A.D. τί δὲ ἔφη ὁρᾷς ἡ γυνή.

ἔφυσάν σε] Codex Paris. A. ἐφύτευσάν τε, edd. vett. ἔφησαν. Paris. C.D. ἔφησάν τε.

17. τί δαὶ] Guelf. Paris. A.C.D. et Lips. τί δὴ, quod etiam margo Steph. et Villois. annotavit.

ἐφέστηκεν] Paris. A. dat συνέτυχεν.

18. Ἐμοὶ γάρ τοι] Guelf. ἐμοὶ μὲν γάρ τοι. Ciceronis interpretationem totius loci huc referam ex Columella in Præfatione ad librum xii. sed ita ut particulatim apponam ad singula Xenophontis loca, quo clarius appareat, quam Cicero lectionem sit secutus. Exorditur igitur Columella sic: *Xenophon Atheniensis in eo libro, qui Œconomicus inscribitur, prodidit maritale conjugium sic comparatum esse natura, ut non solum jucundissima, verum etiam utilissima vitæ societas iniretur: nam primum, quod Cicero ait, ne genus humanum temporis longinquitate occideret, propter hoc marem cum fœmina esse conjunctum: deinde ut ex hac eadem societate mortalibus adjutoria senectutis nec minus propugnacula præpararentur.*

διεσκεμμένως] Lips. Codex scriptum habet διεσκεμμένος, deinde Guelf. μάλλιστα.

ἔτι ὠφελιμώτατον] Quod monueram in annotatione ad Columellam, Ciceronem Xenophontis locum pleniorem et integriorem legisse, idem nunc ex particula ἔτι recte arguit Weiske, qui suspicatur olim fuisse ὅπως ὅτι ἥδιστον καὶ ἔτι ὠφελιμώτατον. Stephanus simpliciter ἔτι in ὅτι mutari voluit cum Brodæo, cum Ciceronianæ versionis non meminisset.

ὅπως ὅτι ὠφελιμώτατον ᾖ αὐτῷ] Vulgo αὐτῷ. Vide, si opus, s. 28. DIND.

μὲν γὰρ τῷ μὴ ἐκλιπεῖν ζώων γένη, τοῦτο τὸ ζεῦγος κεῖται
μετ' ἀλλήλων τεκνοποιούμενον· ἔπειτα τὸ γηροβοσκοὺς κεκτῆ-
σθαι ἑαυτοῖς ἐκ τούτου τοῦ ζεύγους τοῖς γοῦν ἀνθρώποις πορί-
ζεται. Ἔπειτα δὲ καὶ ἡ δίαιτα τοῖς ἀνθρώποις οὐχ, ὥσπερ
τοῖς κτήνεσιν, ἐστὶν ἐν ὑπαίθρῳ, ἀλλὰ στεγνῶν δεῖται δηλονότι.
20 Δεῖ μέντοι τοῖς μέλλουσιν ἀνθρώποις ἕξειν ὅ τι εἰσφέρωσιν εἰς
τὸ στεγνὸν ἔχειν τοὺς ἐργαζομένους τὰς ἐν τῷ ὑπαίθρῳ ἐργα-
σίας. Καὶ γὰρ νέατος, καὶ σπόρος, καὶ φυτεία, καὶ νομαὶ,
ὑπαίθρια ταῦτα πάντα ἔργα ἐστίν· ἐκ τούτων δὲ τὰ ἐπιτήδεια
21 γίγνεται. Δεῖ δ' αὖ, ἐπειδὰν ταῦτα εἰσενεχθῇ εἰς τὸ στεγνὸν,
καὶ τοῦ σώσοντος ταῦτα, καὶ τοῦ ἐργασομένου δ' ἃ τῶν στε-
γνῶν ἔργα δεόμενα ἐστί. Στεγνῶν δὲ δεῖται καὶ ἡ τῶν νεογνῶν
τέκνων παιδοτροφία, στεγνῶν δὲ καὶ αἱ ἐκ τοῦ καρποῦ σιτο-

19. τῷ μὴ] Durissima et sine exemplo dictio, pro ἐπὶ τῷ. Edd. vett. cum Guelf. Lips. ἐπὶ τὸ habent. Paris. C. deinde ἀνθρώπων γένη dat.

τὸ ζεῦγος κεῖται] *Conjunctum est* interpretatur Zeune; Weiske putat posse etiam reddi, *constitutum, ordinatum est*, quia κεῖσθαι sit relatum cum τιθείη. Quod quo pertineat, ignoro. Hoc video, κεῖται μετ' ἀλλήλων hoc loco esse pro συντέθειται, *compositum, conjunctum est*, positum. Ceterum γηρωβοσκοὺς iterum est in Lips. libro, ut in Paris. A.C. D. πορίζεσθαι margo Villois. dat.

Ἔπειτα] Cicero: *Tum etiam, cum victus et cultus humanus non uti feris in propatulo ac silvestribus locis, sed domi sub tecto accurandus erat, necessarium fuit alterutrum foris et sub dio esse, qui labore et industria compararet, quæ tectis reconderentur.*

στεγνῶν] Edd. vett. Lips. Guelf. στεγῶν.

20. Δεῖ—τοῖς] Comparavit Weiske locum Anab. iii. 4, 35. δεῖ ἐπισάξαι τὸν ἵππον Πέρσῃ ἀνδρί. ubi dativum commodi esse censet. Noster infra cap. viii. 9. εἰ γεωργὸς—κἄπειτα—διαλέγειν δέοι αὐτῷ.

εἰσφέρωσιν] Guelf. εἰσφέρουσι. deinde ἔχειν, quod est etiam in margine Villois. omittit Juntina, Guelf. Lips. Paris. A.D. postea νεατὸς Guelf. Lips. Cicero locum sic reddidit: *Siquidem vel rusticari vel navigare vel etiam genere alio negotiari necesse erat, ut aliquas facultates acquireremus.*

νεατός hinc citavit Photius p. 290. Pors. Scribebatur νέατος. DIND.

21. σώσοντος—δ' ἃ] Lips. σώσαντος. Deinde cum Guelf. Paris. A.C. D. et edd. τὰ τῶν στεγνῶν. Leonclavii emendationem ἃ recepit Zeune, δ' inseruit Weiske. Sic apparet etiam, unde τὰ ortum duxerit.

καὶ αἱ ἐκ] Guelf. et Paris. A. αἱ omiserunt. Cicero interpretatus est h. l. ita: *Cum vero paratæ res sub tectum essent congestæ, alium esse oportuit, qui et illatas custodiret et ea conficeret opera, quæ domi deberent administrari. nam et fruges cæteraque alimenta terrestria indigebant tecto, et ovium cæterarumque pecudum fœtus atque fructus clauso custodiendi erant, nec minus reliqua utensilia, quibus aut alitur hominum genus aut etiam excolitur.* Unde apparet, Ciceronem τέκνα de peco-

ποιῖαι δέονται· ὡσαύτως δὲ καὶ ἡ τῆς ἐσθῆτος ἐκ τῶν ἐρίων
ἐργασία. Ἐπεὶ δ' ἀμφότερα ταῦτα καὶ ἔργων καὶ ἐπιμε- 22
λείας δεῖται τά τε ἔνδον καὶ τὰ ἔξω, καὶ τὴν φύσιν, φάναι,
εὐθὺς παρεσκεύασεν ὁ θεὸς, ὡς ἐμοὶ δοκεῖ, τὴν μὲν τῆς γυναι-
κὸς ἐπὶ τὰ ἔνδον ἔργα καὶ ἐπιμελήματα, τὴν δὲ τοῦ ἀνδρὸς
ἐπὶ τὰ ἔξω ἔργα καὶ ἐπιμελήματα. Ῥίγη μὲν γὰρ, καὶ 23
θάλπη, καὶ ὁδοιπορίας, καὶ στρατείας, τοῦ ἀνδρὸς τὸ σῶμα
καὶ τὴν ψυχὴν μᾶλλον δύνασθαι καρτερεῖν κατεσκεύασεν·
ὥστε τὰ ἔξω ἐπέταξεν αὐτῷ ἔργα· τῇ δὲ γυναικὶ ἧσσον τὸ
σῶμα δυνατὸν πρὸς ταῦτα φύσας, τὰ ἔνδον ἔργα αὐτῇ, φάναι
ἔφη, προστάξαι μοι δοκεῖ ὁ θεός. Εἰδὼς δὲ, ὅτι τῇ γυναικὶ 24
καὶ ἐνέφυσε καὶ προσέταξε τὴν τῶν νεογνῶν τέκνων τροφὴν, καὶ
τοῦ στέργειν τὰ νεογνὰ βρέφη πλεῖον αὐτῇ ἐδάσατο, ἢ τῷ ἀν-
δρί. Ἐπεὶ δὲ καὶ τὸ φυλάττειν τὰ εἰσενεχθέντα τῇ γυναικὶ 25
προσέταξε, γιγνώσκων ὁ θεὸς, ὅτι πρὸς τὸ φυλάττειν οὐ κά-
κιόν ἐστι φοβερὰν εἶναι τὴν ψυχὴν, πλεῖον μέρος καὶ τοῦ φό-
βου ἐδάσατο τῇ γυναικὶ, ἢ τῷ ἀνδρί. Εἰδὼς δὲ, ὅτι καὶ
ἀρήγειν αὖ δεήσει, ἐάν τις ἀδικῇ τὸν τὰ ἔξω ἔργα ἔχοντα,
τούτῳ αὖ πλεῖον μέρος τοῦ θράσους ἐδάσατο. Ὅτι δ' ἀμφο- 26

rum fœtu interpretatum fuisse; non inepte.

22. καὶ ἐπιμελείας] Juntina καὶ omisit. Deinde τὰ μὲν τῆς γυναικὸς dant edd. vett. Guelf. Lips. sed margo Villois. τὴν μέν. Cicero interpretatur: *Quare cum operam et diligentiam desiderarent ea, quæ proposuimus, nec exigua cura foris acquirerentur, quæ domi custodiri oporteret, jure, ut dixi, natura comparata est mulieris ad domesticam diligentiam, viri autem ad exercitationem forensem et extraneam.* ubi antea legebatur: *a natura comparata est opera mulieris,* quasi Cicero τὰ μὲν τῆς γυναικὸς, non τὴν τῆς γυναικὸς φύσιν reddere voluisset.

23. κατεσκεύασεν] Stephani παρεσκεύασεν revocavit Weiske damnatum a Zeunio propter consensum edd. vett. et librorum scriptorum. Est tamen etiam in margine Villois. Cicero: *Itaque viro calores et frigora perpetienda, tum etiam itinera et labores pacis ac belli, id est rusticationis et militarium stipendiorum deus tribuit: mulieri deinceps, quod omnibus his rebus eam fecerat inhabilem, domestica negotia curanda tradidit.*

24. πλεῖον αὐτῇ] Edd. vett. πλείων ἐδάσατα αὐταῖς, sed ἐδάσατο margo Villois.

25. Ἐπεὶ δὲ καὶ τὸ] Paris. A.C.D. καὶ omittunt, deinde γινώσκων dant.

εἰσενεχθέντα] Juntina, Guelf. et margo Steph. εἰσαχθέντα dant, Guelf. etiam φυλάσσειν. quod repetit statim cum Lips. libro. Cicero interpretatur: *Et quoniam hunc sexum custodiæ et diligentiæ assignaverat, idcirco timidiorem reddidit quam virilem: nam metus plurimum confert ad diligentiam custodiendi.*

τέρους δεῖ καὶ διδόναι καὶ λαμβάνειν, τὴν μνήμην καὶ τὴν ἐπιμέλειαν εἰς τὸ μέσον ἀμφοτέροις κατέθηκεν. Ὥστε οὐκ ἂν ἔχοις διελεῖν, πότερα τὸ ἔθνος τὸ θῆλυ ἢ τὸ ἄῤῥεν τούτων πλεο-
27 νεκτεῖ. Καὶ τὸ ἐγκρατεῖς δὲ εἶναι, ὧν δεῖ, εἰς τὸ μέσον ἀμφοτέροις κατέθηκε, καὶ ἐξουσίαν ἐποίησεν ὁ θεὸς, ὁπότερος ἂν ᾖ βελτίων, εἴθ' ὁ ἀνὴρ, εἴθ' ἡ γυνὴ, τοῦτον καὶ πλεῖον φέρεσθαι
28 τούτου τοῦ ἀγαθοῦ. Διὰ δὲ τὸ τὴν φύσιν μὴ πρὸς πάντα ταὐτὰ ἀμφοτέρων εὖ πεφυκέναι, διὰ τοῦτο καὶ δέονται μᾶλλον ἀλλήλων, καὶ τὸ ζεῦγος ὠφελιμώτερον ἑαυτῷ γεγένηται, ἃ
29 τὸ ἕτερον ἐκλείπεται, τὸ ἕτερον δυνάμενον. Ταῦτα δὲ, ἔφην, δεῖ ἡμᾶς, ὦ γύναι, εἰδότας, ἃ ἑκατέρῳ ἡμῶν προστέτακται

27. βελτίων] *firmior, robustior animo* interpretatur Weiske, et sequens τοῦ ἀγαθοῦ de ipsa virtute, ἐγκρατείᾳ, non de præmio ex ea consequendo. Cicero: *Quod autem necesse erat foris et in aperto victum quærentibus nonnunquam injuriam propulsare, idcirco virum quam mulierem fecit audaciorem. Quia vero partis opibus æque fuit opus memoria et diligentia, non minorem fœminæ quam viro earum rerum tribuit possessionem.*

28. Διὰ δὲ τὸ] Juntina omisit τὸ. Sequens ταὐτὰ dedi pro ταῦτα: deinde ἑαυτῷ cum Weiskio revocavi ex Stephaniana, Paris. A.C.D. et Guelf. in locum ἑαυτῶν, quod est in reliquis edd. et ineptissime defenditur a Zeunio. Compara sectionem 18. Rationem mutati ταῦτα in ταὐτὰ jam olim edidi in annotatione ad Columellam. Cicero enim interpretatur: *Tum etiam quod simplex natura non omnes res commode amplecti valebat, idcirco alterum alterius indigere voluit: quoniam quod alteri deest, præsto plerumque est alteri.* ubi vulgo legitur *res commodas volebat*, quas interpretatur integras A. Schottus Nodor. Ciceron. iii. 7. Xenophontis locum expressit Aristoteles Œconom. i. cap. 3. ἅμα δὲ καὶ ἡ φύσις ἀναπληροῖ ταύτῃ τῇ περιόδῳ τὸ ἀεὶ εἶναι, ἐπεὶ κατ' ἀριθμὸν οὐ δύναται, ἀλλά γε κατὰ τὸ εἶδος· οὕτω προῳκονόμηται ὑπὸ τοῦ θείου ἑκατέρου ἡ φύσις, τοῦ τε ἀνδρὸς καὶ τῆς γυναικὸς, πρὸς τὴν κοινωνίαν. διείληπται γὰρ τῷ μὴ ἐπὶ ταὐτὰ πάντα χρήσιμον ἔχειν τὴν δύναμιν, ἀλλὰ ἔνια μὲν ἐπὶ τἀναντία, εἰς ταὐτὸ δὲ συντείνοντα· τὸ μὲν γὰρ ἰσχυρότερον, τὸ δὲ ἀσθενέστερον ἐποίησεν, ἵνα τὸ μὲν φυλακτικώτερον ᾖ διὰ τὸν φόβον, τὸ δὲ ἀμυντικώτερον διὰ τὴν ἀνδρίαν· καὶ τὸ μὲν πορίζῃ τὰ ἔξωθεν, τὸ δὲ σώζῃ τὰ ἔνδον· καὶ πρὸς (τὴν addit Codex Lips.) ἐργασίαν τὸ μὲν δυνάμενον ἑδραῖον εἶναι, πρὸς δὲ τὰς ἔξωθεν θηραυλίας ἀσθενές· τὸ δὲ πρὸς μὲν τὰς ἡσυχίας χεῖρον, πρὸς δὲ τὰς κινήσεις ὑγιεινόν· καὶ περὶ τέκνων, τὴν μὲν γένεσιν κοινὴν, τὴν δ' ὠφέλειαν ἰδίαν· τῶν μὲν γὰρ τὸ θρέψαι, τῶν δὲ τὸ παιδεῦσαί ἐστι. Quæ partim emendatiora posui, quam vulgantur. In editis enim est πορίζηται ἔξωθεν—σώζηται ἔνδον. Sed Codex Lipsiensis, quem comparavi, scriptum habet πορίζει τὰ—σώζει τά.

ἐκλείπεται] Malim ἐλλείπεται cum Schneidero lex. gr. v. ἐλλείπειν. DIND.

29. ἑκατέρῳ ἡμῶν] Vulgatum ἑκάτερον audacter mutavi, quod factum intelligentes, credo, approbabunt. Sic habent τὰ προσήκοντα suum casum, et si, quod statuit Weiske,

ὑπὸ τοῦ θεοῦ, πειρᾶσθαι, ὅπως ὡς βέλτιστα τὰ προσήκοντα
ἑκατέρῳ ἡμῶν διαπράττεσθαι. Συνεπαινεῖ δὲ, ἔφη φάναι, καὶ 30
ὁ νόμος ταῦτα, συζευγνὺς ἄνδρα καὶ γυναῖκα. Καὶ κοινωνοὺς
ὥσπερ τῶν τέκνων ὁ θεὸς ἐποίησεν, οὕτω καὶ ὁ νόμος τοῦ οἴκου
κοινωνοὺς καθίστησι. Καὶ καλὰ δὲ εἶναι ὁ νόμος ἀποδείκνυ-
σιν, ἃ ὁ θεὸς ἔφυσεν ἑκάτερον μᾶλλον ἂν δύνασθαι. Τῇ μὲν
γὰρ γυναικὶ κάλλιον, ἔνδον μένειν, ἢ θυραυλεῖν, τῷ δὲ ἀνδρὶ
αἴσχιον, ἔνδον μένειν, ἢ τῶν ἔξω ἐπιμελεῖσθαι. Εἰ δέ τις παρ' 31
ἃ ὁ θεὸς ἔφυσε, ποιεῖ, ἴσως τι καὶ ἀτακτῶν τοὺς θεοὺς οὐ λή-
θει, καὶ δίκην δίδωσιν ἀμελῶν τῶν ἔργων τῶν ἑαυτοῦ, ἢ πράτ-
των τὰ τῆς γυναικὸς ἔργα. Δοκεῖ δέ μοι, ἔφην, καὶ ἡ τῶν 32
μελισσῶν ἡγεμὼν τοιαῦτα ἔργα ὑπὸ τοῦ θεοῦ προστεταγμένα
διαπονεῖσθαι. Καὶ ποῖα δ', ἔφη, ἐκείνη ἔργα ἔχουσα ἡ τῶν
μελισσῶν ἡγεμὼν, ἐξομοιοῦται τοῖς ἔργοις, οἷς ἐμὲ δεῖ πράτ-
τειν; Ὅτι, ἔφην ἐγὼ, ἐκείνη γε ἐν τῷ σμήνει μένουσα, οὐκ ἐᾷ 33
ἀργοὺς τὰς μελίσσας εἶναι. ἀλλ' ἃς μὲν δεῖ ἔξω ἐργάζεσθαι,
ἐκπέμπει ἐπὶ τὸ ἔργον, καὶ ἃ ἂν αὐτῶν ἑκάστη εἰσφέρῃ, οἶδέ
τε καὶ δέχεται, καὶ σώζει ταῦτα, ἔστ' ἂν δέῃ χρῆσθαι. Ἐπει-
δὰν δὲ ἡ ὥρα τοῦ χρῆσθαι ἥκῃ, διανέμει τὸ δίκαιον ἑκάστῃ.
Καὶ ἐπὶ τοῖς ἔνδον δ' ἐξυφαινομένοις κηρίοις ἐφέστηκεν, ὡς 34

ὅπως infinitivo junctum, (ut in Hellenicis vi. 2, 32. Diodoro ii. p. 408. et p. 467.) cogit nos intelligere δυναίμεθα vel simile verbum, tum ἑκάτερον plane locum suum tueri non potest. Leonclavius tamen ὅπως deletum maluit, quem equidem sequar.

30. ταῦτα] Edd. vett. Lips. Guelf. Paris. A.C.D. αὐτά. sequens καὶ ante κοινωνοὺς omisit Paris C.D.

τοῦ οἴκου] Hæc duo verba, quanquam ad sententiam loci absolvendam necessaria, omittunt tamen edd. vett. Guelf. Lips. Paris. A.C.D. libri Strebæi, et seclusit Zeune, tanquam superflua. Zeunium recte redarguit Weiske.

μᾶλλον ἂν δύνασθαι] ἂν delendum puto. DIND.

ἔνδον μένειν, ἢ θυρ.] Hoc ordine Guelf. Lips. Paris. A.C.D. Vulgo μ. ἔνδον. Paulo antea τῇ δὲ γυναικὶ κάλλιον Paris. A.C.D.

31. ἃ ὁ θεὸς] Vulgatum καὶ ὁ θεὸς ita correxit Zeune, καὶ ἃ maluit Stephanus. ἃ καὶ Leoncl. Copulam neglexit Strebæus et Camerarius. In Paris. A. est καὶ ὁ θεὸς ἐνέφυσεν· margo ἃ addit; reliqui C.D. καὶ ὁ θεὸς ἔφυσεν dant.

33. ἐκείνη γε] Stephani conjecturam in locum vulgati τε substituit Zeune. In Lips. est μὲν, sed supra lituram τε scriptum.

εἰσφέρῃ] Juntina, Guelf. Paris. A. εἰσφέρει. Deinde ἥκει Guelf. qui etiam ἔστε habet.

34. κηρίοις] Edd. vett. κηρίον. Guelf. κηρίων a prima manu habet, κηρίαν margo Villois. Camerarius *quæ intus favos texunt* vertit.

καλῶς καὶ ταχέως ὑφαίνηται, καὶ τοῦ γιγνομένου τόκου ἐπι-
μελεῖται, ὡς ἐκτρέφηται· ἐπειδὰν δὲ ἐκτραφῆ, καὶ ἀξιοεργοὶ
οἱ νεοσσοὶ γένωνται, ἀποικίζει αὐτοὺς σὺν τῶν ἐπιγόνων τινὶ
35 ἡγεμόνι. Ἦ καὶ ἐμὲ οὖν, ἔφη ἡ γυνή, δεήσει ταῦτα ποιεῖν;
Δεήσει μέντοι σε, ἔφην ἐγώ, ἔνδον τε μένειν, καὶ οἷς μὲν ἂν
ἔξω τὸ ἔργον ᾖ τῶν οἰκετῶν, τούτους συνεκπέμπειν· οἷς δ' ἂν
ἔργον ἔνδον ἐργαστέον, τούτων σοι ἐπιστατητέον, καὶ τά τε εἰσ-
36 φερόμενα ἀποδεκτέον. Καὶ ἃ μὲν ἂν αὐτῶν δέῃ δαπανᾶν,
σοὶ διανεμητέον· ἃ δ' ἂν περιττεύειν δέῃ, προνοητέον καὶ φυ-
λακτέον, ὅπως μὴ ἡ εἰς τὸν ἐνιαυτὸν κειμένη δαπάνη εἰς τὸν
μῆνα δαπανᾶται. Καὶ ὅταν ἔρια εἰσενεχθῇ σοι, ἐπιμελητέον,
ὅπως, οἷς δεῖ, ἱμάτια γίγνηται. Καὶ ὅγε ξηρὸς σῖτος ὅπως
37 καλῶς ἐδώδιμος γίγνηται, ἐπιμελητέον. Ἓν μέντοι τῶν σοὶ
προσηκόντων, ἔφην ἐγώ, ἐπιμελημάτων ἴσως ἀχαριστότερον
δόξει εἶναι, ὅτι, ὃς ἂν κάμνῃ τῶν οἰκετῶν, τούτων σοι ἐπιμελη-
τέον πάντων, ὅπως θεραπεύηται. Νὴ Δί', ἔφη ἡ γυνή, ἐπι-

τοῦ γιγνομένου τόκου] Sic cum Stephano Paris. A. edd. veteres cum Guelf. dant τὸν γιγνόμενον τόκον.

ἐπιγόνων] Edd. vett. Guelf. Lips. Paris. A.C.D. Strebæus, Camer. et margo Steph. ἑπομένων.

35. ἔργον ἔνδον] Liber Lips. cum Paris. A. C. D. ἔνδον ἔργον. Deinde Castal. ἐπιστατέον cum Paris. A.

καὶ τά τε] Castalio dedit καὶ τά γε, deinde ἃ δ' αὖ περιττεύειν. Paris. C.D. ἃ δὲ περιττεύειν δέῃ dant.

36. προνοητέον] Stephanus malebat φυλακτέον καὶ προνοητέον; quem sequar. Vulgatum defendunt sic, ut ἃ δ' ἂν π. δέῃ vertant, *quod attinet ad ea, quæ.*

μὴ ἡ εἰς] Guelf. cum Paris. A.C. D. male articulum ἡ omittit. Columella h. l. vertit xii. 1, 5. de villica præcipiens: *ea porro persuasissimum habere debebit aut in totum aut certe plurimum domi se morari oportere: tum quibus aliquid in agro faciendum erit servis, eos foras emittere: quibus autem in villa quid agendum videbitur, eos intra parietes continere, atque animadvertere, ne diurna cessando frustrentur opera: quæ domum autem inferuntur, diligenter inspicere, ne delibata sint, et ita explorata atque inviolata recipere: tum separare, quæ consumenda sunt, et quæ superfieri possunt, custodire, ne sumptus annuus menstruus fiat.*

καλῶς ἐδ. γ.] Camerarius vertit: *ut ad cibaria fiat idoneum.* i. e. bene molitum, subactum et coctum sit in panificio.

37. ἀχαριστότερον] Edd. vett. Paris. A. et Strebæus εὐχαρ. quod recte Camerarius cum Stephano damnavit. In Guelf. non est εὖ ἀχαριστότερον, ut ait Zeune, sed εὖ punctis suppositis damnatum est a librario. Columella l. c. *Tum si quis ex familia cœperit adversa valetudine affici, videndum erit, ut is quam commodissime ministretur: nam ex hujusmodi cura nascitur benevolentia, nec minus obsequium. Quin etiam fidelius quam prius servire student, qui convaluerint, cum est ægris adhibita diligentia.*

χαριτώτατον μὲν οὖν, ἣν μέλλωσί γε οἱ καλῶς θεραπευθέντες
χάριν εἴσεσθαι, καὶ εὐνούστεροι, ἢ πρόσθεν, ἔσεσθαι. Καὶ 38
ἐγὼ, ἔφη ὁ Ἰσχόμαχος, ἀγασθεὶς αὐτῆς τὴν ἀπόκρισιν, εἶπον,
ἆρά γε, ὦ γύναι, διὰ τοιαύτας τινὰς προνοίας καὶ τῆς ἐν τῷ
σμήνει ἡγεμόνος αἱ μέλισσαι οὕτω διατίθενται πρὸς αὐτὴν,
ὥστε, ὅταν ἐκείνη ἐκλίπῃ, οὐδεμία οἴεται τῶν μελισσῶν ἀπο-
λειπτέον εἶναι, ἀλλ' ἕπονται πᾶσαι; Καὶ ἡ γυνή μοι ἀπεκρί- 39
νατο, θαυμάζοιμ' ἂν, ἔφη, εἰ μὴ πρός σε μᾶλλον τείνοι τὰ
τοῦ ἡγεμόνος ἔργα, ἢ πρὸς ἐμέ. Ἡ γὰρ ἐμὴ φυλακὴ τῶν ἔν-
δον καὶ διανομὴ γελοία τις ἂν, οἶμαι, φαίνοιτο, εἰ μὴ σύ γε
ἐπιμελοῖο, ὅπως ἔξωθέν τι εἰσφέροιτο. Γελοία δ' αὖ, ἔφην 40
ἐγὼ, ἡ ἐμὴ εἰσφορὰ φαίνοιτ' ἂν, εἰ μὴ εἴη, ὅστις τὰ εἰσενε-
χθέντα σώζοι. Οὐχ ὁρᾷς, ἔφην ἐγὼ, οἱ εἰς τὸν τετρημένον πί-
θον ἀντλεῖν λεγόμενοι, ὡς οἰκτείρονται, ὅτι μάτην πονεῖν δοκοῦ-
σι; Νὴ Δί', ἔφη ἡ γυνή. Καὶ γὰρ τλήμονές εἰσιν, εἰ τοῦτό
γε ποιοῦσιν. Ἄλλαι δέ τοι, ἔφην ἐγὼ, ἴδιαι ἐπιμέλειαι, ὦ 41
γύναι, ἡδεῖαί σοι γίγνονται, ὁπόταν ἀνεπιστήμονα ταλασίας
λαβοῦσα, ἐπιστήμονα ποιήσῃς, καὶ διπλασίου σοι ἀξία γένη-
ται. Καὶ ὁπόταν ἀνεπιστήμονα ταμιείας καὶ διακονίας πα-
ραλαβοῦσα, ἐπιστήμονα καὶ πιστὴν καὶ διακονικὴν ποιησα-
μένη, παντὸς ἀξίαν ἔχῃς· καὶ ὁπόταν τοὺς μὲν σώφρονάς τε
καὶ ὠφελίμους τῷ σῷ οἴκῳ ἐξῇ σοι εὖ ποιῆσαι, ἐὰν δέ τις πο-
νηρὸς φαίνηται, ἐξῇ σοι κολάσαι. Τὸ δὲ πάντων ἥδιστον, ἐὰν 42
βελτίων ἐμοῦ φανῇς, καὶ ἐμὲ σὸν θεράποντα ποιήσῃς, καὶ μὴ
δέῃ σε φοβεῖσθαι μὴ προϊούσης τῆς ἡλικίας ἀτιμοτέρα ἐν τῷ

38. ἐκλίπῃ] Lips. liber ἐκλείπῃ, deinde ἀπολῃπτέον. Pro ἐκλίπῃ conjeceram ἐξέλθῃ scribendum. Contra Weiske: Sed ἐκλιπεῖν ita dicitur Anabas. i. 2, 24. (ubi est: ταύτην τὴν πόλιν ἐξέλιπον οἱ ἐνοικοῦντες) et vii. 4, 2. (ubi est: οἱ Ἕλληνες ἐστρατοπεδεύσαντο ἀνὰ τὸ Θυνῶν πεδίον. οἱ δ' ἐκλιπόντες ἔφευγον εἰς τὰ ὄρη.) Quæ loca quam sint dissimilia, lector ipse facile judicabit. Paris. D. ἐκείνη omittit, idem et C. ἀπολιπτέον εἶναι dant.

39. τείνοι] Hoc ex margine Steph. Guelf. Paris. A.C.D. et Lips. vulgato τείνει prætulit Zeune; illud revocavit Weiske.

40. τετρημένον] Aristoteles Œconom. i. cap. 6. οὐδὲν ὄφελος τοῦ κτᾶσθαι· τῷ γὰρ ἠθμῷ ἀντλεῖν τοῦτ' ἔστι, καὶ ὁ λεγόμενος τετρημένος πίθος.

πονεῖν] Lips. Codex ποιεῖν habet cum Paris. A.C.D. Deinde Guelf. οἳ τοῦτό γε ποιοῦσιν. Paris. A. τλήμονές εἰσι εἰ τοῦτο. Paris. D. τλήμονες εἰς τοῦτό γε.

42. ποιήσῃς] Lips. liber ποιήσῃ cum Paris. A.C.D.

οἴκῳ γένῃ, ἀλλὰ πιστεύῃς ὅτι, πρεσβυτέρα γινομένη, ὅσῳ ἂν
καὶ ἐμοὶ κοινωνὸς καὶ παισὶν οἴκου φύλαξ ἀμείνων γίνῃ, τοσ-
43 ούτῳ καὶ τιμιωτέρα ἐν τῷ οἴκῳ ἔσῃ. Τὰ γὰρ καλά τε κἀ-
γαθὰ, ἐγὼ ἔφην, οὐ διὰ τὰς ὡραιότητας, ἀλλὰ διὰ τὰς ἀρε-
τὰς εἰς τὸν βίον τοῖς ἀνθρώποις ἐπαύξεται. Τοιαῦτα μὲν, ὦ
Σώκρατες, δοκῶ μεμνῆσθαι αὐτῇ τὰ πρῶτα διαλεχθείς.

CAP. VIII.

1 Ἦ καὶ ἐπέγνως τὶ, ὦ Ἰσχόμαχε, ἔφην ἐγὼ, ἐκ τούτων
κεκινημένην αὐτὴν μᾶλλον πρὸς τὴν ἐπιμέλειαν; Ναὶ μὰ Δί',
ἔφη ὁ Ἰσχόμαχος, καὶ δηχθεῖσάν γε αὐτὴν οἶδα καὶ ἐρυθριά-
σασαν σφόδρα, ὅτι τῶν εἰσενεχθέντων τὶ αἰτήσαντος ἐμοῦ, οὐκ
2 εἶχέ μοι δοῦναι. Καὶ ἐγὼ μέντοι ἰδὼν ἀχθεσθεῖσαν αὐτὴν,
εἶπον, μηδέν τι, ἔφην, ἀθυμήσῃς, ὦ γύναι, ὅτι οὐκ ἔχεις δοῦ-
ναι, ὅ σε αἰτῶν τυγχάνω. Ἔστι μὲν γὰρ πενία αὕτη σαφὴς,
τὸ δεόμενόν τινος μὴ ἔχειν χρῆσθαι. Ἀλυποτέρα δὲ αὕτη ἡ
ἔνδεια, τὸ ζητοῦντά τι μὴ δύνασθαι λαβεῖν, ἢ τὴν ἀρχὴν μηδὲ
ζητεῖν, εἰδότα ὅτι οὐκ ἔστιν. Ἀλλὰ γὰρ, ἔφην ἐγὼ, τού-
των οὐ σὺ αἰτία· ἀλλ' ἐγὼ, ὅτι οὐ τάξας σοι παρέδωκα, ὅπου
χρὴ ἕκαστα κεῖσθαι, ὅπως εἰδῇς, ὅπου γε δεῖ τιθέναι, καὶ

φύλαξ ἀμείνων] Vulgatum *φυλαξαμένων* correxit Stephanus. *φυλαξομένων* Paris. C.D. Sequens *καὶ* ante *τιμιωτέρα* male omisit Guelf.

43. *καλά τε*] Paris. C. omittit *τε*.

ἀρετὰς εἰς τὸν βίον] Stobæus p. 221. dat: *τὰς ἐν τῷ βίῳ ἀρετὰς*, quam lectionem interpretatus est Strebæus. *in hominum vita augescunt* Camerarius vertit. Paris. C. verba *εἰς τὸν βίον τοῖς ἀνθρώποις* omisit.

Cap. VIII. 1. *αὐτὴν μᾶλλον*] Verba sic collocant Guelf. Paris A.C.D. Lips. *αὐτὴν κεκινημένην—οἶδα αὐτήν*.

ὅτι τῶν] Aut cum Juntina et Cod. Guelf. scribendum *εἴτι τῶν εἰσενεχθόντων αἰτήσαντος ἐμοῦ*, aut, quod malo, *ὅτε τῶν εἴς τι αἰτήσ. ἐμοῦ*. ut exemplum et tempus magis appareat, quo fructum admonitionis vidit et percepit Ischomachus.

2. *εἶπον—ἔφην*] Paris. A. *εἶπον* transtulit in locum omissi *ἔφην*.

ὅ σε αἰτῶν] Vulgatum *ὅτι σε* ex Lips. libro et Paris. A.C.D. mutavi. In Guelf. est *σε ὅσα αἰτῶν*. quod in *ὅσα σε αἰτῶν* mutatum ferri potest.

σαφὴς] Columella xii. 2, 3. *nam vetus est proverbium, paupertatem certissimam esse, cum alicujus indigeas, uti eo non posse, quia ignoretur, ubi projectum jaceat, quod desideratur.*

τὸ ζητοῦντα] Hunc verborum ordinem exhibuit Guelf. Paris. A.C.D. et Lips. Vulgo est *τὸ μὴ δύν. ζητοῦντά τι λαβεῖν*.

ὅτι οὐ τάξας] Omissum in libris editis et scriptis *ὅτι* addidit Stephan. sec.

ὅπου τε δεῖ τιθέναι καὶ ὁπόθεν λαμβάνειν scripsi pro *ὅπου γε δεῖ*. Vide, ni

ὁπόθεν λαμβάνειν. Ἔστι δ' οὐδὲν οὕτως, ὦ γύναι, οὔτ' εὔ- 3
χρηστον οὔτε καλὸν ἀνθρώποις, ὡς ἡ τάξις. Καὶ γὰρ χορὸς ἐξ ἀνθρώπων συγκείμενός ἐστιν. Ἀλλ' ὅταν μὲν ποιῶσιν, ὅ τι ἂν τύχῃ ἕκαστος, ταραχή τις φαίνεται, καὶ θεᾶσθαι ἀτερπές. Ὅταν δὲ τεταγμένως ποιῶσι, καὶ φθέγγωνται, ἅμα οἱ αὐτοὶ οὗτοι καὶ ἀξιοθέατοι δοκοῦσιν εἶναι καὶ ἀξιάκουστοι.
Καὶ στρατιά γε, ἔφην ἐγώ, ὦ γύναι, ἄτακτος μὲν οὖσα, τα- 4
ραχωδέστατον, καὶ τοῖς μὲν πολεμίοις εὐχειρωτότατον, τοῖς δὲ φίλοις ἀηδέστατον ὁρᾶν, καὶ ἀχρηστότατον, ὄνος ὁμοῦ, ὁπλίτης, σκευοφόρος, ψιλὸς, ἱππεὺς, ἅμαξα. Πῶς γὰρ ἂν πορευθείησαν, ἐὰν, ἔχοντες οὕτως, ἐπικωλύσωσιν ἀλλήλους, ὁ μὲν

credis, s. 10. διδάξωμεν τὴν διάκονον λαμβάνειν τε ἐντεῦθεν καὶ κατατιθέναι πάλιν εἰς ταύτην. DIND.

ὁπόθεν] Edd. vett. Guelf. Lips. Paris. A.C.D. dant ὅποι, quod pertinuisse videtur ad ὅπου.

3. ὡς ἡ τάξις] Articulum omittit Lips. et Paris. A.C.D. Columella xii. 2, 4. *quis enim dubitet nihil esse pulchrius in omni ratione vitæ dispositione atque ordine? quod etiam ludicris spectaculis licet sæpe cognoscere.*

ἀτερπές] Suidas ἀγλευκὲς hic scriptum in libro suo legit, ut ἀγλευκέστερον in Hierone i. 21. *Nam ubi chorus canentium non ad certos modos neque numeris præeuntis magistri consensit, dissonum quiddam ac tumultuosum audientibus canere videtur: at ubi certis numeris ac pedibus velut facta conspiratione consensit atque concinuit, ex ejusmodi vocum concordia non solum ipsis canentibus amicum quiddam et dulce resonat, sed etiam spectantes audientesque lætissima voluptate permulcentur.* Ita Cicero apud Columellam.

4. μὲν οὖσα] Lips. Guelf. μένουσα cum edd. vett.

εὐχειρωτότατον] Vulgatum εὐχειρότατον hic et in Cyrop. i. 6, 36. mutavit Stephanus; posteriore in loco addicente libro Altorfino; contra comparato εὐφωρότατος, δυσφωρότατος, ἀκηρότατος defendit Wyttenb. in Biblioth. Critica ii. 2. p. 54. In Diodori v. c. 34. δυσχειρότατοι τοῖς ἄλλοις ex Codd. restituit nuperus Editor pro vulgato δυσχείρωτοι. Vide ad sect. 8. infra.

ἀηδέστατον] Vulgatum ἀκλεέστατον a sensu alienum hujus loci in ἀγλευκέστατον Zeune, alius vir doctus in ἀτερπέστατον mutari voluit. Dedi quod conjectura ex sect. 6. ducta ante Weiskium assecutus est Wyttenbach l. c. Cicero vertit: *Jam vero in exercitu neque miles neque imperator sine ordine ac dispositione quidquam valet explicare, cum armatus inermem, eques peditem, plaustrum equitem, si sint permisti, confundant.* Exemplum a re militari desumtum non satis convenire fœminæ juvenculæ Atticæ moribus, a talium rerum cognitione longissime remotæ, recte monuit Weiske: sed chori comparationem immerito taxat idem Weiske. Chorum enim in multis deorum festis videre potuit Ischomachi uxor.

ἐπικωλύσωσιν] Edd. veteres, excepta Bryl. 2. et Castal. Guelf. Lips. Paris. A.C.D. dant ineptum ἐπικώλυσιν, omisso ἐάν.

βαδίζων τὸν τρέχοντα· ὁ δὲ τρέχων τὸν ἑστηκότα· ἡ δὲ ἅμα-
ξα τὸν ἱππέα· ὁ δὲ ὄνος τὴν ἅμαξαν· ὁ δὲ σκευοφόρος τὸν
5 ὁπλίτην; Εἰ δὲ καὶ μάχεσθαι δέοι, πῶς ἂν, οὕτως ἔχοντες,
μαχέσαιντο; οἷς γὰρ ἀνάγκη αὐτῶν τοὺς ἐπιόντας φεύγειν,
οὗτοι ἱκανοί εἰσι φεύγοντες καταπατῆσαι τοὺς ὅπλα ἔχοντας.
6 Τεταγμένη δὲ στρατιὰ κάλλιστον μὲν ἰδεῖν τοῖς φίλοις, δυ-
σχερέστατον δὲ τοῖς πολεμίοις. Τίς μὲν γὰρ οὐκ ἂν φίλος
ἡδέως θεάσαιτο ὁπλίτας πολλοὺς ἐν τάξει πορευομένους; τίς
δ' οὐκ ἂν θαυμάσειεν ἱππέας κατὰ τάξιν ἐλαύνοντας; τίς δὲ
οὐκ ἂν πολέμιος φοβηθείη, ἰδὼν διευκρινημένους ὁπλίτας, ἱπ-
πέας, πελταστὰς, τοξότας, σφενδονήτας, καὶ τοῖς ἄρχουσι
7 τεταγμένως ἑπομένους; Ἀλλὰ καὶ πορευομένων ἐν τάξει, κἂν
πολλαὶ μυριάδες ὦσιν, ὁμοίως, ὥσπερ εἷς ἕκαστος, καθ' ἡσυ-
χίαν πάντες πορεύονται. Εἰς γὰρ τὸ κενούμενον ἀεὶ ὄπισθεν
8 ἐπέρχονται. Καὶ τριήρης δέ τοι ἡ σεσαγμένη ἀνθρώπων διὰ τί
ἄλλο φοβερόν ἐστι πολεμίοις, ἢ φίλοις ἀξιοθέατον, ἢ ὅτι ταχὺ
πλεῖ; διὰ τί δὲ ἄλλο ἄλυποι ἀλλήλοις εἰσὶν οἱ ἐμπλέοντες,
ἢ διότι ἐν τάξει μὲν κάθηνται, ἐν τάξει δὲ προνεύουσιν, ἐν τάξει
9 δ' ἀναπίπτουσιν, ἐν τάξει δ' ἐμβαίνουσι καὶ ἐκβαίνουσιν; ἡ

5. οἷς γὰρ ἀνάγκη] Opponuntur οἱ ὅπλα ἔχοντες, sunt igitur impedimenta, ὄνοι, σκευοφόροι, ἅμαξαι. Paulo antea Paris. D. ἂν omittit, A. μαχέσονται habet, et μαχέσωνται suprascriptum.

6. δὲ στρατιὰ] Vulgatum δὲ ἡ στρατιὰ correxit Stephanus, addicente Guelf. et Lips. libro.

δυσχερέστατον] Comparata sect. 4. εὐχειρότατον τοῖς πολεμίοις lectionem vulgatam in δυσχειρότατον mutari voluit Wyttenbach Biblioth. Criticæ ii. 2. p. 54. Cum de forma superlativi dubitatio sit aliqua non levis, ut de altera εὐχειρότατος dixi ad sect. 4. malim etiam hic solenniorem δυσχειρότατον restituere. Emendationem enim ipsam approbandam equidem censeo. De δυσχειρότατος vide etiam ad sect. 4.

κατὰ τάξιν] Lips. cum Guelf. Paris. A.C. et margine Steph. et Villois. τάξεις. Deinde τί δὲ οὐκ ἂν πολέμιος Paris. A.C.D.

7. ἀεὶ ὄπισθεν] Camerarii conjecturam ἀεὶ οἱ ὄπισθεν probant Leoncl. et Steph. quibus et ipse accedo.

8. τοι ἡ σεσαγμένη] Ex edd. vett. τι ἡ σεσ. Castalio fecit τις σεσαγμένη. Cum Stephano facit Guelf. Lips. Paris. A. Deinde ἀνθρώποις Guelf. sed genitivum jungit noster eidem verbo in Symposio iv. 64.

οἱ ἐμπλέοντες] Eustathius ad Odysseam p. 37. ex h. l. laudat ἐρέται, ἢ ὅτι. Brodæus ἐκπλέοντες malebat.

προνεύουσι] Hæc est lectio a Budæo, Camerario et Stephano probata, cum in libris scriptis et editis sit προσνεύουσι; in Paris. A. a prima manu est πορεύουσι; rectum extat in Eustathio l. c. Verbum nauticum apud Polybium i. 21. illustrarunt Interpretes. Deinde Guelf. τάξει τ' ἀναπίπτουσι—δὲ βαίνουσι pro ἐκβαίνουσι.

δ' ἀταξία ὅμοιόν τι μοὶ δοκεῖ εἶναι, οἷόν περ εἰ γεωργὸς ὁμοῦ
ἐμβάλοι κριθὰς καὶ πυροὺς καὶ ὄσπρια· κἄπειτα, ὁπότε δέοι
ἢ μάζης, ἢ ἄρτου, ἢ ὄψου, διαλέγειν δέοι αὐτῷ, ἀντὶ τοῦ λα-
βόντα διευκρινημένοις χρῆσθαι. Καὶ σὺ οὖν, ὦ γύναι, εἰ τοῦ 10
μὲν ταράχου τούτου μὴ δέοιο, βούλοιο δ' ἀκριβῶς διοικεῖν τὰ
ὄντα εἰδέναι, καὶ τῶν ὄντων εὐπόρως λαμβάνουσα, ὅτῳ ἂν δέῃ
χρῆσθαι, καὶ ἐμοὶ, ἐάν τι αἰτῶ, ἐν χάριτι διδόναι, χώραν τε
δοκιμασώμεθα τὴν προσήκουσαν ἑκάστοις ἔχειν, καὶ ἐν ταύτῃ
θέντες, διδάξωμεν τὴν διάκονον λαμβάνειν τε ἐντεῦθεν, καὶ κα-
τατιθέναι πάλιν εἰς ταύτην· καὶ οὕτως εἰσόμεθα τά τε σῶα
ὄντα, καὶ τὰ μή. Ἡ γὰρ χώρα αὐτὴ τὸ μὴ ὂν ποθήσει· καὶ
δεόμενον θεραπείας ἐξετάσει ἡ ὄψις, καὶ τὸ εἰδέναι, ὅπου ἕκα-
στόν ἐστι, ταχὺ ἐγχειριεῖ, ὥστε μὴ ἀπορεῖν χρῆσθαι. Καλ- 11
λίστην δέ ποτε καὶ ἀκριβεστάτην ἔδοξα σκευῶν τάξιν ἰδεῖν, ὦ
Σώκρατες, εἰσβὰς ἐπὶ θέαν εἰς τὸ μέγα πλοῖον τὸ Φοινικόν.
Πλεῖστα γὰρ σκεύη ἐν μικροτάτῳ ἀγγείῳ διακεχωρισμένα

9. ὅμοιον] Juntina ὁμοίως, deinde edd. vett. ἐμβάλοιο. Est ἐμβάλλειν h. l. horrea condere.

ὁπότε δέοι] Juntiua δέῃ dat.

10. γύναι, εἰ] Particulam εἰ omittunt libri omnes, eam addidit Ernesti. sed ante βούλοιο insertam voluit. Locum illi suum assignavit Weiske. Cum Camerario Leoncl. et Stephanus γύναι, ἵνα maluerunt; sed ἵνα alteri membro non satis convenit. Eam tamen lectionem vertendo reddidit Strebæus.

χώραν τε] Juntina τε omisit, Guelf. χώραν ἐδοκιμασώμεθα dat. deinde Junt. et Guelf. καὶ εἰδέναι omisso articulo. In Paris. A.C.D. est ὅτῳ ἂν δέοι. Deinde τε post λαμβάνειν omittit C.

χώρα αὐτὴ] Columellæ Cicero vertit: *nam et unumquodque facilius consideratur, cum est assignatum suo loco, et si quid forte abest, ipse vacuus locus admonet, ut, quod deest, requiratur. Si quid vero curari aut concinnari oportet, facilius intelligitur, cum ordine suo recensetur.* Ad quem locum posui αὐτὴ, quod Weiske dedit, pro vulgato αὕτη, idque ipsum reddidit jam olim Camerarius vertendo. Aristoteles Œcon. i. 6. πρὸς εὐχρηστίαν δὲ σκευῶν τὸ Λακωνικόν· (χρήσιμον) χρὴ γὰρ ἓν ἕκαστον ἐν τῇ αὐτοῦ χώρᾳ κεῖσθαι· οὕτω γὰρ ἂν ἕτοιμον ὂν οὐ ζητοῖτο. Paris. C. omittit αὕτη vulgatum.

11. ἔδοξα σκευῶν] Junt. Guelf. ἔδοξασκευῶν. Deinde τὸ Φοικικοῦν Cod. Lips. Navem Phœniceam notam loquitur, quæ forte annuum commeatum vel merces Athenas afferebat. Major armamentorum apparatus in navibus Phœniceis fuisse videtur, quam in Atticis triremibus aut onerariis. Exemplum navis Phœniceæ, ut ineptum colloquio cum uxore Ischomachi, taxavit Weiske; sed non animadvertit, Ischomachum hic Socratem alloqui, nec uxorem.

Φοινικικόν] Vulgo Φοινικόν barbare. DIND.

μικροτάτῳ] Guelf. cum Paris. A. C.D. σμικροτάτῳ.

12 ἐθεασάμην. Διὰ πολλῶν μὲν γὰρ δήπου, ἔφη, ξυλίνων σκευῶν
καὶ πλεκτῶν ὁρμίζεται ναῦς καὶ ἀνάγεται, διὰ πολλῶν δὲ
τῶν κρεμαστῶν καλουμένων πλεῖ, πολλοῖς δὲ μηχανήμασιν
ἀνθώπλισται πρὸς τὰ πολέμια πλοῖα, πολλὰ δὲ ὅπλα τοῖς
ἀνδράσι συμπεριάγει, πάντα δὲ σκεύη, ὅσοις περ ἐν οἰκίᾳ
χρῶνται ἄνθρωποι, τῇ συσσιτίᾳ ἑκάστῃ κομίζει· γέμει δὲ
παρὰ πάντα φορτίων, ὅσα ναύκληρος κέρδους ἕνεκα ἄγεται.
13 Καὶ ὅσα λέγω, ἔφη, πάντα οὐκ ἐν πολλῷ τινι μείζονι χώρᾳ
ἔκειτο, ἢ ἐν δεκακλίνῳ στέγῃ συμμέτρῳ. Καὶ οὕτω κατακεί-
μενα ἕκαστα κατενόησα, ὡς οὔτε ἄλληλα ἐμποδίζει, οὔτε
μαστευτοῦ δεῖται, οὔτε ἀσυσκεύαστά ἐστι, οὔτε δυσλύτως ἔχει,
14 ὥστε διατριβὴν παρέχειν, ὅταν τῳ ταχὺ δέῃ χρῆσθαι. Τὸν δὲ
τοῦ κυβερνήτου διάκονον, ὃς πρωρεὺς τῆς νεὼς καλεῖται, οὕτως
εὗρον ἐπιστάμενον ἑκάστων τὴν χώραν, ὡς καὶ ἀπὼν ἂν εἴποι,
ὅπου ἕκαστα κεῖται, καὶ ὁπόσα ἐστὶν, οὐδὲν ἧττον, ἢ ὁ γράμ-
ματα ἐπιστάμενος εἴποι ἂν, Σωκράτους καὶ ὁπόσα γράμ-
15 ματα, καὶ ὅπου ἕκαστον τέτακται. Εἶδον δὲ, ἔφη ὁ Ἰσχό-
μαχος, καὶ ἐξετάζοντα τοῦτον αὐτὸν ἐν τῇ σχολῇ πάντα, ὁπό-

12. ξυλίνων] remos, πλεκτὰ *funes*, κρεμαστὰ *vela* interpretatur Weiske. Hermippus Athenæi i. p. 27. ἐκ δ' Αἰγύπτου τὰ κρεμαστὰ ἱστία καὶ βύβλους.

ἀνδράσι] Juntina, margo Steph. Guelf. ἀνθρώποις. Deinde ὅσοιπερ Guelf. cum edd. vett.

συσσιτίᾳ ἑκάστῃ] Est aut certus numerus remigum, nautarum aut militum una cœnantium, aut distinctio conviviorum regebatur dignitate et munere, veluti servorum, remigum, militum, στρατηγοῦ cum amicis et sic porro. συσσίτια Laconica in bello et pace nota sunt, illa quidem etiam ex loco Xenophontis Hellenic. v. 3, 17. ἐδίδασκε ξυσσίτιά τε αὐτῶν κατασκευάζειν. Originem eorum apud Lacones et Cretas a belli necessitate aliqua deducit Plato de Legibus vi. p. 308. Bipont. edit.

13. λέγω, ἔφη] Guelf. Paris. A.D. margo Villois. et Lips. ἔφη ἐγώ. Pollux i. 80. ex h. l. laudat verba ὅσα δ' οὐδ' ἐν δεκακλίνῳ μεγάλῳ στέγει, aut memoria falsus, aut a librariis vitiatus. σύμμετρος στέγη δεκ. est conclave, quod justa mensura factum est, ad capiendos decem lectos, recte monente Weiskio.

κατακείμενα] Guelf. Paris. A.C.D. et Lips. κατὰ omittunt: deinde εἰσὶν, οὔτε δυσλύτως edd. vett. Guelf. ἐστὶν est in Lips. Paris. A.

ὡς—ἐμποδίζει—δεῖται] Mihi videbatur scriptum fuisse a Xenophonte ὥστε—ἐμποδίζειν—δεῖσθαι, ut statim sequitur δυσλύτως ἔχει, (in quo inest οὕτως ἔχει) ὥστε παρέχειν. Sequenti paragrapho 14. est quidem ἐπιστάμενον οὕτως εὗρον ὡς ἂν εἴποι. sed si ad eum modum refingere velis hunc locum, multo majore opus est mutatione.

14. ἑκάστων τὴν χώραν] Sic vulgatum ἑκάστην cum Stephano correxi.

σοις ἄρα δεῖ ἐν τῷ πλοίῳ χρῆσθαι. Θαυμάσας δὲ, ἔφη, τὴν
ἐπίσκεψιν αὐτοῦ, ἠρόμην, τί πράττοι. Ὁ δ' εἶπεν, ἐπισκο-
πῶ, ἔφη, ὦ ξένε, εἴτι συμβαίνοι γίγνεσθαι, πῶς κεῖται, ἔφη,
τὰ ἐν τῇ νηΐ, ἢ εἴτι ἀποστατεῖ, ἢ εἰ δυστραπέλως τὶ σύγκει-
ται. Οὐ γὰρ, ἔφη, ἐγχωρεῖ, ὅταν χειμάζῃ ὁ θεὸς ἐν τῇ θα- 16
λάσσῃ, οὔτε μαστεύειν, ὅτου ἂν δέῃ, οὔτε δυστραπέλως ἔχον
διδόναι. Ἀπειλεῖ γὰρ ὁ θεὸς, καὶ κολάζει τοὺς βλάκας.
Ἐὰν δὲ μόνον μὴ ἀπολέσῃ τοὺς μὴ ἁμαρτάνοντας, πάνυ ἀγα-
πητόν· ἐὰν δὲ καὶ πάνυ καλῶς ὑπηρετοῦντας σώζῃ, πολλὴ
χάρις, ἔφη, τοῖς θεοῖς. Ἐγὼ οὖν κατιδὼν ταύτην τὴν ἀκρί- 17
βειαν τῆς κατασκευῆς, ἔλεγον τῇ γυναικὶ, ὅτι πάνυ ἂν ἡμῶν
εἴη βλακικὸν, εἰ οἱ μὲν ἐν τοῖς πλοίοις καὶ μικροῖς οὖσι χώρας
εὑρίσκουσι, καὶ σαλεύοντες ἰσχυρῶς, ὅμως σώζουσι τὴν τάξιν,
καὶ ὑπερφοβούμενοι, ὅμως εὑρίσκουσι τὸ δέον λαμβάνειν· ἡμεῖς
δὲ, καὶ διῃρημένων ἑκάστοις θηκῶν ἐν τῇ οἰκίᾳ μεγάλων, καὶ
βεβηκυίας τῆς οἰκίας ἐν δαπέδῳ, εἰ μὴ εὑρήσομεν καλὴν καὶ
εὐεύρετον χώραν ἑκάστοις αὐτῶν, πῶς οὐκ ἂν πολλὴ ἡμῶν
ἀσυνεσία εἴη; Ὡς μὲν δὴ ἀγαθὸν τετάχθαι σκευῶν κατα- 18
σκευὴν, καὶ ὡς ῥᾴδιον χώραν ἑκάστοις αὐτῶν εὑρεῖν ἐν οἰκίᾳ
θεῖναι, ὡς ἑκάστοις συμφέρει, εἴρηται. Ὡς δὲ καλὸν φαί- 19

15. συμβαίνοι] Ita Stephanus edd. vett. Guelf. Lips. συμβαίνει correxit. Priorem lectionem revocavit Zeune.

ἢ εἰ δυστ.] Juntina ἢ omisit, contra εἰ Paris. C.D.

16. ὅταν χειμάζῃ] Columellæ Cicero: *Hæc eadem ratio præparationis atque ordinis etiam in navigiis plurimum valet: nam ubi tempestas incessit, et est rite disposita navis, suo quidque ordine locatum armamentum sine trepidatione minister promit, cum est a gubernatore postulatum.*

17. κατιδὼν] Quanquam supra dixi navis exemplum ab Ischomacho afferri potius ad Socratem quam ad uxorem, hic tamen locus sententiam meam redarguere videtur et Weiskianam comprobare, qui comparationem ineptam colloquio cum uxore habito recte judicavit.

ἡμῶν εἴη βλακικὸν] Intelligit ἔργον cum Bachio Weiske, ne cum Stephano mutare aliquid necesse sit. Is enim aut ἡμῖν ἐνείη τι, aut πολὺ ἂν ἡμῶν εἴη τὸ, aut πάνυ ἂν ἡμῶν αἰσχρὸν εἴη τὸ scribendum censuerat.

πλοίοις] Hoc in Guelf. suprascriptum est. A prima manu est, ut in Juntina, πλουσίοις. Paris. A. C. D. πλοίοις, sed A. ἐν omittit.

εὑρήσομεν] Edd. vett. εὑρήσωμεν. Guelf. εὑρίσωμεν, suprascripta εὑρίσκωμεν. Deinde edd. vett. Guelf. Strebæus et Camerarius dant εὐάρεστον, quod correxit Stephanus. Verum est in Lips. libro et Paris. A.C.D. et margine Villois.

18. ἀγαθὸν] Junt. Guelf. Lips. Paris. A.D. ἀγαθῶν. Deinde θῆναι edd. vett. cum Paris. C.D. Sequens εἴρηται omittit Lips. Codex. Paris. A. εὑρεῖν καὶ ἐν οἰκίᾳ habet in margine.

νεται, ἐπειδὰν ὑποδήματα ἐφεξῆς κέηται, κἂν ὁποῖα ᾖ, καλὸν δὲ ἱμάτια κεχωρισμένα ἰδεῖν, κἂν ὁποῖα ᾖ, καλὸν δὲ στρώματα, καλὸν δὲ χαλκία, καλὸν δὲ τὰ ἀμφὶ τραπέζας, καλὸν δὲ καὶ ὃ πάντων καταγελάσειεν ἂν μάλιστα οὐχ ὁ σεμνὸς, ἀλλ' ὁ κομψὸς, ὅτι καὶ χύτρας, φησὶν, εὔρυθμον φαίνεσθαι εὐκρινῶς κειμένας. Τὰ δὲ ἄλλα ἤδη που ἀπὸ τούτου ἅπαντα καλλίω φαίνεται κατὰ κόσμον κείμενα. Χορὸς γὰρ σκευῶν ἕκαστα φαίνεται· καὶ τὸ μέσον δὲ τούτων καλὸν φαίνεται, ἐκποδὼν ἑκάστου κειμένου· ὥσπερ κύκλιος χορὸς οὐ

19. κέηται] Edd. vett. excepta Castal. et Guelf. καίηται. Sequens δὲ ante ἱμάτια et στρώματα omittit Cod. Lips.

τὰ ἀμφὶ] Articulum omisit Juntina.

ὁ κομψὸς] In Guelf. et Juntina est ὁ σεμνὸς κομψὸς, sed in libro scripto σεμνὸς punctis suppositis damnatur.

φησὶν, εὔρυθμον] Brodæus ad φησὶν intelligebat τὶς, Leonclavius φασὶν corrigebat; alius verba ὅτι καὶ χύτραν φησὶν εὔρυθμον damnans scribi maluit brevius: χύτρας φαίνεσθαι εὐκ. κειμένας. Vitiosum locum agnovit etiam Weiske, qui sententiam loci postulare ait, ut sequatur: περὶ τούτων ἔτι λεκτέον. Medicinam a melioribus libris expecto. ἀλλ' ὁ ἀπὸ τούτου κομψὸς dat margo Villois.

ὅτι καὶ χύτρας φησὶν εὔρυθμον φαίνεσθαι εὐκρινῶς κειμένας. Legendum puto φημί. Infelices sunt aliorum conjecturæ. DIND.

20. ἀπὸ τούτου] Hæc verba Juntina omisit. *Hac de causa* interpretantur. Sed oratio abrupta facit, ut etiam hunc locum vitiosum putem esse.

ἅπαντα] Juntina cum Guelf. ἅπαντα ἕκαστα dat.

κειμένου] In Guelf. a prima manu fuit κείμενα scriptum.

κύκλιος χορὸς] Chorum in modum circuli interpretatur Index Zeunianus, addens ex Spanheimio ad Callimachi Hymn. in Dianam vers. 266. 267. choros alios fuisse orbiculares, alios quadrangulares. In Callimacho est περὶ βωμὸν κυκλώσασθαι, choros ducere circum aram. In Aristophanis Ranis 366. est κυκλίοισι χοροῖσιν ὑπᾴδων. Idem Nubium versu 332.. κυκλίων χορῶν ᾀσματοκάμπτας poetas dithyrambicos vocat, interpretantibus Scholiis Græcis. Idem Avium versu 917. μέλη κύκλια dicit, juxta παρθένεια καὶ κατὰ τὰ Σιμωνίδου nominans; ubi Scholia interpretantur τὰ τὴν αὐτὴν ὑπόθεσιν ἔχοντα ταῦτα κύκλια ἔλεγον, τουτέστι μέλη, ὕμνους, παιᾶνας, προσῴδια, παρθένεια, τὰ ἔχοντα ἐρωτήσεις καὶ ἀποκρίσεις. Videntur igitur genera plura carminum, a choro circum aram stante vel circumeunte cantata, quæ vulgo lyrica nunc dicimus, vocabulo μέλη κύκλια comprehensa fuisse; ad quæ pertinent χοροὶ κύκλιοι, etiam αὐλοὶ κύκλιοι ab Hesychio memorati, qui χορικοὺς interpretatur. Hinc αὐληταὶ κύκλιοι Luciani t. v. p. 121. et 139. Εὐΐου νόμοι κύκλιοι sunt in Pollucis iv. sect. 79. ubi Jungermannus Maximi Tyrii locum ex Orat. vii. apposuit: καὶ καλὸν μὲν τοῖς Λακεδαιμονίοις τὸ ἐμβατήριον, Ἀθηναίοις δὲ τὸ κύκλιον (μέλος). Aristophanes Av. 1403. poetas dithyrambicos præcipue designat vocabulo κυκλιοδιδάσκαλος. De varietate dithyramborum dixi in Lexici Græci nova editione sub h. v.

μόνον αὐτὸς καλὸν θέαμά ἐστιν, ἀλλὰ καὶ τὸ μέσον αὐτοῦ κα-
λὸν καὶ καθαρὸν φαίνεται. Εἰ δ' ἀληθῆ ταῦτα λέγω, ἔξεστιν, 21
ἔφην, ὦ γύναι, καὶ πεῖραν λαμβάνειν αὐτῶν, οὔτέ τι ζημιωθέν-
τας, οὔτέ τι πολλὰ πονήσαντας. Ἀλλὰ μὴν οὐδὲ τοῦτο δεῖ
ἀθυμῆσαι, ὦ γύναι, ἔφην ἐγὼ, ὡς χαλεπὸν εὑρεῖν τὸν μαθησό-
μενόν τε τὰς χώρας, καὶ μεμνησόμενον καταχωρίζειν ἕκαστα.
Ἴσμεν γὰρ δήπου, ὅτι μυριοπλάσια ἡμῶν ἅπαντα ἔχει ἡ πᾶσα 22
πόλις· ἀλλ' ὅμως, ὁποῖον ἂν τῶν οἰκετῶν κελεύσῃς πριάμενόν
τι σοὶ ἐξ ἀγορᾶς ἐνεγκεῖν, οὐδεὶς ἀπορήσει, ἀλλὰ πᾶς εἰδὼς
φανεῖται, ὅποι χρὴ ἐλθόντα λαβεῖν ἕκαστα. Τούτου μέν τοι,
ἔφην ἐγὼ, οὐδὲν ἄλλο αἴτιόν ἐστιν, ἢ ὅτι ἐν χώρᾳ κεῖται τετα-
γμένη. Ἄνθρωπον δέ γε ζητῶν, καὶ ταῦτα ἐνίοτε ἀντιζητοῦντα, 23
πολλάκις ἄν τις πρότερον, πρὶν εὑρεῖν, ἀπείποι· καὶ τούτου αὖ
οὐδὲν ἄλλο αἴτιόν ἐστιν, ἢ τὸ μὴ εἶναι τεταγμένον, ὅπου ἕκα-
στον δεῖ ἀναμένειν. Περὶ μὲν δὴ τάξεως σκευῶν καὶ χρήσεως
τοιαῦτα αὐτῇ διαλεχθεὶς δοκῶ μεμνῆσθαι.

CAP. IX.

ΚΑΙ τί δή; ἡ γυνὴ ἐδόκει σοι, ἔφην ἐγὼ, ὦ Ἰσχόμαχε, 1
πως τὶ ἐπακούειν, ὧν σὺ ἐσπούδαζες διδάσκων; Τί δὲ, εἰ μὴ
ὑπισχνεῖτό γε ἐπιμελήσεσθαι· καὶ φανερὰ ἦν ἡδομένη ἰσχυρῶς,
ὥσπερ ἐξ ἀμηχανίας εὐπορίαν τινὰ εὑρηκυῖα· καὶ ἐδεῖτό μου,

21. ζημιωθέντας] Paris. A. ζημιωθέντες et deinde ποιήσαντες dat.

ὡς χαλεπὸν] Juntina cum Guelf. οὐ χαλεπὸν, deinde τῆς χώρας. Verum dat margo Villois.

22. τῶν οἰκετῶν] Articulum negligunt edd. vett. deinde κελεύσοις πριαμένου Guelf. sed antea fuerat κελεύσοι πριάμενον. Mihi κελεύοις scribendum videtur; ἂν enim ad ὁποῖον pertinet.

οὐδεὶς ἀπορήσει] Paris. D. οὐδεὶς ἀπαγορεύσει dat. Deinde ὅπῃ Paris. C.D.

23. Περὶ μὲν δὴ] Edd. vett. Guelf. Lips. Paris. A. περὶ μὲν γὰρ δή. Paris. C. δὴ etiam omittit.

Cap. IX. 1. Καὶ τί δή;—πως] Sic Stephanus locum interpunxit, cum antea esset sine interrogatione καὶ τί δὴ ἡ γυνὴ—πῶς. Pro ὧν σὺ margo Villois. ὧν δὴ, Lips. ὧν δὲ habet. σπουδάζεις Paris. C.

καὶ τί δή; ἡ γυνὴ ἐδόκει σοι, ἔφην ἐγώ, ὦ Ἰσχόμαχέ πώς τι ἐπακούειν ὧν σὺ ἐσπούδαζες; Qui aut sententia quid postulet perpenderit aut compararit quæ postea dicit Socrates s. 18.: τί οὖν, ἔφην ἐγώ, ὦ Ἰσχόμαχε ταῦτα ἀκούσασα ἡ γυνή πώς σοι ὑπήκουε; non puto dubitaturum quin hic etiam ὑπακούειν Xenophon scripserit. DIND.

ὑπισχνεῖτο] Lips. Paris. A. C. D. ὑπισχνῆτο, deinde γ' ἐπιμελήσεσθαι Guelf. Paris. A. δὲ dat pro γε et in margine τοῦδε.

2 ὡς τάχιστα, ᾗπερ ἔλεγον, διατάξαι. Καὶ πῶς δὴ, ἔφην ἐγὼ, ὦ Ἰσχόμαχε, διέταξας αὐτῇ; Τί δὲ, εἰ μὴ τῆς οἰκίας τὴν δύναμιν ἔδοξέ μοι πρῶτον ἐπιδεῖξαι αὐτῇ; οὐ γὰρ ποικίλμασι κεκόσμηται, ὦ Σώκρατες, ἀλλὰ τὰ οἰκήματα ᾠκοδόμηται πρὸς αὐτὸ τοῦτο ἐσκεμμένα, ὅπως ἀγγεῖα ὡς συμφορώτατα ᾖ τοῖς μέλλουσιν ἐν αὐτοῖς ἔσεσθαι· ὥστε αὐτὰ ἐκάλει τὰ πρέ-
3 ποντα εἶναι ἑκάστῳ. Ὁ μὲν γὰρ θάλαμος ἐν ὀχυρῷ ὢν, τὰ πλείστου ἄξια καὶ στρώματα καὶ σκεύη παρεκάλει· τὰ δὲ ξηρὰ τῶν στεγῶν τὸν σῖτον· τὰ δὲ ψυχεινὰ τὸν οἶνον· τὰ δὲ
4 φανὰ ὅσα φάους δεόμενα ἔργα τε καὶ σκεύη ἐστί. Καὶ διαιτητήρια δὲ τοῖς ἀνθρώποις ἐπεδείκνυον αὐτῇ κεκαλλωπισμένα τοῦ μὲν θέρους ἔχειν ψυχεινὰ, τοῦ δὲ χειμῶνος ἀλεεινά. Καὶ σύμπασαν δὲ τὴν οἰκίαν ἐπέδειξα αὐτῇ, ὅτι πρὸς μεσημβρίαν

διατάξαι] In Guelf. a prima manu τάξαι scriptum; antea fuerat διδάξαι.

2. ἐσκεμμένα] Camerarius ἐσκεμμένῳ vel ἐσκεμμένως corrigebat: quod ut Zeunius vulgatum defendens, ut potuit, reprobat, ita ego unice verum puto. Aristoteles Œcon. i. 6. οἰκίαν δὲ πρός τε τὰ κτήματα ἀποβλέποντα κατασκευαστέον, καὶ πρὸς ὑγίειαν καὶ πρὸς εὐημερίαν αὐτῶν. λέγω δὲ κτήματα (Codex κτήμασι) μὲν, οἷον καρποῖς καὶ ἐσθῆτι ποία συμφέρει· καὶ τῶν καρπῶν ποία ξηροῖς καὶ ποία ὑγροῖς· καὶ τῶν ἄλλων κτημάτων ποία ἐμψύχοις καὶ ποία ἀψύχοις καὶ (hæc omittit Codex) δούλοις, καὶ ἐλευθέροις, καὶ γυναιξὶ καὶ ἀνδράσι, καὶ ξένοις καὶ ἀστοῖς. Καὶ πρὸς εὐημερίαν δὲ καὶ πρὸς ὑγίειαν δεῖ εἶναι εὔπνουν μὲν τοῦ θέρους, εὐήλιον δὲ τοῦ χειμῶνος.

πρέποντα εἶναι ἑκάστῳ] *Cuique cellæ convenientem* vertit Weiske, et nisi cum Zeunio εἶναι redundare statuas, exponit *ea quæ diceret esse cuique seu pertinere ad unumquodque*. Sed hoc per verba Græca facere non licet, nisi ἐν ἑκάστῳ scripseris, quod omnino faciendum puto.

αὐτὰ ἐκάλει τὰ πρέποντα ἐνὶ ἑκάστῳ] Legebatur τὰ πρέποντα εἶναι ἑκάστῳ. DIND.

3. στεγῶν] Margo Steph. στεγνῶν annotavit. Cicero apud Columellam xii. 2. *quod excelsissimum est conclave, pretiosissima vasa et vestem desiderat: quod denique horreum siccum atque aridum, frumentis habetur idoneum: quod frigidum, commodissime vinum custodit: quod bene illustre, fragilem supellectilem atque ea postulat opera, quæ multi luminis indigent.*

4. ἐπεδείκνυον] Lips. Codex ἀπεδ. habet, deinde cum Juntina, Guelf. Paris. C. ἔχειν omittit.

κεκαλλωπισμένα] Verbum hoc sensum loci et structuram verborum interpellat inepte. Deinde a domo Ischomachi aliena est mentio cultus externi omnis. Erat enim illa, ut est in §. 2. οὐ ποικίλμασι κεκοσμημένη. In Hieronis c. xi. 2. est οἰκία ὑπερβαλλούσῃ δαπάνῃ κεκαλλωπισμένη. Quid si fuit olim scriptum κεκαλλωπισμένα μὲν οὔ, τοῦ δὲ θέρους etc.?

πρὸς μεσημβρίαν] Aristoteles in loco supra laudato, εἴη δ' ἂν ἡ τοιαύτη κατάβοῤῥος οὖσα καὶ μὴ ἰσοπλατής, i. e. ad septentrionem conversa. Xenophonteum ἀναπέπταται Zeunianus Index interpretatur: *versus meridiem spectet seu porrecta sit*: cum in Sym-

ἀναπέπταται, ὥστε εὔδηλον εἶναι, ὅτι χειμῶνος μὲν εὐήλιός ἐστι, τοῦ δὲ θέρους εὔσκιος. Ἔδειξα δὲ καὶ τὴν γυναικωνῖτιν αὐτῇ, θύρᾳ βαλανείῳ ὡρισμένην ἀπὸ τῆς ἀνδρωνίτιδος, ἵνα μήτε ἐκφέρηται ἔνδοθεν, ὅ τι μὴ δεῖ, μήτε τεκνοποιῶνται οἱ οἰκέται

posio v. 6. ἀναπέπτανται μυκτῆρες ipse vertisset *sursum expansæ sunt*, cum deberet *apertæ*. ut est Agesilai ii. 17. ἀναπετάσας τὰς πύλας, non *expandens* vel *porrigens*, sed *aperiens*. In libro de re equestri i. 10. μυκτῆρες οἱ ἀναπεπταμένοι, id est *patulæ nares*, opponuntur τοῖς συμπεπτωκόσι, *angustis*. Sic est παρόδου ἀναπεπταμένης Hellenic. vi. 4, 27. Denique ὄμματα ἀναπεπταμένα sunt *oculi aperti* in Memorabilibus. Hinc est manifestum, h. l. ita verti debere: *ad meridiem aperta aditum habet*. Igitur cœnacula partim ad orientem, alia ad occidentem, quædam ad septentrionem conversa fuerunt.

εὔσκιος] In Memorab. iii. 8, 9. umbram æstivam in ædificio commemorat similiter.

5. αὐτῇ, θύραν] Stephanus continuat verba sine inciso usque ad ἀνδρωνίτιδος, Bachius post αὐτῇ cum Weiskio incisum posuit, Zeune post θύραν. Deinde si γυναικωνῖτις est pars ædium mulierum habitationi dicata, quo modo θύραν addidit Xenophon sine copula? Porro si βαλανεῖον est balneum, parum Ischomachus prospexerat, ne, quæ impedire volebat, acciderent. Qui enim balnei spatium medium impedire potuit, ne quid efferretur, aut ne servorum et servarum congressus fierent? Accedit, quod, cum aditus ipsi et porticus quem usum habeant, sit accurate demonstratum, cœnaculi virilis et muliebris mentio tantum obiter injicitur, nec usus vel commoditas docetur. Difficultatum partem aliquam tollit Weiskiana conjectura θύρας βαλάνῳ· (malim θύρᾳ καὶ βαλάνῳ) quam ipse vir doctus interpretatur: *ostendi etiam gynæconitin januæ pessulo ipsi esse secretam.* Nam curam gynæcei pertinuisse maximè ad matremfamilias. Superest longe major pars difficultatis, quam sic expedire non licet. Igitur locum lacunosum esse statuo. Verba prima ita conjungo: ἔδειξα δὲ καὶ τὴν γυναικωνῖτιν αὐτῇ ὡρισμένην ἀπὸ τῆς ἀνδρωνίτιδος. Sequebatur demonstratio usus separati utriusque cœnaculi; deinde vero addebatur mentio θυρωροῦ seu ostiarii, quam non omisit Aristoteles, sed ita posuit, ut in Xenophonte legisse eandem videatur: δοκεῖ δὲ καὶ ἐν ταῖς μεγάλαις οἰκονομίαις χρήσιμος εἶναι θυρωρὸς, ὃς ἂν ᾖ ἄχρηστος τῶν ἄλλων ἔργων, πρὸς τὴν σωτηρίαν τῶν εἰσφερομένων καὶ ἐκφερομένων. unde Varro i. 13, 2: villici proxime januam cellam esse oportet, eumque scire, qui introeat, aut exeat noctu, quidve ferat, præsertim si ostiarius est nemo. Hæc significaverat fere Xenophon iis verbis, quorum partem reliquam habemus in θύραν βαλανείῳ, ubi βαλάνῳ latere puto. Denique admonitio subjuncta erat de servorum congressibus, talis fere, qualem ex hoc loco traduxisse videtur Aristoteles Œcon. i. 5. δεῖ δὲ καὶ ἐξομηρεύειν τεκνοποιΐαις. quod transtulit Varro R. R. i. 1: præfectos alacriores faciundum præmiis, dandaque opera, ut habeant peculium et conjunctas conservas, e quibus habeant filios: eo enim fiunt firmiores ac conjunctiores fundo; et repetiit Columella i. 8, 5. Scilicet post ὅτι μὴ δεῖ, desunt quædam, veluti μήτε εἰσφέρηται. Sequebatur præceptum generale de servorum congressibus et servarum, cujus pars major superest.

ἄνευ τῆς ἡμετέρας γνώμης. Οἱ μὲν γὰρ χρηστοὶ παιδοποιησά-
μενοι, εὐνούστεροι ὡς ἐπὶ τὸ πολύ· οἱ δὲ πονηροὶ συζυγέντες,
6 εὐπορώτεροι πρὸς τὸ κακουργεῖν γίγνονται. Ἐπεὶ δὲ ταῦτα
διήλθομεν, ἔφη, οὕτω δὴ ἤδη κατὰ φυλὰς διεκρίνομεν τὰ ἔπι-
πλα. Ἠρχόμεθα δὲ πρῶτον, ἔφη, ἀθροίζοντες, οἷς ἀμφὶ θυ-
σίας χρώμεθα. Μετὰ ταῦτα κόσμον γυναικὸς τὸν εἰς ἑορτὰς
διῃροῦμεν, ἐσθῆτα ἀνδρὸς τὴν εἰς ἑορτὰς καὶ πόλεμον, καὶ
στρώματα ἐν γυναικωνίτιδι, στρώματα ἐν ἀνδρωνίτιδι, ὑποδή-
7 ματα γυναικεῖα, ὑποδήματα ἀνδρεῖα. Ὅπλων ἄλλη φυλὴ,
ἄλλη ταλασιουργικῶν ὀργάνων, ἄλλη σιτοποιϊκῶν, ἄλλη ὀψο-
ποιϊκῶν, ἄλλη τῶν ἀμφὶ λουτρὸν, ἄλλη ἀμφὶ μάκτρας, ἄλλη
ἀμφὶ τραπέζας. Καὶ ταῦτα πάντα διεχωρίσαμεν, οἷς τε ἀεὶ
8 δεῖ χρῆσθαι, καὶ τὰ θοινητικά. Χωρὶς δὲ καὶ τὰ κατὰ μῆνα
δαπανώμενα ἀφείλομεν, δίχα δὲ καὶ τὰ εἰς ἐνιαυτὸν ἀπολελο-
γισμένα κατέθεμεν. Οὕτω γὰρ ἧττον λανθάνει, ὅπως πρὸς τὸ
τέλος ἐκβήσεται. Ἐπεὶ δὲ ἐχωρίσαμεν πάντα κατὰ φυλὰς
τὰ ἔπιπλα, εἰς τὰς χώρας τὰς προσηκούσας ἕκαστα διηνέγ-
9 καμεν. Μετὰ δὲ τοῦτο ὅσοις μὲν τῶν σκευῶν καθημέραν χρῶν-
ται οἱ οἰκέται, οἷον σιτοποιϊκοῖς, ὀψοποιϊκοῖς, ταλασιουργι-

6. φυλὰς] Cicero apud Columellam c. 3. *Præparatis idoneis locis instrumentum et supellectilem distribuere cœpimus: ac primum ea secrevimus, quibus ad res divinas uti solemus, postea mundum muliebrem, qui ad dies festos comparatur, deinde ad bella virilem, item dierum solennium ornatum, nec minus calceamenta utrique sexui convenientia: tum jam seorsum arma ac tela seponebantur, et in altera parte instrumenta, quibus ad lanificia utuntur.*— Ceterum πρῶτ' ἔφη margo Villois. deinde Paris. A. εἰς τὰς ἑορτάς.

ἀνδρεῖα] Juntina et margo Steph. ἀνδρῷα. Cf. Cyropædiæ viii. 2, 5.

7. ἄλλη ἀμφὶ] Stephanus bis articulum τῶν inserendum esse recte monuit. Cicero: *Post quibus ad cibum comparandum vasis uti assolent, constituebantur; inde quæ ad lavationem, quæ ad exornationem, quæ ad mensam quotidianam atque epulationem pertinent, exponebantur.*

θοινητικά] Stephanus θοινατικά dedit, quæ forma est in Paris. A.C.D.

8. τὰ εἰς ἐνιαυτὸν] Lips. τὰ omisit. Deinde λανθάνειν Guelf. Cicero vertit: *Postea ex iis, quibus quotidie utimur, quod menstruum esset, seposuimus, annuum quoque in duas partes divisimus: nam sic minus fallit, qui exitus futurus sit.* Satis inepte! Nec licebit uti defensione Zeunii *in suas partes* scribentis.—Postea διηνέγκομεν Paris. A.C.D.

9. σιτοποιϊκοῖς] Guelf. σιτοποιηκοῖς, ὀψοποιηκοῖς. Cicero vertit: *Hæc postquam omnia secrevimus, tum suo quæque loco disposuimus: deinde quibus quotidie servuli utuntur, quæ ad lanificia, quæ ad cibaria coquenda et conficienda pertinent, hæc ipsis, qui his uti solent, tradidimus, et ubi exponerentur, demonstravimus, et ut*

κοῖς, καὶ εἴτι ἄλλο τοιοῦτο, ταῦτα μὲν αὐτοῖς τοῖς χρωμένοις δείξαντες ὅπου δεῖ τιθέναι, παρεδώκαμεν, καὶ ἐπετάξαμεν σῶα παρέχειν· ὅσοις δ' εἰς ἑορτὰς ἢ ξενοδοχίας χρώμεθα ἢ εἰς τὰς 10 διὰ χρόνου πράξεις, ταῦτα δὲ τῇ ταμίᾳ παρεδώκαμεν, καὶ δείξαντες τὰς χώρας αὐτῶν, καὶ ἀπαριθμήσαντες καὶ γραψάμενοι ἕκαστα, εἴπομεν αὐτῇ, διδόναι τούτων ὅτῳ δέοι ἕκαστον, καὶ μεμνῆσθαι, ὅτῳ ἄν τι διδῷ, καὶ ἀπολαμβάνουσαν κατατιθέναι πάλιν, ὅθεν περ ἂν ἕκαστα λαμβάνῃ.

Τὴν δὲ ταμίαν ἐποιησάμεθα ἐπισκεψάμενοι, ἥτις ἡμῖν ἐδόκει εἶναι ἐγκρατεστάτη καὶ γαστρὸς, καὶ οἴνου, καὶ ὕπνου, καὶ ἀνδρῶν συνουσίας· πρὸς τούτοις δὲ, ἣ τὸ μνημονικὸν μάλιστα ἐδόκει ἔχειν, καὶ τὸ προνοεῖν, μή τι κακὸν λάβῃ παρ' ἡμῶν ἀμελοῦσα, καὶ σκοπεῖν, ὅπως χαριζομένη τι ἡμῖν, ὑφ' ἡμῶν ἀντιτιμήσεται. 11 Ἐδιδάσκομεν δὲ αὐτὴν καὶ εὐνοϊκῶς 12 ἔχειν πρὸς ἡμᾶς, ὅτ' εὐφραινοίμεθα, τῶν εὐφροσυνῶν μεταδιδόντες, καὶ εἴτι λυπηρὸν εἴη, εἰς ταῦτα παρακαλοῦντες. Καὶ τὸ προθυμεῖσθαι δὲ συναύξειν τὸν οἶκον ἐπαιδεύομεν αὐτὴν, ἐπιγιγνώσκειν αὐτὴν ποιοῦντες, καὶ τῆς εὐπραγίας αὐτῇ μεταδι-

salva essent, præcepimus. Aristoteles Œcon. i. 6. ἐν μὲν οὖν ταῖς μικραῖς κτήσεσιν ὁ Ἀττικὸς τρόπος τῆς διαθέσεως τῶν ἐπικαρπιῶν χρήσιμος· ἐν δὲ ταῖς μεγάλαις, διαμερισθέντων καὶ τῶν πρὸς ἐνιαυτὸν, καὶ τῶν κατὰ μῆνα δαπανωμένων. Ὁμοίως δὲ καὶ περὶ σκευῶν χρήσεως τῶν καθ' ἡμέραν καὶ τῶν ὀλιγάκις, ταῦτα παραδοτέον τοῖς ἐφεστῶσιν.

10. τὰς διὰ χρόνου] Cicero: *Quibus autem ad dies festos et ad hospitum adventum utimur et ad quædam rara negotia, hæc promo tradidimus, et loca omnium demonstravimus, et omnia annumeravimus, atque annumerata ipsi exscripsimus, eumque admonuimus, ut quodcunque opus esset, sciret unde daret, et meminisset atque annotaret, quid et quando et cui dedisset, et cum recepisset, ut quidque suo loco reponeret.*

ταῦτα δὲ] Zeunianum τε repudiavit Weiske comparans Hellenica i. 4, 13. et ibi annotata ab eo.

τῇ ταμίᾳ] *Promo* vertit Cicero, unde Patricius hic τῷ ταμίᾳ scribi voluit. Sed sequentia confirmant vulgatum.

γραψάμενοι] Cicero ἀπογραψάμενοι legisse videtur, *exscripsimus* vertens. Sed in Agesilai cap. i. 18. similiter est γραφομένους.

ὅτῳ ἄν τι] Cum Aldina Stephanus hoc vulgato ὅτι ἄν τῳ prætulit. Cicero ὅταν τί τῷ legisse videtur Zeunio.

11. ἐπισκεψάμενοι] Cicero apud Columellam xii. 1. de villica: *imprimis considerandum erit, an a vino, ab escis, a superstitionibus, a somno, a viris remotissima sit, et ut cura eam subeat, quid meminisse, quid in posterum prospicere debeat—et tam malum vitare, quam præmium recte factorum sperare.*

12. ἐπιγιγνώσκειν] Weiske intelligens οἰκίαν interpretatur, *cum eam consciam faceremus rerum et ratio-*

13 δόντες. Καὶ δικαιοσύνην δ' αὐτῇ ἐνεποιοῦμεν, τιμιωτέρους τι-
θέντες τοὺς δικαίους τῶν ἀδίκων, καὶ ἐπιδεικνύοντες πλουσιώ-
τερον καὶ ἐλευθεριώτερον βιοτεύοντας τῶν ἀδίκων· καὶ αὐτὴν δὲ
14 ἐν αὐτῇ τῇ χώρᾳ κατετάττομεν. Ἐπὶ δὲ τούτοις πᾶσιν εἶπον,
ἔφη, ὦ Σώκρατες, ἐγὼ τῇ γυναικὶ, ὅτι πάντων τούτων οὐδὲν
ὄφελος, εἰ μὴ αὐτὴ ἐπιμελήσεται, ὅπως διαμένῃ ἑκάστῳ ἡ τά-
ξις. Ἐδίδασκον δὲ αὐτὴν, ὅτι καὶ ἐν ταῖς εὐνομουμέναις πό-
λεσιν οὐκ ἀρκεῖν δοκεῖ τοῖς πολίταις, ἢν νόμους καλοὺς γρά-
ψωνται, ἀλλὰ καὶ νομοφύλακας προσαιροῦνται, οἵτινες ἐπι-
σκοποῦντες τὸν μὲν ποιοῦντα τὰ νόμιμα ἐπαινοῦσιν· ἢν δέ τις
15 παρὰ τοὺς νόμους ποιῇ, ζημιοῦσι. Νομίσαι οὖν ἐκέλευον, ἔφη,
τὴν γυναῖκα καὶ αὐτὴν νομοφύλακα τῶν ἐν τῇ οἰκίᾳ εἶναι,
καὶ ἐξετάζειν δὲ, ὅταν δόξῃ αὐτῇ, τὰ σκεύη, ὥσπερ ὁ φρούραρ-
χος τὰς φυλακὰς ἐξετάζει, καὶ δοκιμάζειν, εἰ καλῶς ἕκαστον
ἔχει, ὥσπερ ἡ βουλὴ ἵππους καὶ ἱππέας δοκιμάζει, καὶ ἐπαι-
νεῖν δὲ καὶ τιμᾷν, ὥσπερ βασίλισσαν, τὸν ἄξιον ἀπὸ τῆς παρ-

num nostrarum. Sed quid οἰκία ad hæc? Consilia cum villica communicantur, ejusque consilium exquiritur. Quodsi commune consilium felicem habuerit eventum, τῆς εὐπραγίας fructum villica et ipsa percipit cum domino.

13. δικαιοσύνην δ' αὐτῇ] Edd. vett. δὲ omittunt, quod addit etiam margo Villois. Deinde pro τιθέντες margo Stephan. ποιοῦντες annotavit. postea βιωτεύοντας Guelf.

ἐν αὐτῇ τῇ χώρᾳ] Pro ἐν τῇ αὐτῇ χώρᾳ dictum interpretatur Weiske: *eo loco sive ea in conditione illam ponebamus, ut posset splendide et liberaliter, sive ut homines honestiores, vivere.* Leonclaviana versio, *atque huic tali locum hunc attribuebamus*, Græcis his responderet, judice Weiskio: ἐν ταύτῃ μὲν οὖν τῇ χώρᾳ αὐτὴν κατετάττομεν. Camerarius interpretatur: *atque eam ipsam quoque in numero proborum justorumque collocabamus.* Mihi nulla harum rationum satisfacit, et locum lacunosum esse censeo.

14. ἑκάστῳ ἡ τάξις] Guelf. ἑκάστων habet, et præcedens τούτων est a manu secunda adscriptum. Deinde ἐννομουμέναις dat. Cicero vertit: *Postremo his rebus omnibus constitutis, nihil hanc arbitror distributionem profuturam, nisi villicus sæpius, et aliquando tamen dominus aut matrona consideraverit animadverteritque, ut ordinatio instituta conservetur. Quod etiam in bene moratis civitatibus semper est observatum; quarum primoribus atque optimatibus non satis visum est bonas leges habere, nisi custodes earum diligentissimos cives creassent, quos Græci* νομοφύλακας *appellant. Horum erat officium, eos, qui legibus parerent, laudibus prosequi nec minus honoribus: eos autem, qui non parerent, pœna multare.*

ποιῇ] Juntina et Paris. A.C.D. ποιεῖ. Deinde ἕκαστον ἔχοι Paris. A. C.D.

15. ἡ βουλὴ] Compara de Magistro Equitum i. 8, 13.

ὥσπερ βασίλισσαν] Paris. A. ὥσπερ

οὔσης δυνάμεως, καὶ λοιδορεῖν καὶ κολάζειν τὸν τούτων δεό-
μενον. Πρὸς δὲ τούτοις ἐδίδασκον αὐτὴν, ἔφη, ὡς οὐκ ἂν 16
ἄχθοιτο δικαίως, εἰ πλείω αὐτῇ πράγματα προστάττω, ἢ τοῖς
οἰκέταις περὶ τὰ κτήματα, ἐπιδεικνύων, ὅτι τοῖς μὲν οἰκέταις
μέτεστι τῶν δεσποσύνων χρημάτων τοσοῦτον, ὅσον φέρειν, ἢ θε-
ραπεύειν, ἢ φυλάττειν, χρῆσθαι δὲ οὐδενὶ αὐτῶν ἔξεστιν, ὅτῳ ἂν
μὴ δῷ ὁ κύριος· δεσπότου δὲ ἅπαντά ἐστιν, ᾧ ἂν βούληται
ἕκαστα, χρῆσθαι. Ὅτῳ οὖν καὶ σωζομένων μεγίστη ὄνησις, 17
καὶ φθειρομένων μεγίστη βλάβη, τούτῳ καὶ τὴν ἐπιμέλειαν
μάλιστα προσήκουσαν ἀπέφαινον. Τί οὖν; ἔφην ἐγὼ, ὦ Ἰσ- 18
χόμαχε, ταῦτα ἀκούσασα ἡ γυνὴ πῶς σοι ὑπήκουε; τί δὲ,
ἔφη, εἰ μὴ εἶπέ γέ μοι, ὦ Σώκρατες, ὅτι οὐκ ὀρθῶς γιγνώσκοι-
μι, εἰ οἰοίμην χαλεπὰ ἐπιτάττειν, διδάσκων ὅτι ἐπιμελεῖσθαι
δεῖ τῶν ὄντων. Χαλεπώτερον γὰρ ἂν, ἔφη φάναι, εἰ αὐτῇ ἐπέ-
ταττον ἀμελεῖν τῶν ἑαυτῆς, ἢ εἰ ἐπιμελεῖσθαι δεήσει τῶν οἰ-
κείων ἀγαθῶν. Πεφυκέναι γὰρ δοκεῖ, ἔφη, ὥσπερ καὶ τέκνων 19
ῥᾷον τὸ ἐπιμελεῖσθαι τῇ σώφρονι τῶν ἑαυτῆς, ἢ ἀμελεῖν, οὕτω
καὶ τῶν κτημάτων, ὅσα ἴδια ὄντα εὐφραίνει, ἥδιον τὸ ἐπιμε-
λεῖσθαι νομίζειν ἔφη εἶναι τῇ σώφρονι τῶν ἑαυτῆς ἢ ἀμελεῖν.

καὶ βασίλισσαν. Deinde τὴν ἄξιον Paris. C.D.

16. οὐδενὶ αὐτῶν] Nescio unde Weiskiana οὐδὲν dederit.

ᾧ ἂν βούληται ἕκαστα, χρῆσθαι] Camerarius corrigebat ἑκάστῳ, Stephanus ὡς ἂν βούληται ἑκάστοις χρ. aut ὡς ἂν β. ἑκάστῳ χρ. Vulgatum Bachius, Zeunius et Weiskius ita defendunt, ut primum ὥστε intelligant subaudiendum ad χρῆσθαι· deinde ἕκαστα interpretantur καθ' ἕκαστα cum Brodæo, aut εἰς ἕκαστα, ex nota formula χρῆσθαι τινί τι. Quasi tanti illi viri et tam egregie docti, Camerarius et Stephanus, hanc Græci sermonis consuetudinem ignorassent. Quam si sequi voluisset Xenophon, dicendum potius erat: ἃ ἂν βούληται ἑκάστῳ χρῆσθαι, *ad quemcunque libuerit usum adhibere.* Mihi igitur posterior Stephani ratio, uti Leonclavio, sola placet.

18. πῶς σου ὑπήκουε;] Paris. C.D. πῶς σοι ὑπάκουε. Equidem hoc σοι præferam.

ἡ γυνή πώς σοι ὑπήκουε;] Scribebatur ἡ γυνὴ πῶς σοι ὑπήκουε; DIND.

εἶπέ γε] Castal. γε omisit.

19. δοκεῖ, ἔφη,] Edd. vett. ἔφη omittunt. Deinde ῥᾷον omittitur in edd. vett. Guelf. Lips. Steph. ex Codicum veterum consensu ait se ῥᾷον restituisse, cum quidam μᾶλλον interponere maluissent. Strebæus *jucundius* vertit.

ἔφη εἶναι] Posterius verbum omittitur in edd. vett. sed extat etiam in margine Villois. Deinde ἢ in Castal. Paris. A.C.D. εἰ omittunt, solus A. in margine addit.

CAP. X.

1 ΚΑΙ ἐγὼ ἀκούσας, ἔφη ὁ Σωκράτης, ἀποκρίνασθαι τὴν γυν-
αῖκα αὐτῷ ταῦτα, εἶπον· Νὴ τὴν Ἥραν, ἔφην, ὦ Ἰσχόμαχε,
ἀνδρικήν γε ἐπιδεικνύεις τὴν διάνοιαν τῆς γυναικός. Καὶ ἄλλα
τοίνυν, ἔφη ὁ Ἰσχόμαχος, θέλω σοὶ πάνυ μεγαλόφρονα αὐτῆς
διηγήσασθαι, ἅ μου ἅπαξ ἀκούσασα ταχὺ ἐπείθετο. Τὰ
ποῖα; ἔφην ἐγώ, λέγε· ὡς ἐμοὶ πολὺ ἥδιον ζώσης ἀρετὴν γυν-
αικὸς καταμανθάνειν, ἢ εἰ Ζεῦξίς μοι καλὴν εἰκάσας γραφῇ
2 γυναῖκα ἐπεδείκνυεν. Ἐντεῦθεν δὴ λέγει ὁ Ἰσχόμαχος· Ἐγὼ
τοίνυν, ἔφη, ἰδών ποτε αὐτήν, ὦ Σώκρατες, ἐντετριμμένην πολλῷ
μὲν ψιμμυθίῳ, ὅπως λευκοτέρα ἔτι δοκοίη εἶναι, ἢ ἦν, πολλῇ
δὲ ἐγχούσῃ, ὅπως ἐρυθροτέρα φαίνοιτο τῆς ἀληθείας, ὑποδήματα
3 δ' ἔχουσαν ὑψηλά, ὅπως μείζων δοκοίη εἶναι, ἢ ἐπεφύκει,
εἰπέ μοι, ἔφην, ὦ γύναι, ποτέρως ἄν με κρίναις ἀξιοφίλητον
μᾶλλον εἶναι χρημάτων κοινωνόν, εἴ σοι αὐτὰ τὰ ὄντα ἀπο-
δεικνύοιμι, καὶ μήτε κομπάζοιμι, ὡς πλείω τῶν ὄντων ἐστί
μοι, μήτε ἀποκρυπτοίμην τὶ τῶν ὄντων μηδέν, ἢ εἰ ἐπειρώμην σε
ἐξαπατᾶν, λέγων τε ὡς πλείω τῶν ὄντων ἐστί μοι, ἐπιδεικνύς
τε ἀργύριον κίβδηλον [δηλοίην σὲ] καὶ ὅρμους ὑποξύλους, καὶ

Cap. X. Νὴ τὴν Ἥραν, ἔφην] Formulam jurandi Socraticam asseruit Ernesti ad Memorab. i. 5, 5. In Guelf. et Lips. est ἔφη.

2. μὲν ψιμμυθίῳ] Juntina ψιμμιθίῳ, Guelf. μέντοι ψιμυθίῳ, Lips. etiam dat simplici μ scriptum vocabulum, ut sect. 7. et Paris. A.C.D.

ἔτι] Paris. A. ἔτι λευκοτέρα δοκεῖ, in margine δοκοῖ. C. λ. ἔτι δοκῇ. D. δοκεῖ.

ἐγχούσῃ] Atticum dicitur esse pro ἀγχούσῃ, quam scripturam annotat margo Steph. infra sect. 7. Thomas Magister usum Atticum annotavit.

ὑψηλὰ] Usum muliebrem docuit Victorius Var. Lect. 15, 23. Deinde δοκεῖ Paris. A.C.D.

3. αὐτὰ τὰ ὄντα] Articulum omittit Paris. A. Brodæus recte τὰ ἀληθῶς ὑπάρχοντα interpretatur. Deinde πλείω ἐστί μοι τῶν ὄντων Lips. cum Paris. A.C.D. Antea ἢ ἐπειρώμην Paris. C.D.

ἢ εἰ] Guelf. εἰ omittit, et sequentia ita ordinat: ἐστί μοι τῶν ὄντων.

[δηλοίην σε] Hæc verba seclusi, secutus auctoritatem Stephani, qui plane delet, tanquam orta ex repetitione syllabarum postremarum vocabuli antecedentis. Cum Stephano faciunt Leoncl. et Bachius. Brodæus σε in σοι mutari voluit. Camerarius *imponerem tibi, in fraudem illicerem* vertit. Est sane apud Hesychium δηλήσονται, ψεύσονται, βλάψουσι, sed id verbum Xenophontis ætate Doricæ dialecti et poetarum proprium fuit. Præterea media tantum verbi forma fuit usitata. Deinde verbum hic interpositum

πορφυρίδας ἐξιτήλους φαίην ἀληθινὰς εἶναι; Καὶ ὑπολαβοῦσα 4
εὐθὺς, εὐφήμει, ἔφη· μὴ γένοιο σὺ τοιοῦτος. οὐ γὰρ ἂν ἔγωγέ
σε δυναίμην, εἰ τοιοῦτος εἴης, ἀσπάσασθαι ἐκ τῆς ψυχῆς.
Οὐκοῦν, ἔφην ἐγὼ, συνεληλύθαμεν, ὦ γύναι, ὡς καὶ τῶν σω-
μάτων κοινωνήσοντες ἀλλήλοις; Φασὶ γοῦν, ἔφη, οἱ ἄνθρωποι.
Ποτέρως ἂν οὖν, ἔφην ἐγὼ, τοῦ σώματος αὖ δοκοίην εἶναι ἀξιο- 5
φίλητος μᾶλλον κοινωνὸς, εἴ σοι τὸ σῶμα πειρώμην παρέχειν
τὸ ἐμαυτοῦ ἐπιμελόμενος, ὅπως ὑγιαῖνόν τε καὶ ἐῤῥωμένον
ἔσται, καὶ διὰ ταῦτα τῷ ὄντι εὔχρως σοι ἔσομαι, ἢ εἴ σοι
μίλτῳ ἀλειφόμενος, καὶ τοὺς ὀφθαλμοὺς ὑπαλειφόμενος ἀν-
δρεικέλῳ, ἐπιδεικνύοιμί τε ἐμαυτὸν, καὶ συνείην ἐξαπατῶν σε,
καὶ παρέχων ὁρᾷν καὶ ἅπτεσθαι μίλτου ἀντὶ τοῦ ἐμαυτοῦ χρω-
τός; Ἐγὼ μὲν, ἔφη ἐκείνη, οὔτ᾽ ἂν μίλτου ἁπτοίμην ἥδιον ἢ 6
σοῦ, οὔτ᾽ ἂν ἀνδρεικέλου χρῶμα ὁρῴην ἥδιον, ἢ τὸ σὸν, οὔτ᾽ ἂν
τοὺς ὀφθαλμοὺς ὑπαληλιμμένους ἥδιον ὁρῴην τοὺς σοὺς, ἢ ὑγι-
αίνοντας. Καὶ ἐμὲ τοίνυν νόμιζε, εἰπεῖν ἔφη ὁ Ἰσχόμαχος, ὦ 7
γύναι, μήτε ψιμμυθίου μήτε ἐγχούσης χρώματι ἥδεσθαι μᾶλ-
λον, ἢ τῷ σῷ. Ἀλλ᾽ ὥσπερ οἱ θεοὶ ἐποίησαν ἵπποις μὲν ἵπ-
πους, βουσὶ δὲ βοῦς ἥδιστον, προβάτοις δὲ πρόβατα, οὕτω καὶ
οἱ ἄνθρωποι ἀνθρώπου σῶμα καθαρὸν οἴονται ἥδιστον εἶναι. Αἱ 8

alieno plane in loco turbat verborum ordinem. Denique significatio, quam verbum in poetarum locis habet a me comparatis omnibus, ea ab hoc loco abhorret. Itaque Zeunii et Weiskii defensione uti non licet.

ὑποξύλους] ligneos, sed inauratos. Cf. Victorii V. L. 19, 24.

ἐξιτήλους] Edd. vett. Guelf. Lips. *ἐξιτήλας*.

4. *ἀσπάσασθαι*] Vulgo additum *σε* auctore libro Guelf. Lips. Paris. A.C.D. delevit Zeune. Alii præeunte Castalione prius *σε* post *ἔγωγε* deleri voluerunt. *ἐκ ψυχῆς* Paris. C.

5. *Ποτέρως ἂν οὖν*] Guelf. *οὖν* omittit, et sæpe in tali oratione omisit Xenophon, uti docui ad Cyrop. i. 4, 13. iv. 4, 5. vii. 5, 25. Memorab. ii. 3, 19. Aristoteles Œconom. i. 4. *περὶ δὲ κοσμήσεως ὥσπερ οὐδὲ τὰ ἤθη δεῖ ἀλαζονευομένους ἀλλήλοις πλησιάζειν, οὕτως οὐδὲ τὰ σώματα· ἡ δὲ διὰ τῆς κοσμήσεως οὐδὲν διαφέρουσά ἐστι τῆς τῶν τραγῳδῶν ἐν τῇ σκηνῇ πρὸς ἀλλήλους ὁμιλίας.*

τὸ ἐμαυτοῦ] Paris. A. *τὸ ἑαυτοῦ*. C. D. *τὸ ἑαυτοῦ ἐπιμελούμενος*.

ἐπιδεικνύοιμι] Guelf. *ἐπιδείκνοιμι*, Paris. C.D. Lips. cum edd. vett. *ἐπιδείκνυμι*. Deinde *παρέχω* edd. vett.

6. *ὑπαληλιμμένους*] In Guelf. altera litera *μ* suprascripta est. idem paulo antea *ἥδιον ὁρῴην* dat cum Paris. C. D. In seqq. Lips. *ὁρῴην ἢ τοὺς σοὺς* dat. Guelf. *ἢ σοὺς ἢ ὑγιαίνοντας*. *ἢ τοὺς σοὺς ἢ ὑγ.* margo Villois. Camerarius *quam sanos tuos* vertens *ἢ σοὺς ὑγιαίνοντας* reddidisse videtur Zeunio.

7. *ψιμμυθίου*] Paris. A.C.D. *ψιμυθίου* dant.

δ' ἀπάται αὗται τοὺς μὲν ἔξω πως δύναιντ' ἂν ἀνεξελέγκτως ἐξαπατᾷν, συνόντας δὲ ἀεὶ ἀνάγκη ἁλίσκεσθαι, ἂν ἐπιχειρῶσιν ἐξαπατᾷν ἀλλήλους. Ἢ γὰρ ἐξ εὐνῆς ἁλίσκονται ἐξανιστάμενοι πρὶν παρασκευάσασθαι, ἢ ὑπὸ ἱδρῶτος ἐλέγχονται, ἢ ὑπὸ δακρύων βασανίζονται, ἢ ὑπὸ λουτροῦ ἀληθινῶς κατω-
9 πτεύθησαν. Τί οὖν πρὸς θεῶν, ἔφην ἐγὼ, πρὸς ταῦτα ἀπεκρίνατο; Τί δὲ, ἔφη, εἰ μὴ τοῦ λοιποῦ τοιοῦτον μὲν οὐδὲν πώποτε ἔτι ἐπραγματεύσατο, καθαρὰν δὲ καὶ πρεπόντως ἔχουσαν ἐπειρᾶτο ἑαυτὴν ἐπιδεικνύναι; καὶ ἐμὲ μέν τοι ἠρώτα, εἴτι ἔχοιμι συμβουλεῦσαι, ὡς ἂν τῷ ὄντι καλὴ φαίνοιτο, ἀλλὰ μὴ μόνον
10 δοκοίη. Καὶ ἐγὼ μέντοι, ὦ Σώκρατες, ἔφη, συνεβούλευον αὐτῇ μὴ δουλικῶς ἀεὶ καθῆσθαι, ἀλλὰ σὺν τοῖς θεοῖς πειρᾶσθαι δεσποτικῶς πρὸς μὲν τὸν ἱστὸν προστᾶσαν, ὅ τι μὲν βέλτιον ἄλλου ἐπίσταιτο, ἐπιδιδάξαι, ὅ τι δὲ χεῖρον, ἐπιμαθεῖν· ἐπισκέψασθαι δὲ καὶ σιτοποιὸν, παραστῆναι δὲ καὶ ἀπομετρούσῃ τῇ ταμίᾳ, περιελθεῖν δ' ἐπισκοπουμένην καὶ εἰ κατὰ χώραν ἔχει, ᾗ δεῖ, ἕκαστα. Ταῦτα γὰρ ἐδόκει μοι ἅμα ἐπι-
11 μέλεια εἶναι καὶ περίπατος. Ἀγαθὸν δὲ ἔφην εἶναι γυμνάσιον

8. ἐξανιστάμενοι] Codex Lips. ἐξανιστάμεναι dat cum Paris. A.C.D.

ἀληθινῶς] Offendit me vocabulum, quanquam priori ἀνεξελέγκτως oppositum forte dicas. Deinde κατωπτεύσθησαν Guelf. κατωπεύθησαν Paris. C.D.

9. Τί δὲ, ἔφη,] Vitium edd. vett. et Steph. ἔφην sustulit Loncl. Deinde τοιοῦτο Paris. A.C.D. Postea post πώποτε additum ἔτι auctore libro Guelf. Lips. Paris. A. et Juntina, tanquam glossema verborum τοῦ λοιποῦ, delevit Zeune, revocavit Weiske.

εἴτι] Guelf. ὅτι dat. Paulo antea ἐμὲ μὲν ἠρώτα Paris. C.

10. καθῆσθαι] Cicero Columellæ xii. 3, 8. *Denique uno loco quam minime oportebit eam consistere: neque enim sedentaria ejus opera est, sed modo ad telam debebit accedere, ac si quid melius sciat, docere: si minus, addiscere ab eo, qui plus intelligat: modo eos, qui cibum familiæ conficiunt, invisere; tum etiam culinam et bubilia, nec minus præsepia mundanda curare:—promis quoque et cellariis aliquid appendentibus aut metientibus intervenire.*

δεσποτικῶς] Aristoteles Œcon. i. 6. ἐπισκεπτέον οὖν τὰ μὲν αὐτὸν, τὰ δὲ τὴν γυναῖκα, ὡς ἑκατέροις διαιρεῖται τὰ ἔργα τῆς οἰκονομίας, καὶ τοῦτο ποιητέον ἐν μικραῖς οἰκονομίαις ὀλιγάκις, ἐν δὲ ἐπιτροπευομέναις πολλάκις.

προστᾶσαν] Brodæus τῶν ἱστῶν corrigens non meminerat verbum hoc esse pro προσστᾶσαν positum. Deinde τὸ ἐπιμαθεῖν Guelf.

σιτοποιὸν] In libro Guelf. τὸ σιτοποιὸν fuit a prima manu scriptum: equidem τὴν σιτοποιὸν malim scriptum. Muliebre enim fuit officium σιτοποιὸς, et articulus mihi necessarius hic videbatur.

ᾗ δεῖ] Ita e margine Steph. et Guelf. dedit Zeune, quam scripturam etiam Camerarius vertendo expressit. Vulgo et in Paris. A.C.D. est ἦν.

11. ἔφην εἶναι] Guelf. εἶναι ἔφην. Deinde συνθῆναι edd. vett.

καὶ τὸ δεῦσαι καὶ μάξαι, καὶ ἱμάτια καὶ στρώματα ἀνασεῖσαι καὶ συνθεῖναι. Γυμναζομένην δὲ ἔφην οὕτως ἂν καὶ ἐσθίειν ἥδιον, καὶ ὑγιαίνειν μᾶλλον, καὶ εὐχροωτέραν φαίνεσθαι τῇ ἀληθείᾳ. Καὶ ὄψις δὲ ὁπόταν ἀνταγωνίζηται διακόνῳ, καθα- 12
ρωτέρα οὖσα, πρεπόντως τε μᾶλλον ἠμφιεσμένη, κινητικὸν γίνεται, ἄλλως τε καὶ ὁπόταν τὸ ἑκοῦσαν χαρίζεσθαι προσῇ, ἀντὶ τοῦ ἀναγκαζομένην ὑπηρετεῖν. Αἱ δ' ἀεὶ καθήμεναι σε- 13
μνῶς πρὸς τὰς κεκοσμημένας καὶ ἐξαπατώσας κρίνεσθαι παρέχουσιν ἑαυτάς. Καὶ νῦν, ἔφη, ὦ Σώκρατες, οὕτως, εὖ ἴσθι, ἡ γυνή μου κατεσκευασμένη βιοτεύει, ὥσπερ ἐγὼ ἐδίδασκον αὐτὴν, καὶ ὥσπερ νῦν σοι λέγω.

CAP. XI.

ΕΝΤΕΥΘΕΝ δ' ἐγὼ εἶπον, ὦ Ἰσχόμαχε, τὰ μὲν δὴ περὶ 1
τῶν τῆς γυναικὸς ἔργων ἱκανῶς μοι δοκῶ ἀκηκοέναι τὴν πρώτην, καὶ ἄξιά γε πάνυ ἐπαίνου ἀμφοτέρων ὑμῶν. Τὰ δ' αὖ

εὐχροωτέραν] Guelf. εὐχρωτέραν dat.

12. καὶ ὄψις δὲ] Sunt hæc verba Ischomachi adhuc cum uxore loquentis atque usum exercitiorum corporis muliebris demonstrantis etiam inde, quod aspectus mulieris ministrantis sponte marito multo magis allicit et renovat semper ejus amorem, eoque ipso cavetur, ne servæ pulchræ ministrantis aspectu corruptus ab amore conjugali deducatur. ἀνταγωνίζεσθαι declarat operam spontaneam uxoris ministrantis marito, et verba ἄλλως τε—ὑπηρετεῖν non de sola διακόνῳ dicuntur, uti cum quibusdam capi posse censet Weiske, sed ministerium servæ et uxoris ita comparatur. ὄψις est totius corporis habitus et aspectus, qui decenter vestibus amictus dicitur improprie, sed verba Xenophon reliquæ sententiæ accommodavit. κινητικὸν vocat illecebras amoris, quæ ex motu corporis muliebris non solum ministrantis, sed vario se modo exercentis atque oculis mariti se ingerentis ortæ majorem vim habent, quam feminæ otiosæ et sedentis aspectus. Hoc est quod furiosos illos juvenum nostrorum amores in feminas κωμῳδοὺς elicere atque accendere solet. Magna cum cautione Ischomachus loquitur, dum uxoris animum a timore ζηλοτυπίας avertere conatur. Suspicionem igitur Weiskii de loci hujus corruptela ratam equidem non habeo.

13. πρὸς τὰς] Juntina καὶ πρὸς τὰς habet. Camerarius vertit: *illæ eas se præbent, de quibus judicium fiat tanquam de comtis istis atque fallacibus.* Paris. C. D. ἐξαπατῶντας dant.

Cap. XI. Ἐντεῦθεν δ' ἐγὼ] In Juntina δὲ omittitur. Hinc Cicero Œconomicorum Xenophontis librum secundum exorsus erat, qui præcepta habebat, quemadmodum foris paterfamilias agere debeat, teste Servio ad Virgilii Georgica i. versu 42. —Paris. A. ἀμφοτέρου ὑμῶν.

τὴν πρώτην] Intelligunt ὁδὸν, primo loco.

αὖ σὰ] Guelf. αὐτὰ scriptum habet, deinde δ' ἀκούσας commate posito post verba ἀνδρὸς ἔργα.

σὰ ἔργα, ἔφην ἐγὼ, ἤδη μοι λέγε, ἵνα σύ τε, ἐφ' οἷς εὐδοκι-
μεῖς, διηγησάμενος ἡσθῇς, κἀγὼ τὰ τοῦ καλοῦ κἀγαθοῦ ἀνδρὸς
ἔργα τελέως διακούσας καὶ καταμαθὼν, ἢν δύνωμαι, πολλήν
2 σοι χάριν εἰδῶ. Ἀλλὰ νὴ Δί', ἔφη ὁ Ἰσχόμαχος, καὶ πάνυ
ἡδέως σοι, ὦ Σώκρατες, διηγήσομαι, ἃ ἐγὼ ποιῶν διατελῶ,
ἵνα καὶ μεταῤῥυθμίσῃς με, ἐάν τι σοὶ δοκῶ μὴ καλῶς ποιεῖν.
3 Ἀλλ' ἐγὼ μὲν δὴ, ἔφην, πῶς ἂν δικαίως μεταῤῥυθμίσαιμι ἄν-
δρα ἀπειργασμένον καλόν τε κἀγαθὸν, καὶ ταῦτα ὢν ἀνὴρ, ὃς
ἀδολεσχεῖν τε δοκῶ, καὶ ἀερομετρεῖν, καὶ τὸ πάντων δὴ ἀνοη-
4 τότατον δοκοῦν εἶναι ἔγκλημα, πένης καλοῦμαι. Καὶ πάνυ
μὲν τ' ἂν, ὦ Ἰσχόμαχε, ἦν ἐν πολλῇ ἀθυμίᾳ τῷ ἐπικλήματι
τούτῳ, εἰ μὴ πρώην ἀπαντήσας τῷ Νικίου τοῦ ἐπηλύτου ἵππῳ,
εἶδον πολλοὺς ἀκολουθοῦντας αὐτῷ θεατὰς, πολὺν δὲ λόγον
ἐχόντων τινῶν περὶ αὐτοῦ ἤκουον· καὶ δῆτα ἠρόμην προσελθὼν
5 τὸν ἱπποκόμον, εἰ πολλὰ εἴη χρήματα τῷ ἵππῳ; Ὁ δὲ, προσ-
βλέψας με ὡς οὐδὲν ὑγιαίνοντα τῷ ἐρωτήματι, εἶπε, πῶς δ'
ἂν ἵππῳ χρήματα γένοιτο; οὕτω δὴ ἐγὼ ἀνέκυψα ἀκούσας

2. μεταῤῥυθμίσῃς] Lips. Codex μεταρυθμήσῃς dat. Deinde μὴ δοκῶ edd. vett. σοι ante δοκῶ omittit Paris. C.

3. ἀδολεσχεῖν] In crimine hæc Socrati objecta a vulgo docent Aristophanis Nubes et ad eas Scholia Græca ad versum 97. et 225. Compara etiam Apolog. De verbo ἀδολεσχεῖν et ἀδολεσχία exquisita quædam annotavit Heindorf ad Platonis Phædrum p. 326.

ἀνοητότατον] Edd. vett. Guelf. Lips. ἀνοητότερον. Recte ironice, ut reliqua, dictum interpretatur Weiske, *gravissimum, atrocissimum.* Paulo antea articulum τὸ omittit Paris. D.

4. ἐπικλήματι] Zeuniana ἐγκλήματι in textu exhibuit, vitio operarum.

πρώην] Castalio πρώτην dedit.

τοῦ ἐπηλύτου] Guelf. ἐπιλύτου. Patris nomen esse suspicatur Camerarius. Gallicus interpres Gail ita ad h. l. *Ce passage me paroit une ironie Socratique contre le rival d'Alcibiade, Nicias, qu'on avoit envoyé à Lacédémone pour une négotiation, mais dont le voyage avoit été infructueux. Socrate établit un contraste malin entre la lenteur de Nicias et l'ardeur de son coursier.* Quibus assentitur censor libri Jenensis, quasi ἐπηλύτου sit *tout récemment arrivé de Lacédémone.* Scriptoribus bonis ἔπηλυς est ὁ ξένος, peregrinus, hospes, qui recens advenit; ἐπήλυτος recentioribus Græcis est idem qui ἔποικος, πάροικος. Niciam Nicerati ex Lacedæmone reducem nullo modo potuit ita significare Xenophon. Scena dialogi pertinet ad tempus illud, quo colloquium Socratis cum Ischomacho fuit habitum, non satis certa nota definiendum, quo Nicias in vita adhuc an mortuus fuerit, dubitari potest.

ἵππῳ] Juntina omisit, Castalio ante Νικίου inseruit.

5. οὐδὲν ὑγιαίνοντα] Codex Lips. οὐδὲ dat cum Paris. A.C.D.

ὅτι ἐστὶν ἄρα θεμιτὸν καὶ πένητι ἵππῳ ἀγαθῷ γενέσθαι, εἰ τὴν
ψυχὴν φύσει ἀγαθὴν ἔχοι. Ὡς οὖν θεμιτὸν ὂν καὶ ἐμοὶ ἀγα- 6
θῷ ἀνδρὶ γενέσθαι, διηγοῦ τελέως τὰ σὰ ἔργα, ἵνα, ὅ τι ἂν δύ-
νωμαι ἀκούων καταμαθεῖν, πειρῶμαι καὶ ἐγώ σε ἀπὸ τῆς αὔ-
ριον ἡμέρας ἀρξάμενος μιμεῖσθαι. Καὶ γὰρ ἀγαθή ἐστιν,
ἔφην ἐγὼ, ἡμέρα, ὡς ἀρετῆς ἄρχεσθαι. Σὺ μὲν παίζεις, ἔφη 7
ὁ Ἰσχόμαχος, ὦ Σώκρατες, ἐγὼ δ' ὅμως σοι διηγήσομαι, ἃ
ἐγὼ, ὅσον δύναμαι, πειρῶμαι ἐπιτηδεύων διαπερᾶν τὸν βίον.
Ἐπεὶ γὰρ καταμεμαθηκέναι δοκῶ, ὅτι οἱ θεοὶ τοῖς ἀνθρώποις 8
ἄνευ μὲν τοῦ γιγνώσκειν τε ἃ δεῖ ποιεῖν, καὶ ἐπιμελεῖσθαι
ὅπως ταῦτα περαίνηται, οὐ θεμιτὸν ἐποίησαν εὖ πράττειν, φρο-
νίμοις δ' οὖσι καὶ ἐπιμελέσι τοῖς μὲν διδόασιν εὐδαιμονεῖν,
τοῖς δ' οὔ· οὕτω δὴ ἐγὼ ἄρχομαι μὲν τοὺς θεοὺς θεραπεύειν,
πειρῶμαι δὲ ποιεῖν, ὡς ἂν θέμις ᾖ μοι εὐχομένῳ καὶ ὑγιείας
τυγχάνειν, καὶ ῥώμης σώματος, καὶ τιμῆς ἐν πόλει, καὶ εὐ-
νοίας ἐν φίλοις, καὶ ἐν πολέμῳ καλῆς σωτηρίας, καὶ πλούτου
καλῶς αὐξομένου. Καὶ ἐγὼ ἀκούσας ταῦτα, μέλει γὰρ δή 9
σοι, ὦ Ἰσχόμαχε, ὅπως πλουτῇς, καὶ πολλὰ χρήματα ἔχων,
πολλὰ ἔχῃς πράγματα τούτων ἐπιμελόμενος; Καὶ πάνυ γε,
ἔφη ὁ Ἰσχόμαχος, μέλει μοι τούτων, ὧν ἐρωτᾷς· ἡδὺ γάρ μοι
δοκεῖ, ὦ Σώκρατες, καὶ θεοὺς μεγαλείως τιμᾶν, καὶ φίλους,
ἤν τινος δέωνται, ἐπωφελεῖν, καὶ τὴν πόλιν μηδὲν κατ' ἐμὲ
χρήμασιν ἀκόσμητον εἶναι. Καὶ γὰρ καλὰ, ἔφην ἐγὼ, ὦ Ἰσ- 10
χόμαχε, ἐστὶν, ἃ σὺ λέγεις, καὶ δυνατοῦ γε ἰσχυρῶς ἀνδρός.

6. θεμιτὸν ὂν] Accessit ὂν e margine libri Paris. A. quod male abesse censuit etiam Zeune.

ἀρξάμενος] Juntina ἀρξόμενος dat.

ἀγαθή ἐστιν—ἡμέρα] Proverbium esse censet Weiske interpretatus: *quæque dies idonea est ad virtutis studium incipiendum.* Mihi ironiam Socratis redolere dictio videtur, alludens ad superstitionem vulgarem, quæ auspicandis operibus dies quosdam peculiares dicabat.

7. διαπερᾶν] Juntina dat simplex περᾶν.

8. γιγνώσκειν τε] Paris. C.D. τε omittunt.

ἄρχομαι μὲν] Guelf. ἐγὼ μὲν ἄρχομαι. Deinde θέμις ἦν. Paris. C.D. ὧν ἂν θέμις.

πλούτου — αὐξομένου] Concinnitas orationis desiderare mihi videbatur ἐκ τῆς γεωργίας vel simile aliquod additamentum.

9. πλουτῇς] Guelf. Lips. πλουτεῖς —ἔχεις cum edd. vett. sed Guelf. tamen ἔχῃς habet. ἐπιμελούμενος Paris. C.D. Postea καὶ ante πάνυ omittunt Paris. A.C.D.

ἤν τινος] Juntina ἤν τινες.

κατ' ἐμὲ] Usitatius et rectius esse τὸ κατ' ἐμὲ censet Weiske.

πῶς γὰρ οὔ; ὅτε πολλοὶ μέν εἰσιν ἄνθρωποι, οἳ οὐ δύνανται ζῆν ἄνευ τοῦ ἄλλων δεῖσθαι, πολλοὶ δ᾽ ἀγαπῶσιν, ἢν δύνωνται τὰ ἑαυτοῖς ἀρκοῦντα πορίζεσθαι; οἱ δὲ δὴ δυνάμενοι μὴ μόνον τὸν ἑαυτῶν οἶκον διοικεῖν, ἀλλὰ καὶ περιποιεῖν, ὥστε καὶ τὴν πόλιν κοσμεῖν, καὶ τοὺς φίλους ἐπικουφίζειν, πῶς τούτους
11 οὐχὶ βαθεῖς τε καὶ ἐῤῥωμένους ἄνδρας χρὴ νομίσαι; Ἀλλὰ γὰρ ἐπαινεῖν μὲν, ἔφην ἐγὼ, τοὺς τοιούτους πολλοὶ δυνάμεθα, σὺ δέ μοι λέξον, ὦ Ἰσχόμαχε, ἀφ᾽ ὧνπερ ἤρξω, πῶς ὑγιείας ἐπιμελῇ; πῶς τῆς τοῦ σώματος ῥώμης; πῶς θέμις εἶναί σοι καὶ ἐκ πολέμου καλῶς σώζεσθαι; τῆς δὲ χρηματίσεως καὶ
12 μετὰ ταῦτα, ἔφην ἐγὼ, ἀρκέσει ἀκούειν. Ἀλλ᾽ ἔστι μὲν, ἔφη ὁ Ἰσχόμαχος, ὥς γε ἐμοὶ δοκεῖ, ὦ Σώκρατες, ἀκόλουθα ταῦτα πάντα ἀλλήλων. ἐπεὶ γὰρ ἐσθίειν τὶς τὰ ἱκανὰ ἔχοι, ἐκπονοῦντι μὲν ὀρθῶς μᾶλλον δοκεῖ μοι ἡ ὑγίεια παραμένειν, ἐκπονοῦντι δὲ μᾶλλον ἡ ῥώμη προσγίγνεσθαι, ἀσκοῦντι δὲ τὰ τοῦ πολέμου, κάλλιον σώζεσθαι, ὀρθῶς δὲ ἐπιμελομένῳ, καὶ μὴ
13 καταμαλακιζομένῳ, μᾶλλον εἰκὸς τὸν οἶκον αὔξεσθαι. Ἀλλὰ μέχρι μὲν τούτου ἕπομαι, ἔφην ἐγὼ, ὦ Ἰσχόμαχε, ὅτι ἐκπονοῦντα φῂς καὶ ἐπιμελούμενον καὶ ἀσκοῦντα ἄνθρωπον μᾶλλον τυγχάνειν τῶν ἀγαθῶν· ὁποίῳ δὲ πόνῳ χρῇ πρὸς τὴν εὐεξίαν

10. ὅτε πολλοὶ] Cum Stephano ὅτε substitui vulgato ὅτι, quod est a prima manu in Guelf. et in Paris. A. C.D. deinde τῶν ἄλλων δεῖσθαι Lips. liber cum Paris. C.D.

οἱ δὲ δὴ] Ex Guelf. Paris. A.C.D. et Lips. δὴ inserui cum Zeunio.

βαθεῖς] De divitibus et potentibus dici, hodie notissimum est.

11. ἤρξω, πῶς ὑγιείας] Paris. A. ὑγιᾶς. C.D. ἤρξω περὶ ὑγίας.

πῶς θέμις εἶναί σοι] Liber Paris. A. καὶ omittit. Stephanus corrigebat πῶς θέμις οἴει vel ὡς θέμις εἶναι, Leonclavius πῶς θέμις οἴει εἶναι, Welsius πῶς θέμις ἐστί. Zeunius cum Bachio vulgatum defendit ex ἀνακολουθίᾳ quadam Xenophonti non inusitata; Weiske ex anterioribus repetit πῶς ἐπιμελῇ, θέμις εἶναί σοι· potuisse etiam ait Xenophontem dicere πῶς πειρᾷ ποιεῖν, θέμις εἶναι. quæ Weiskii ratio quum contorta sit et ab usu Xenophonteæ facilitatis aliena, non est cur multis doceam. Equidem cum Leonclavio malim πῶς θέμις οἴει εἶναί σοι.

τῆς δὲ χρηματίσεως] Dehinc πέρι inserendum Leonclavius, idem ab initio collocandum, περὶ δὲ χρ. censuit Stephanus. Cum Leonclavio equidem sentio. Additum περὶ in margine habet Paris. A.

12. ἔχοι] Lips. liber ἔχει dat, deinde ὑγεία, postea προσγίγνεται. Postrema scriptura est etiam in Guelf. Paris. A.C. et edd. vett. παραγίγνεται Paris. D.

13. ἐπιμελούμενον] Guelf. Paris. A. C. et Lips. ἐπιμελόμενον. Deinde χρὴ pro χρῇ positum in libris omnibus correxit primus Camerarius.

καὶ ῥώμην, καὶ ὅπως ἀσκεῖς τὰ τοῦ πολέμου, καὶ ὅπως ἐπι-
μελῇ τοῦ περιουσίαν ποιεῖν, ὡς καὶ φίλους ἐπωφελεῖν, καὶ
πόλιν ἐπισχύειν, ταῦτα ἂν ἡδέως, ἔφην ἐγὼ, πυθοίμην. Ἐγὼ 14
τοίνυν, ἔφη, ὦ Σώκρατες, ὁ Ἰσχόμαχος, ἀνίστασθαι μὲν ἐξ
εὐνῆς εἴθισμαι, ἡνίκα ἔτι ἔνδον καταλαμβάνοιμι, εἴ τινα δεό-
μενος ἰδεῖν τυγχάνοιμι. Κἂν μέν τι κατὰ πόλιν δέῃ πράττειν,
ταῦτα πραγματευόμενος περιπάτῳ τούτῳ χρῶμαι· ἢν δὲ μη- 15
δὲν ἀναγκαῖον ᾖ κατὰ πόλιν, τὸν μὲν ἵππον ὁ παῖς προάγει
εἰς ἀγρὸν, ἐγὼ δὲ περιπάτῳ χρῶμαι τῇ εἰς ἀγρὸν ὁδῷ ἴσως
ἄμεινον, ὦ Σώκρατες, ἢ εἰ ἐν τῷ ξυστῷ περιπατοίην. Ἐπει- 16
δὰν δὲ ἔλθω εἰς ἀγρὸν, ἤν τε μοι φυτεύοντες τυγχάνωσιν, ἤν τε
νειοποιοῦντες, ἤν τε σπείροντες, ἤν τε καρπὸν προσκομίζοντες,
ταῦτα ἐπισκεψάμενος, ὅπως ἕκαστα γίγνεται, μεταῤῥυθμίζω,
ἐὰν ἔχω τὶ βέλτιον τοῦ παρόντος. Μετὰ δὲ ταῦτα ὡς τὰ 17
πολλὰ ἀναβὰς ἐπὶ τὸν ἵππον, ἱππασάμην ἱππασίαν, ὡς ἂν
ἐγὼ δύνωμαι, ὁμοιοτάτην ταῖς ἐν τῷ πολέμῳ ἀναγκαίαις ἱπ-
πασίαις, οὔτε πλαγίου, οὔτε κατάντους, οὔτε τάφρου, οὔτε
ὀχετοῦ ἀπεχόμενος· ὡς μέντοι δυνατὸν, ταῦτα ποιοῦντα, ἐπι-

καὶ ὅπως ἀσκεῖς τὰ τοῦ πολέμου] Hoc membrum in editione Zeuniana excidit. Deinde ταῦτα μὲν ἡδέως Paris. C.

14. ἀνίστασθαι] Edd. vett. ἀνθίστασθαι: verum etiam margo Villois. dat. Deinde eædem cum Guelf. et Lips. δεόμενον, quod vitium correxit Brodæus, ut fecit manus secunda in Paris. A.

ἡνίκ' ἄν. Schæferus ad Demosthenem vol. i. p. 358. Aberat ἄν. DIND.

Κἂν μέν τι] Guelf. μέντοι cum Paris. A.

15. προάγει] Paris. D. a prima manu ἄγει dat.

16. δὲ ἔλθω] Omittunt δὲ Paris. C. D.

σπείροντες] Guelf. a prima manu σπείραντες habet, deinde μεσαῤῥυθμίζω.

17. ἱππασάμην] Equitare soleo. De re compara Hipparchici i. 18. de Equitatione iii. 7. et cap. 8.

ἱππασάμην ἱππασίαν ὡς ἂν ἐγὼ δύνωμαι ὁμοιοτάτην τοῖς ἐν πολέμῳ ἀναγκαίαις ἱππασίαις οὔτε πλαγίου οὔτε κατάντους οὔτε τάφρου οὔτε ὀχετοῦ ἀπεχόμενος. Qui libri de arte equestri locum iii. 7. jam ab Schneidero comparatum contenderit, ubi dicit, ἐπεὶ δὲ πολεμιστήριον ἵππον ὑπεθέμεθα ὠνεῖσθαι, ληπτέον πεῖραν ἁπάντων ὅσωνπερ καὶ ὁ πόλεμος πεῖραν λαμβάνει. ἔστι δὲ ταῦτα τάφρους διαπηδᾶν, τειχία ὑπερβαίνειν, ἐπ' ὄχθους ἀνορούειν, ἀπ' ὄχθων καθάλλεσθαι· καὶ πρὸς ἄναντες δὲ καὶ κατὰ πρανοῦς καὶ πλάγια ἐλαύνοντα πεῖραν λαμβάνειν.: id igitur qui fecerit, facile in eandem quam Curerius ad Hipparchicum p. 68. sententiam propendeat hoc Œconomici loco ὄχθου pro ὀχετοῦ scribendum esse. DIND.

ἐπιμέλομαι] Margo Stephan. ἐπιμελοῦμαι annotavit.

18 μέλομαι μὴ ἀποχωλεῦσαι τὸν ἵππον. Ἐπειδὰν δὲ ταῦτα γέ-
νηται, ὁ παῖς ἐξαλίσας τὸν ἵππον οἴκαδε ἀπάγει, ἅμα φέρων
ἀπὸ τοῦ χώρου, ἤν τι δεώμεθα, εἰς ἄστυ. Ἐγὼ δὲ τὰ μὲν βά-
δην, τὰ δὲ ἀποδραμὼν οἴκαδε, ἀπεστλεγγισάμην. Εἶτα δὲ
ἀριστῶ, ὦ Σώκρατες, ὅσα μήτε κενὸς μήτε ἄγαν πλήρης διη-
19 μερεύειν. Νὴ τὴν Ἥραν, ἔφην ἐγὼ, ὦ Ἰσχόμαχε, ἀρεσκόντως
γέ μοι ταῦτα ποιεῖς. Τὸ γὰρ ἐν τῷ αὐτῷ χρόνῳ συνεσκευα-
σμένοις χρῆσθαι τοῖς τε πρὸς τὴν ὑγίειαν καὶ τοῖς πρὸς τὴν ῥώ-
μην παρασκευάσμασι, καὶ τοῖς εἰς τὸν πόλεμον ἀσκήμασι,
καὶ ταῖς τοῦ πλούτου ἐπιμελείαις, ταῦτα πάντα ἀγαστά μοι
20 δοκεῖ εἶναι. Καὶ γὰρ, ὅτι ὀρθῶς ἑκάστου τούτων ἐπιμελῇ,
ἱκανὰ τεκμήρια παρέχῃ· ὑγιαίνοντά τε γὰρ καὶ ἐῤῥωμένον, ὡς
ἐπὶ τὸ πολὺ, σὺν τοῖς θεοῖς σε ὁρῶμεν, καὶ ἐν τοῖς ἱππικωτά-
21 τοις τε καὶ πλουσιωτάτοις λεγόμενον σὲ ἐπιστάμεθα. Ταῦτα
τοίνυν ἐγὼ ποιῶν, ἔφη, ὦ Σώκρατες, ὑπὸ πολλῶν πάνυ συκο-
φαντοῦμαι· σὺ δ' ἴσως ᾤου με ἐρεῖν, ὡς ὑπὸ πολλῶν καλὸς
22 κἀγαθὸς κέκλημαι. Ἀλλὰ καὶ ἔμελλον δὲ ἐγὼ, ἔφην, ὦ Ἰσ-
χόμαχε, τοῦτο ἐρήσεσθαι, εἴ τινα καὶ τούτου ἐπιμέλειαν ποιῇ,
ὅπως δύνῃ λόγον διδόναι καὶ λαμβάνειν, ἤν τινι ποτὲ δέῃ. Οὐ

18. ἐξαλίσας] De usu hoc compara Nostrum de re equestri 5, 3. et Aristophanis Nubes versu 32. cum scholiis Græcis.

τοῦ χώρου] Guelf. et Paris. A.C.D. omittunt articulum.

ἀποδραμὼν] Miror nemini Interpretum displicuisse præpositionem, a re alienam.

ἀπεστλεγγισάμην] ἀπεστλαγγισάμην Paris. A.D. sudorem pulveremque soleo detergere strigili. Aristoteles de Mirabil. c. 113. de lapillis Æthaliæ variis: ταύτας δὲ οἱ Ἕλληνες λέγουσι τὴν χροιὰν λαβεῖν ἀπὸ τῶν στλεγγισμάτων ὧν ἐποιοῦντο ἀλειφόμενοι. Quod idem factum narrans Apollonius 4, 655. ait: ἵνα ψήφοισιν ἀπωμόρξαντο καμόντες ἱδρῶ ἅλις· χροιῇ δὲ κατ' αἰγιαλοῖο κέχυνται εἴκελαι. Hoc Græcis dicitur ξηραλοιφεῖν, ξηροτριβεῖσθαι et ξηρολουτρεῖν. atque hinc Plato in Phædro sect. 36. ἱδρώτων ξηρῶν duxit.

19. Τὸ γὰρ] Edd. veterum et Guelf. τῷ mutavit Castal. sequens συνεσκευασμένοις ex Aldina cum Stephano revocavi. συνεσκευασμένως ex Juntina, Budæi Comment. G. L. Guelf. Paris. repetiit cum Zeunio Weiske; quod interpretatur Zeune *confestim, simul*. Illam lectionem jam olim defenderam in Lexico Gr.

ὑγίειαν] Cod. Lips. et Paris. A. C.D. ὑγείαν. Articulum τοῖς ante πρὸς τὴν ῥώμην adscivi ex margine Villois. Guelf. et Paris. C.D. quem annotare omisit Zeune. Deinde πρὸς τὸν πόλεμον est apud Budæum l. c. in Codd. Lips. Guelf.

20. ἱππικωτάτοις τε] Paris. C.D. τε omittunt.

22. ἤν τινι] In litura scriptum habet Guelf. ubi τινὰ fuisse antea videtur.

γὰρ δοκῶ σοι, ἔφη, ὦ Σώκρατες, αὐτὰ ταῦτα διατελεῖν μελετῶν, ἀπολογεῖσθαι μὲν, ὅτι οὐδένα ἀδικῶ, εὖ δὲ ποιῶ πολλοὺς, ὅσον ἂν δύνωμαι. Κατηγορεῖν δὲ οὐ δοκῶ σοι μελετᾷν ἀνθρώπων, ἀδικοῦντας μὲν καὶ ἰδίᾳ πολλοὺς καὶ τὴν πόλιν καταμανθάνων τινὰς, εὖ δὲ ποιοῦντας οὐδένα; Ἀλλ' εἰ καὶ ἑρμη- 23
νεύειν τοιαῦτα μελετᾷς, τοῦτό μοι, ἔφην ἐγὼ, ἔτι, ὦ Ἰσχόμαχε, δήλωσον. Οὐδὲν μὲν οὖν, ὦ Σώκρατες, παύομαι, ἔφη, λέγειν μελετῶν. Ἢ γὰρ κατηγοροῦντός τινος τῶν οἰκετῶν, ἢ ἀπολογουμένου ἀκούσας, ἐλέγχειν πειρῶμαι, ἢ μέμφομαί τινα πρὸς τοὺς φίλους, ἢ ἐπαινῶ, ἢ διαλλάττω τινὰς τῶν ἐπιτηδείων, πειρώμενος διδάσκειν, ὡς συμφέρει αὐτοῖς φίλους εἶναι μᾶλλον, ἢ πολεμίους. Ἐπιτιμῶμέν τινι στρατηγῷ συμπαρόντες, 24
ἢ ἀπολογούμεθα ὑπέρ του, εἴτις ἀδίκως αἰτίαν ἔχει, ἢ κατηγοροῦμεν πρὸς ἀλλήλους, εἴτις ἀδίκως τιμᾶται. Πολλάκις δὲ καὶ βουλευόμενοι, ἃ μὲν ἂν ἐπιθυμῶμεν πράττειν, ταῦτα ἐπαινοῦμεν· ἃ δ' ἂν μὴ βουλώμεθα πράττειν, ταῦτα μεμφό-

μελετᾷν] In litura scriptum habet Guelf. ubi antea μελετῶν scriptum fuerat; sed Xenophon prætulit infinitum modum propter sequens participium καταμανθάνων.

ποιοῦντας οὐδένα] Hæc est lectio edd. pr. Strebæi, Guelf. deserta Stephano, Zeunio et Weiskio. Opponuntur enim invicem sibi verba ἀδικοῦντας et εὖ ποιοῦντας. Superbus et injurius simul fuisset Ischomachus, si dixisset neminem se animadvertere, qui de civibus vel patria bene mereri cupiat præter se. Inepte putabat Zeune opponi sibi invicem vocabula πολλοὺς, τινὰς, οὐδένα. Primarium nomen est τινὰς, cui adjunguntur verba ἀδικεῖν et εὖ ποιεῖν· ab his verbis pendent πολλοὺς, deinde οὐδένα. Hæc equidem non monuissem, nisi tacuisset in aperto vitio Weiske.

23. ἔφην ἐγὼ, ἔτι] Guelf. ἔφην ἔτι ἐγώ. quod omisit annotare Zeune. Hic ordo mihi præferendus esse videbatur. Deinde ἀπολογουμένων Paris. D.

πειρῶμαι] Quæ vulgo sequebantur ὅ τι ἂν ψεύδηται, non sunt in edd. vett. et desunt in libro Guelf. Lips. Paris. D. nec reddita sunt in versione Strebæi et Camerarii; quare recte omisit Weiske; secluserat etiam Zeune.

ὡς συμφέρει] Zeuniana cum reliquis edd. ὥστε dederat, Galiana ὧς, nostrum Weiskiana.

24. Ἐπιτιμῶμέν τινι] Deesse aliquid ab initio, certe particulas quasdam, egregie sensit et admonuit Weiske, qui locum, uti nunc vulgatus extat, interpretatur: *Porro cum una sumus apud imperatorem, accusamus aliquem* (*militem*), *aut.* Mihi deesse ab initio videntur verba Καὶ ἐν τῇ στρατιᾷ, vel similia. αἰτίαν ἔχοι Paris. A.C.D. Deinde βουλόμενοι Paris. D.

ἃ δ' ἂν μὴ βουλώμεθα] Guelf. cum marg. Villois. τὰ δ' ἂν μὴ βουλόμεθα. Edd. vett. pariter βουλόμεθα habent. τὰ τ' ἂν Lips. dat. τὰ δ' ἂν μὴ Paris. D.

25 μεθα. Ἤδη δ', ἔφη, ὦ Σώκρατες, καὶ διειλημμένος πολλά-
κις ἐκρίθην, ὅ τι χρὴ παθεῖν, ἢ ἀποτίσαι. Ὑπὸ τοῦ; ἔφην
ἐγώ, ὦ Ἰσχόμαχε· ἐμὲ γὰρ δὴ τοῦτο ἐλάνθανεν. Ὑπὸ τῆς
γυναικός, ἔφη. Καὶ πῶς δή, ἔφην ἐγώ, ἀγωνίζῃ; ὅταν μὲν
ἀληθῆ λέγειν συμφέρῃ, πάνυ ἐπιεικῶς· ὅταν δὲ ψευδῆ, τὸν ἥττω
λόγον, ὦ Σώκρατες, οὐ μὰ τὸν Δί' οὐ δύναμαι κρείττω ποιεῖν.
Καὶ ἐγὼ εἶπον· ἴσως γάρ, ὦ Ἰσχόμαχε, τὸ ψεῦδος οὐ δύνα-
σαι ἀληθὲς ποιεῖν.

CAP. XII.

1 ΑΛΛΑ γάρ, ἔφην ἐγώ, μή σε κατακωλύω, ὦ Ἰσχόμαχε,
ἀπιέναι ἤδη βουλόμενον. Μὰ Δί', ἔφη, ὦ Σώκρατες. Ἐπεὶ
2 οὐκ ἂν ἀπέλθοιμι, πρὶν παντάπασιν ἡ ἀγορὰ λυθῇ. Νὴ Δί',
ἔφην ἐγώ. Φυλάττῃ γὰρ ἰσχυρῶς, μὴ ἀποβάλῃς τὴν ἐπωνυ-
μίαν, τὸ ἀνὴρ καλὸς κἀγαθὸς κεκλῆσθαι. Νῦν γὰρ πολλῶν
σοι ἴσως ὄντων ἐπιμελείας δεομένων, ἐπεὶ συνέθου τοῖς ξένοις,
ἀναμένεις αὐτούς, ἵνα μὴ ψεύσῃ. Ἀλλά τοι, ἔφη ὁ Ἰσχό-
μαχος, ὦ Σώκρατες, οὐδ' ἐκεῖνά μοι ἀμελεῖται, ἃ σὺ λέγεις·
3 ἔχω γὰρ ἐπιτρόπους ἐν τοῖς ἀγροῖς. Πότερα δέ, ἐγὼ ἔφην, ὦ
Ἰσχόμαχε, ὅταν δεηθῇς ἐπιτρόπου, καταμαθών, ἤν που ᾖ ἐπι-
τροπευτικὸς ἀνήρ, τοῦτον πειρᾷ ὠνεῖσθαι (ὥσπερ ὅταν τέκτονος
δεηθῇς, καταμαθών, εὖ οἶδ' ὅτι, ἤν που ἴδῃς τεκτονικόν, τοῦτον
4 πειρᾷ κτᾶσθαι,) ἢ αὐτὸς παιδεύεις τοὺς ἐπιτρόπους; Αὐτὸς νὴ

25. διειλημμένος] *Duplici illa formula* reddit Weiske. Nam reus jubebatur utramvis in partem constituere, ex formula, quæ sequitur, vel ὅ τι χρὴ παθεῖν vel ὅ τι χρὴ ἀποτίσαι. Ita Weiske. Ceterum vulgatum διειλημμένως correxi; quod num recte fecerim, patebit ex disputatis ad Xenoph. Hellenica i. 7, 21. p. 58. seqq. διειλημένως Paris. C.D.

τὸν ἥττω λόγον] Socrates dicebatur docere τὸν ἥττω λόγον κρείττω ποιεῖν, id est interprete Gellio 5, 3. quanam verborum industria causa inferior fieret potior. τὸν ἧσσω Paris. A.C.D.

Cap. XII. 1. κατακωλύω] Paris. C. D. καταλύω dant. post Σώκρατες margo Villois. addit ὁ Ἰσχόμαχος.

Post πρὶν desidero ἄν. DIND.

ἡ ἀγορὰ] Lips. Codex articulum omisit cum Paris. A.C.D.

2. ἀποβάλῃς] Edd. vett. Guelf. Lips. Paris. A.C.D. ἀποβάλῃ dant.

ἐπεὶ] Guelf. ἐπὶ, deinde cum edd. vett. Paris. A.C.D. et Lips. ἀναμένειν, quod vitium correxit Brodæus.

ὁ Ἰσχόμαχος] Edd. vett. omittunt, Guelf. Paris. A.C.D. et Lips. sic collocant: ὦ Σώκρατες, ἔφη ὁ Ἰσχ. Deinde μοι post ἐκεῖνα omisit Guelf.

3. ἐγὼ ἔφην] Guelf. ἔφην ἐγώ, deinde cum edd. vett. καταμαθεῖν, quod vitium correxit Brodæus.

Δί', ἔφη, ὦ Σώκρατες, πειρῶμαι παιδεύειν. Καὶ γὰρ ὅστις
μέλλει ἀρκέσειν, ὅταν ἐγὼ ἀπῶ, ἀντ' ἐμοῦ ἐπιμελόμενος, τί
αὐτὸν καὶ δεῖ ἄλλο ἐπίστασθαι, ἢ ἅπερ ἐγώ; εἴπερ γὰρ ἱκα-
νός εἰμι τῶν ἔργων προστατεύειν, κἂν ἄλλον δήπου δυναίμην
διδάξαι, ἅπερ αὐτὸς ἐπίσταμαι. Οὐκοῦν εὔνοιαν πρῶτον, ἔφην 5
ἐγὼ, δεήσει αὐτὸν ἔχειν σοι καὶ τοῖς σοῖς, εἰ μέλλοι ἀρκέσειν
ἀντὶ σοῦ παρών. Ἄνευ γὰρ εὐνοίας τί ὄφελος καὶ ὁποιαστινο-
σοῦν ἐπιτρόπου ἐπιστήμης γίγνεται; Οὐδὲν μὰ Δί', ἔφη ὁ Ἰσχό-
μαχος, ἀλλά τοι τὸ εὐνοεῖν ἐμοὶ καὶ τοῖς ἐμοῖς ἐγὼ πρῶτον
πειρῶμαι παιδεύειν. Καὶ πῶς, ἐγὼ ἔφην, πρὸς τῶν θεῶν εὔ- 6
νοιαν ἔχειν σοὶ καὶ τοῖς σοῖς διδάσκεις, ὄντινα ἂν βούλῃ; Εὐερ-
γετῶν νὴ Δί', ἔφη ὁ Ἰσχόμαχος, ὅταν τινὸς ἀγαθοῦ οἱ θεοὶ
ἀφθονίαν διδῶσιν ἡμῖν. Τοῦτο οὖν λέγεις, ἔφην ἐγὼ, ὅτι οἱ 7
ἀπολαύοντες τῶν σῶν ἀγαθῶν εὖνοί σοι γίγνονται, καὶ ἀγαθόν
τι σὲ βούλονται πράττειν; Τοῦτο γὰρ ὄργανον, ὦ Σώκρατες,
εὐνοίας ἄριστον ὁρῶ ὄν. Ἢν δὲ δὴ εὔνους σοι γένηται, ἔφην, ὦ 8
Ἰσχόμαχε, ἦ τούτου ἕνεκα ἱκανὸς ἔσται ἐπιτροπεύειν; οὐχ ὁρᾷς,

4. Δί', ἔφη] Edd. vett. ἔφη omittunt, sed addit etiam margo Villois. Deinde ἐπιμελούμενος margo Villois. Paris. A.C.D. Lips. Guelf. postea καὶ ἄλλων Guelf. Columella xi. 1, 5. *Itaque in Œconomico Xenophontis, quem M. Cicero Latino sermoni tradidit, egregius ille Ischomachus Atheniensis rogatus a Socrate, utrumne, si res familiaris desiderasset, mercari villicum tanquam fabrum, an a se instituere consuerit: Ego vero, inquit, ipse instituo. Etenim qui me absente in meum locum substituitur, et vicarius meæ diligentiæ succedit, is ea, quæ ego, scire debet.* Aristoteles Œcon. i. 5. ἐπεὶ δὲ ὁρῶμεν, ὅτι αἱ παιδεῖαι ποιούς τινας ποιοῦσι τοὺς νέους, ἀναγκαῖον καὶ παρασκευασάμενον τρέφειν, οἷς τὰ ἐλευθέρια τῶν ἔργων προστακτέον.

ἀρκέσειν] Similis est locus Euripidis Helenæ 1290. οὐκοῦν σὺ χωρὶς τῆσδε δρῶν ἀρκεῖς τάδε;

5. δεήσει] Edd. vett. Guelf. Lips. Paris. A. sed hic a prima manu, δεήσειν, quod correxit Castalio. δεήσειεν malebat Camerarius.

μέλλοι] Guelf. Lips. Paris. C. μέλλει, quod præfero.

γίγνεται] Lips. γίγνηται ex correctione habet. Ex h. l. colorem orationis in eodem argumento duxit Columella xi. 1, 7.

6. διδάσκεις, ὄντινα] Juntina διδάσκειν, Guelf. ὅτινα a prima manu scriptum habet, deinde βούλει.

Δί', ἔφη ὁ] Paris. C. ἔφην Ἰσχόμαχος omisso articulo.

7. βούλονται] Paris. A. a prima manu βούλωνται habet. Deinde τοῦτό γε ὄργανον Paris. D.

8. εὔνους σοι] In Guelf. fuerat a prima manu ευνοι σοι, sed corrector
υ
inde fecit ευνοσσοι. Male nunciat de Codice Zeune. In Paris. A. est ευνου a prima manu.

ὅτι καὶ ἑαυτοῖς εὖνοι πάντες ὄντες, ὡς εἰπεῖν, ἄνθρωποι, πολλοὶ
αὐτῶν εἰσὶν, οἳ οὐκ ἐθέλουσιν ἐπιμελεῖσθαι, ὅπως αὐτοῖς ἔσται
9 ταῦτα, ἃ βούλονται εἶναι σφίσι, τὰ ἀγαθά; Ἀλλὰ ναὶ μὰ
Δί', ἔφη ὁ Ἰσχόμαχος, ἐγὼ τοιούτους ὅταν ἐπιτρόπους βούλω-
10 μαι καθιστάναι, καὶ ἐπιμελεῖσθαι διδάσκω. Πῶς, ἔφην ἐγὼ,
πρὸς τῶν θεῶν; τοῦτο γὰρ δὴ ἐγὼ παντάπασιν οὐ διδακτὸν
ᾤμην εἶναι, τὸ ἐπιμελῆ ποιῆσαι. Οὐδὲ γάρ ἐστιν, ἔφη, ὦ Σώ-
κρατες, ἐφεξῆς γε οὕτως οἷόν τε πάντας διδάξαι, ἐπιμελεῖς
11 εἶναι. Ποίους μὲν δὴ, ἐγὼ ἔφην, οἷόν τε; πάντως μοι σαφῶς
τούτους διασήμηνον. Πρῶτον μὲν, ἔφη, ὦ Σώκρατες, τοὺς οἴνου
ἀκρατεῖς οὐκ ἂν δύναιο ἐπιμελεῖς ποιῆσαι. Τὸ γὰρ μεθύειν
12 λήθην ἐμποιεῖ πάντων τῶν πράττειν δεομένων. Οἱ οὖν τούτου
ἀκρατεῖς μόνοι, ἐγὼ ἔφην, ἀδύνατοί εἰσιν ἐπιμελεῖς ἔσεσθαι, ἢ
καὶ ἄλλοι τινές; Ναὶ μὰ Δί', ἔφη ὁ Ἰσχόμαχος, καὶ οἵγε
τοῦ ὕπνου· οὔτε γὰρ ἂν αὐτὸς δύναιτο καθεύδων τὰ δέοντα ποι-
13 εῖν, οὔτε ἄλλους παρέχεσθαι. Τί οὖν, ἐγὼ ἔφην, οὗτοι αὖ μό-
νοι ἀδύνατοι ἡμῖν ἔσονται ταύτην τὴν ἐπιμέλειαν διδαχθῆναι, ἢ
καὶ ἄλλοι τινὲς πρὸς τούτοις; Ἔμοιγέ τοι δοκοῦσιν, ἔφη ὁ Ἰσχό-
μαχος, καὶ οἱ τῶν ἀφροδισίων δυσέρωτες, ἀδύνατοι εἶναι δι-

πάντες ὄντες] Juntina omisit participium. ἔτι pro ὅτι Paris. C. Deinde τὶ ἀγαθὰ edd. vett. excepta Castal. et Guelf. εἰ σφισι τι ἀγαθὰ, Paris. C. Sed D. omisso ἔσται dat τι ἀγαθὰ, A. ἔσται—τι ἀγαθα. In ipsa oratione duriusculum est membrum illud πολλοὶ αὐτῶν εἰσιν οἳ post πάντες ὄντες quasi absolute positum. Vide ad cap. 17, 2.

9. ἐγὼ τοιούτους] Edd. vett. et Guelf. cum Paris. A.C.D. omittunt ἐγώ; Paris. C. etiam ἐπιτρόπους. Deinde βούλομαι vulgatum ut tolleret Zeunius, non opus erat auctoritate Guelf.

10. ἐπιμελῆ] Intellige τινά. Juntina ἐπιμελεῖ Castal. et Halensis in ἐπιμελεῖς mutavit, quod est in margine Steph.

ἐστὶν, ἔφη] Guelf. cum Paris. A. ἔφην. Deinde διδάξας edd. vett. præter Castal. Verum est etiam in marg. Villois.

ἐπιμελεῖς] Guelf. Paris. A. et D. ἐπιμελεῖσθαι. Pro δεομένων Paris. C. dat δυναμένων. Cicero Columellæ: *Somni et vini sit abstinentissimus villicus, quæ utraque sunt inimicissima diligentiæ: nam et ebrioso cura officii pariter cum memoria subtrahitur, et somniculosum plurima effugiunt: quid enim possit aut ipse agere aut cuiquam dormiens imperare?*

12. παρέχεσθαι] Intellige ποιοῦντας, ut cap. 14.

13. μόνοι] Hoc ex Castal. Steph. secunda et Strebæi versione recepit in locum vulgati μόνον Zeune, quod etiam est in Paris. A.C.D.

δυσέρωτες] Cicero Columellæ: *Tum etiam sit a venereis amoribus aversus, quibus si se dediderit, non aliud quidquam possit cogitare, quam illud quod diligit. Nam vitiis ejus-*

διδαχθῆναι ἄλλου τινὸς μᾶλλον ἐπιμελεῖσθαι, ἢ τούτου. Οὔτε 14
γὰρ ἐλπίδα, οὔτ' ἐπιμέλειαν ἡδίονα ῥᾴδιον εὑρεῖν τῆς τῶν παι-
δικῶν ἐπιμελείας· οὐδὲ μὴν, ὅταν παρείη τὸ πρακτέον, τιμω-
ρίαν χαλεπωτέραν εὐπετές ἐστι τοῦ ἀπὸ τῶν ἐρωμένων κωλύ-
εσθαι. Ὑφίεμαι οὖν, καὶ οὓς ἂν τοιούτους γνῶ ὄντας, μηδ'
ἐπιχειρεῖν ἐπιμελητὰς τούτων τινὰς καθιστάναι. Τί δὲ, ἔφην 15
ἐγὼ, οἵτινες αὖ ἐρωτικῶς ἔχουσι τοῦ κερδαίνειν, ἦ καὶ οὗτοι
ἀδύνατοί εἰσιν εἰς ἐπιμέλειαν τῶν κατ' ἀγρὸν ἔργων παιδεύ-
εσθαι; οὐ μὰ Δί', ἔφη ὁ Ἰσχόμαχος, οὐδαμῶς γε, ἀλλὰ καὶ
πάνυ εὐάγωγοί εἰσιν εἰς τὴν τούτων ἐπιμέλειαν. Οὐδὲν γὰρ ἄλλο
δεῖ, ἢ δεῖξαι μόνον αὐτοῖς, ὅτι κερδαλέον ἐστὶν ἡ ἐπιμέλεια. Τοὺς 16
δὲ ἄλλους, ἔφην ἐγὼ, εἰ ἐγκρατεῖς τε εἰσὶν, ὧν σὺ κελεύεις, καὶ
πρὸς τὸ φιλοκερδεῖς εἶναι μετρίως ἔχουσιν, ὅπως ἐκδιδάσκεις,
ὧν σὺ βούλει, ἐπιμελεῖς γίγνεσθαι; ἁπλῶς, ἔφη, πάνυ, ὦ Σώ-
κρατες. Ὅταν μὲν γὰρ ἐπιμελομένους ἴδω, καὶ ἐπαινῶ καὶ
τιμᾶν πειρῶμαι αὐτούς· ὅταν δὲ ἀμελοῦντας, λέγειν τε πει-
ρῶμαι καὶ ποιεῖν, ὁποῖα δήξεται αὐτούς. Ἴθι, ἐγὼ ἔφην, ὦ 17
Ἰσχόμαχε, καὶ τόδε μοι, παρατραπόμενος τοῦ λόγου περὶ τῶν
παιδευομένων εἰς τὴν ἐπιμέλειαν, δήλωσον [περὶ τοῦ παιδεύ-

modi pellectus animus nec præmium jucundius quam fructum libidinis, nec supplicium gravius quam frustrationem cupiditatis existimat.

14. εὐπετές ἐστι] Intellige ex priore membro εὑρεῖν, quod in ipso textu poni maluit Leonclavius.

Ὑφίεμαι οὖν —— μηδ' ἐπιχειρεῖν] Weiske ad alterum membrum intelligit ὥστε, et negationem verbo ὑφίεμαι inesse censet. Mihi locus vitiosus esse et ἐπιχειρῶ scribendum videbatur. Sic est in Cyrop. viii. 8, 26. ἐπεὶ μέντοι καὶ αὐτοὶ γιγνώσκουσιν, οἷα σφίσι τὰ πολεμιστήρια ὑπάρχει, ὑφίενται, καὶ οὐδεὶς ἔτι ἄνευ τῶν Ἑλλήνων εἰς πόλεμον καθίσταται. Similis videri potest nostro locus in Hellenicis vii. 4, 9. ὑφήσεσθαι δὲ οὐδέποτε, ἣν παρὰ τῶν πατέρων παρέλαβον Μεσσήνην, ταύτης στερηθῆναι. Sed significatio est multum diversa. Paulo similior est Anab. iii. 2, 3. δεῖ μὴ ὑφίεσθαι, ἀλλὰ πειρᾶσθαι. sed ibidem v. 5, 5. est ὁρᾶτε—ὑφιέντας τὴν χώραν ἤδη ἡμετέραν εἶναι. sed malim ὑφίενται scriptum, i. e. victos se agnoscunt, et de possessione terræ nobis ipsi concedunt. Cum infinitivo est etiam Memor. iv. 8, 6. οὐδενὶ ἀνθρώπων ὑφείμην ἂν οὔτε βέλτιον οὔθ' ἥδιον ἐμοῦ βεβιωκέναι.

16. πρὸς τὸ φιλ.] Ex Guelf. dedit Zeune, quod Stephanus vulgato τῷ substitutum voluit. Miror locum plane geminum non comparatum supra 1, 21. ἀλλὰ καὶ πάνυ σφοδρῶς πρὸς τὸ ἐργάζεσθαι ἔχουσι. ubi vide annotata.

ὅπως] Weiske πῶς scribendum censuit. Deinde ἐκδιδάσκῃς Guelf.

ὧν σὺ βούλει] Brodæi conjecturam a Camerario et Stephano probatam pro ὡς reposuit Zeune.

ἐπιμελομένους] Guelf. cum Paris. A.C.D. ἐπιμελουμένους.

17. περὶ τοῦ παιδεύεσθαι] Hæc verba plane inutilia sunt, forte ex va-

εσθαι], εἰ οἷόν τε ἐστὶν, ἀμελῆ αὐτὸν ὄντα ἄλλους ποιεῖν ἐπι-
18 μελεῖς; Οὐ μὰ Δί', ἔφη ὁ Ἰσχόμαχος, οὐδέν γε μᾶλλον, ἢ
ἄμουσον ὄντα αὐτὸν ἄλλους μουσικοὺς ποιεῖν. Χαλεπὸν γὰρ,
τοῦ διδασκάλου πονηρῶς τι ὑποδεικνύοντος, καλῶς τοῦτο ποιεῖν
μαθεῖν, καὶ ἀμελεῖν γε ὑποδεικνύοντος τοῦ δεσπότου, χαλεπὸν,
19 ἐπιμελῆ θεράποντα γενέσθαι. Ὡς δὲ συντόμως εἰπεῖν, πονη-
ροῦ μὲν δεσπότου οἰκέτας οὐ δοκῶ χρηστοὺς καταμεμαθηκέναι·
χρηστοῦ μέντοι πονηροὺς ἤδη εἶδον, οὐ μέν τοι ἀζημίους γε.
Τὸν δὲ ἐπιμελητικοὺς βουλόμενον ποιήσασθαί τινας καὶ ἐφορα-
τικὸν δεῖ εἶναι τῶν ἔργων καὶ ἐξεταστικὸν, καὶ χάριν θέλοντα
τῶν καλῶς τελουμένων ἀποδιδόναι τῷ αἰτίῳ, καὶ δίκην μὴ
20 ὀκνοῦντα τὴν ἀξίαν ἐπιθεῖναι τῷ ἀμελοῦντι. Καλῶς δέ μοι δοκεῖ
ἔχειν, ἔφη ὁ Ἰσχόμαχος, καὶ ἡ τοῦ βαρβάρου λεγομένη ἀπό-
κρισις, ὅτε βασιλεὺς ἄρα ἵππου ἐπιτυχὼν ἀγαθοῦ, παχύναι
αὐτὸν ὡς τάχιστα βουλόμενος, ἤρετο τῶν δεινῶν τινα ἀμφ' ἵπ-
πους δοκούντων εἶναι, τί τάχιστα παχύνει ἵππον· τὸν δ' εἰπεῖν
λέγεται, ὅτι δεσπότου ὀφθαλμός. Οὕτω δ', ἔφη, ὦ Σώκρα-
τες, καὶ τἄλλα μοι δοκεῖ δεσπότου ὀφθαλμὸς τὰ καλά τε κά-
γαθὰ μάλιστα ἐργάζεσθαι.

CAP. XIII.

1 ὍΤΑΝ δὲ παραστήσῃς τινὶ, ἔφην ἐγὼ, τοῦτο καὶ πάνυ

rietate illorum, quæ præcedunt, περὶ τῶν παιδευομένων, orta. Igitur seclusi.

18. οὐδέν γε] Recte Guelf. γε omittere videtur.

ἀμελεῖν γε] Aristoteles Œcon. i. 6. οὐ γὰρ οἷόντε μὴ καλῶς ὑποδεικνῦντος, καλῶς μιμεῖσθαι, οὔτ' ἐν τοῖς ἄλλοις οὔτ' ἐν ἐπιτροπείᾳ· ὡς ἀδύνατον μὴ ἐπιμελῶν δεσποτῶν ἐπιμελεῖς εἶναι τοὺς ἐφεστῶτας. ubi vulgatum ἐπιμελείᾳ δεσποτῶν ex Codice Lips. correxi; ὄντων additum malebat Camerarius.

19. θέλοντα—ὀκνοῦντα] Juntina θέλοντι—ὀκνοῦντι.

καλῶς τελουμένων] Usitatius quidem est ἀποτελουμένων, sed altero interdum utitur etiam Xenophon.

20. τοῦ βαρβάρου] Aristoteles Œcon. i. 6. καὶ τὸ τοῦ Πέρσου καὶ τὸ τοῦ Λίβυος ἀπόφθεγμα εὖ ἔχει· (sic Codex Lips. pro εὖ ἂν ἔχοι) ὁ μὲν γὰρ ἐρωτηθεὶς, τί μάλιστα ἵππον πιαίνει, ὁ τοῦ δεσπότου ὀφθαλμὸς, ἔφη. Paulo antea Codex Paris. A. ἔχειν omisit. Idem λεγομένου dat.

ἵππου—ἀγαθοῦ] Ex Juntina vulgatum ἵππῳ—ἀγαθῷ correxit Zeune. in Guelf. est a prima manu ἵππου—ἀγαθῶ, sed correctum ἀγαθοῦ. In Paris. C.D. est ἵππῳ ἀγαθῷ et præterea ὁ βασιλεύς. Sequens λέγεται omittunt Paris. A.C.D.

Οὕτω δ'] Guelf. οὕτως δ' dat. Deinde τὰ καλὰ κ' ἀγαθὰ Paris. C.D.

Cap. XIII. 1. Ὅταν δὲ] Ex Castal. δὲ addidit Zeune. παραστήσας Paris. D.

ἰσχυρῶς, ὅτι δεῖ ἐπιμελεῖσθαι, ὧν ἂν σὺ βούλῃ, ἢ ἱκανὸς ἤδη ἔσται ὁ τοιοῦτος ἐπιτροπεύειν, ἤ τι καὶ ἄλλο προσμαθητέον αὐτῷ ἔσται, εἰ μέλλει ἐπίτροπος ἱκανὸς ἔσεσθαι; Ναὶ μὰ Δί',
ἔφη ὁ Ἰσχόμαχος. Ἔτι μέντοι λοιπὸν αὐτῷ ἐστι γνῶναι, ὅ 2
τι τε ποιητέον, καὶ ὁπότε, καὶ ὅπως· εἰ δὲ μή, τί μᾶλλον ἐπιτρόπου ἄνευ τούτων ὄφελος, ἢ ἰατροῦ, ὃς ἐπιμελοῖτο μὲν κάμνοντός τινος πρωΐ τε ἰὼν καὶ ὀψέ, ὅ τι δὲ συμφέρον τῷ κά-
μνοντι ποιεῖν εἴη, τοῦτο μὴ εἰδείη; Ἐὰν δὲ δὴ καὶ τὰ ἔργα 3
μάθῃ ὡς ἔστιν ἐργαστέα, ἔτι τινός, ἔφην ἐγώ, προσδεήσεται, ἢ ἀποτετελεσμένος ἤδη οὗτός σοι ἔσται ἐπίτροπος; Ἄρχειν γε,
ἔφη, οἶμαι δεῖν αὐτὸν μαθεῖν τῶν ἐργαζομένων. Ἦ οὖν, ἔφην 4
ἐγώ, καὶ σὺ ἄρχειν ἱκανοὺς εἶναι παιδεύεις τοὺς ἐπιτρόπους; Πειρῶμαί γε δή, ἔφη ὁ Ἰσχόμαχος. Καὶ πῶς δή, ἔφην ἐγώ, πρὸς τῶν θεῶν, τὸ ἀρχικοὺς εἶναι ἀνθρώπων παιδεύεις; Φαύλως, ἔφη, πάνυ, ὦ Σώκρατες· ὥστε ἴσως ἂν καὶ καταγελάσαις
ἀκούων. Οὐ μὲν δὴ ἄξιόν γ', ἔφην ἐγώ, τὸ πρᾶγμα κατα- 5
γέλωτος, ὦ Ἰσχόμαχε. Ὅστις γάρ τοι ἀρχικοὺς ἀνθρώπων δύναται ποιεῖν, δῆλον ὅτι οὗτος καὶ δεσποτικοὺς ἀνθρώπων δύ-

εἰ μέλλει] Paris. C. μέλλοι dat.

3. Ἐὰν δὲ δὴ] Juntina, Guelf. Paris. A.C.D. Steph. prima ἐὰν δὲ μὴ dant. vitiosum μὴ Castalio mutavit in μὴν, quod est in margine Paris. A. Aldina, Steph. secunda, Bachiana prorsus delent μὴ; Zeune correctionem Camerarii a Strebæo etiam expressam recepit.

ἔτι τινὸς] Ex Juntina ἔτι τίνος dedit Zeune, Castalio ἢ ἔτι τινὸς scripsit. In Guelf. ἔστι τίνος est a prima manu, deinde in ἔτι mutatum.

ἔφη, οἶμαι] Sic ex Guelf. et Welsiana vulgatum ἔφην correxit Zeune.

4. Πειρῶμαί γε δὴ] Guelf. δὲ dat, minus aptum.

Φαύλως, ἔφη] Edd. vett. ἔφη omittunt. addit etiam margo Villois.

καταγελάσαις] Guelf. καταγελάσας habet. Voluitne κατεγέλασας dare? ut est in Symposio i. 8. εὐθὺς οὖν ἐννοήσας τις τὰ γιγνόμενα ἡγήσατ' ἂν φύσει βασιλικὸν τὸ κάλλος εἶναι. cf. Agesilai i. 26.

5. Οὐ μὲν δὴ ἄξιόν γ'] Dubito an bene habeat δὴ, cujus in locum τοι substituendum suspicor. Jungitur quidem δὴ cum γε alicubi, ut a Platone in Gorgia §. 57. δῆλον δὴ τοῦτό γε, ὦ Σώκρατες, Κινησίου γε πέρι. Junctum γε δὴ et δήπου γε illustravit Hoogeveen de Partic. p. 155. et 210. ed. Schützii; οὐ μὲν δὴ junguntur apud Xenophontem Cyrop. i. 6, 9. ii. 2, 22. v. 5, 18. Primo loco est οἶσθα, ὁπόσα αὐτῷ ἐστι; Μὰ τὸν Δία, οὐ μὲν δή. et sic est in reliquis locis. At in libri vi. cap. 3. sect 10. est: ἢ καὶ ἔχαιρον ἀκούοντες ἰόντας; οὐ μὰ Δία, οὐ μὲν δὴ καὶ ἔχαιρον, ἀλλὰ καὶ μάλα ἠνιῶντο. ubi edd. veteres habent οὐ μὲν δή γε ἔχαιρον, quod cum Stephano revocavit Weiske, equidem Zeunium secutus καὶ in locum particulæ γε ex Codice Guelf. substitui.

ναται διδάσκειν· ὅστις δὲ δεσποτικοὺς, δύναται ποιεῖν καὶ βα-
σιλικούς. Ὥστε οὐ καταγέλωτός μοι δοκεῖ ἄξιος εἶναι, ἀλλ'
6 ἐπαίνου μεγάλου, ὁ τοῦτο δυνάμενος ποιεῖν. Οὐκοῦν, ἔφη, ὦ
Σώκρατες, τὰ μὲν ἄλλα ζῶα ἐκ δυοῖν τούτοιν τὸ πείθεσθαι
μανθάνουσιν, ἔκ τε τοῦ, ὅταν ἀπειθεῖν ἐπιχειρῶσι, κολάζεσθαι,
7 καὶ ἐκ τοῦ, ὅταν προθύμως ὑπηρετῶσιν, εὖ πάσχειν. Οἵτε γοῦν
πῶλοι καταμανθάνουσιν ὑπακούειν τοῖς πωλοδάμναις, τῷ, ὅταν
μὲν πείθωνται, τῶν ἡδέων τι αὐτοῖς γίγνεσθαι, ὅταν δὲ ἀπειθῶ-
σιν, πράγματα ἔχειν, ἔστ' ἂν ὑπηρετήσωσι κατὰ γνώμην τῷ
8 πωλοδάμνῃ. Καὶ τὰ κυνίδια δὲ, πολὺ τῶν ἀνθρώπων καὶ τῇ
γνώμῃ καὶ τῇ γλώσσῃ ὑποδεέστερα ὄντα, ὅμως καὶ περιτρέχειν,
καὶ κυβιστᾷν, καὶ ἄλλα πολλὰ μανθάνει τῷ αὐτῷ τούτῳ τρό-
πῳ. Ὅταν μὲν γὰρ πείθηται, λαμβάνει τι, ὧν δεῖται· ὅταν
9 δὲ ἀμελῇ, κολάζεται. Ἀνθρώπους δ' ἐστὶ πιθανωτέρους ποιεῖν
καὶ λόγῳ, ἐπιδεικνύοντα, ὡς συμφέρει αὐτοῖς πείθεσθαι· τοῖς
δὲ δούλοις καὶ ἡ δοκοῦσα θηριώδης παιδεία εἶναι πάνυ ἐστὶν
ἐπαγωγὸς πρὸς τὸ πείθεσθαι διδάσκειν· τῇ γὰρ γαστρὶ αὐτῶν
ἐπὶ ταῖς ἐπιθυμίαις προσχαριζόμενος ἂν, πολλὰ ἀνύτοις παρ'
αὐτῶν. Αἱ δὲ φιλότιμοι τῶν φύσεων καὶ τῷ ἐπαίνῳ παροξύ-
νονται. Πεινῶσι γὰρ τοῦ ἐπαίνου οὐχ ἧττον ἔνιαι τῶν φύσεων,
10 ἢ ἄλλαι τῶν σίτων τε καὶ ποτῶν. Ταῦτά τε οὖν, ὅσα περ αὐ-
τὸς ποιῶν οἶμαι πιθανωτέροις ἀνθρώποις χρῆσθαι, διδάσκων, οὓς
ἂν ἐπιτρόπους βούλωμαι καταστῆσαι, καὶ τάδε συλλαμβάνω

βασιλικοὺς] Guelf. βασιλεικούς.

7. Οἵτε γοῦν—καταμανθάνουσι] Simplex μανθάνουσι dant Paris. A.C.D. οὖν C.D.

τῷ, ὅταν] Juntina τὸ, quod vitium correxit Castalio.

8. περιτρέχειν] In gyrum currere videtur esse. Deinde μανθάνειν edd. vett. et Guelf. De vitio Brodæus admonuit, et Castalio id sustulit.

9. δ' ἐστὶ πιθανωτέρους] Guelf. δὲ ἐστὶ πυθανωτέρους —— ἐπιδεικνύοντας, quam postremam scripturam propter εὐφωνίαν præfero.

τῇ γὰρ] Paris. C. omittit γάρ.

ἐπὶ ταῖς ἐπιθυμίαις] Hæc verba per se otiosa propter concinnitatem orationis addita videntur esse a Xenophonte.

Πεινῶσι γὰρ] Nescio unde in Weiskianam editionem μὲν irrepserit. Juntina πειρῶσι habet.

10. διδάσκων] Aut διδάσκω scribendum, aut præcedentia Ταῦτά τε mutanda esse recte monuit Weiske.

βούλωμαι] Guelf. βούλομαι pejus dat cum Paris. A.D.

καὶ τάδε συλλαμβάνω αὐτοῖς] *insuper hoc quoque adjumenti ipsis a me affero* vertit Camerarius. Recte. Tradit enim dominus vestimentorum genera varia, quibus servos pro dignitate et merito quemque vel honoret villicus vel castiget.

αὐτοῖς· ἱμάτιά τε γὰρ, ὅσα δεῖ παρέχειν ἐμὲ τοῖς ἐργαστῆρσι,
καὶ ὑποδήματα, οὐχ ὅμοια πάντα ποιῶ, ἀλλὰ τὰ μὲν χείρω,
τὰ δὲ βελτίω, ἵνα ᾖ τὸν κρείττω τοῖς βελτίοσι τιμᾶν, τῷ δὲ
χείρονι τὰ ἥττω διδόναι. Πάνυ γάρ μοι, ἔφη, δοκεῖ, ὦ Σώ- 11
κρατες, ἀθυμία ἐγγίγνεσθαι τοῖς ἀγαθοῖς, ὅταν ὁρῶσι τὰ μὲν
ἔργα δι' αὐτῶν καταπραττόμενα, τῶν δὲ ὁμοίων τυγχάνοντας
ἑαυτοῖς τοὺς μήτε πονεῖν μήτε κινδυνεύειν ἐθέλοντας, ὅταν δέῃ.
Αὐτός τε οὖν οὐδ' ὁπωστιοῦν τῶν ἴσων ἀξιῶ τοὺς ἀμείνους τοῖς 12
κακίοσι τυγχάνειν, τούς τε ἐπιτρόπους, ὅταν μὲν εἰδῶ διαδε-
δωκότας τοῖς πλείστου ἀξίοις τὰ κράτιστα, ἐπαινῶ· ἢν δὲ ἴδω
ἢ κολακεύμασι τινὰ προτιμώμενον, ἢ καὶ ἄλλῃ τινὶ ἀνωφελεῖ
χάριτι, οὐκ ἀμελῶ, ἀλλ' ἐπιπλήττω, καὶ πειρῶμαι διδάσκειν,
ὦ Σώκρατες, ὅτι οὐδ' αὐτῷ σύμφορα ταῦτα ποιεῖ.

CAP. XIV.

ʽΟΤΑΝ δὲ, ὦ ʼΙσχόμαχε, ἔφην ἐγὼ, καὶ ἄρχειν ἤδη ἱκανός 1
σοι γένηται, ὥστε πειθομένους παρέχεσθαι, ἦ ἀποτετελεσμένον
ἤδη τοῦτον ἡγῇ ἐπίτροπον, ἢ ἔτι τινὸς προσδεῖται ὁ ταῦτα ἔχων,
ἃ σὺ εἴρηκας; Ναὶ μὰ Δί', ἔφη ὁ ʼΙσχόμαχος, τοῦ τε ἀπέ- 2
χεσθαι τῶν δεσποσύνων, καὶ μὴ κλέπτειν. Εἰ γὰρ ὁ τοὺς καρ-
ποὺς μεταχειριζόμενος τολμῴη ἀφανίζειν, ὥστε μὴ λείπειν λυ-
σιτελοῦντας τοῖς ἔργοις, τί ἂν ὄφελος εἴη τὸ διὰ τῆς τούτου

ὅσα δεῖ] Guelf. Paris. A.C.D. ἃ δεῖ dant. Deinde ἐργαστῆσι Paris. C.

11. ἔφη, δοκεῖ] Guelf. Paris. A.C. D. δοκεῖ, ἔφη, deinde τυγχάνοντα Juntina, Paris. A.C.D. Aristoteles Œcon. i. 5. ὁμιλία δὲ πρὸς δούλους, ὡς μήτε ὑβρίζειν ἐᾶν μήτε ἀνιέναι· καὶ τοῖς μὲν ἐλευθεριωτέροις τιμῆς μεταδιδόναι, τοῖς ἐργάταις τροφῆς πλῆθος.—διόπερ δεῖ ποιεῖσθαι σκέψιν, καὶ διανέμειν τε καὶ ἀνιέναι κατ' ἀξίαν ἕκαστα, καὶ τροφὴν καὶ ἐσθῆτα καὶ ἀργίαν καὶ κολάσεις, λόγῳ καὶ ἔργῳ μιμουμένους τὴν τῶν ἰατρῶν δύναμιν ἐν φαρμάκου λόγῳ.

12. ἀνωφελεῖ] Paris. D. omittit.

τούς τε ἐπιτρόπους ὅταν μὲν εἰδῶ διαδεδωκότας τοῖς πλείστου ἀξίοις τὰ κράτιστα ἐπαινῶ.] Corrigendum est ἴδω, quemadmodum sequitur ἢν δὲ ἴδω—κολακεύμασί τινα προτιμώμενον, ἐπιπλήττω. DIND.

Cap. XIV. 1. ἤδη τοῦτον] Edd. vett. Paris. A.C.D. et Guelf. ἤδη omittunt. Equidem prius ἤδη abesse malim.

2. τολμῴη] Guelf. a prima manu τολμῶν scriptum habet. Paulo antea Codd. Brodæi δεσποσίων dant. Intellige χρημάτων, ut est cap. 9, 16.

λυσιτελοῦντας τοῖς ἔργοις] Zeunianus Index interpretatur, *lucrum afferentes ex operibus rusticis.* Quin potius: *ut ratio et fructus operum et impensarum constet.* Infra cap. 20, 21. τὰ ἔργα μὴ τελεῖσθαι λυσιτελούντως πρὸς τὴν δαπάνην.

ὄφελος—τὸ] Quidni τοῦ scripserit Xen. ut tot aliis in locis?

3 ἐπιμελείας γεωργεῖν; Ἦ καὶ ταύτην οὖν, ἔφην ἐγώ, τὴν δικαι-
οσύνην σὺ ὑποδύῃ διδάσκειν; Καὶ πάνυ, ἔφη ὁ Ἰσχόμαχος· οὐ
μέντοι γε πάντας ἐξ ἑτοίμου εὑρίσκω ὑπακούοντας τῆς διδα-
4 σκαλίας ταύτης. Καί τοι τὰ μέν, καὶ ἐκ τῶν Δράκοντος νό-
μων, τὰ δὲ καὶ ἐκ τῶν Σόλωνος πειρῶμαι, ἔφη, λαμβάνων,
ἐμβιβάζειν εἰς τὴν δικαιοσύνην τοὺς οἰκέτας. Δοκοῦσι γάρ
μοι, ἔφη, καὶ οὗτοι οἱ ἄνδρες θεῖναι πολλοὺς τῶν νόμων ἐπὶ δι-
5 καιοσύνῃ [τῆς τοιαύτης διδασκαλίας.] Γέγραπται γὰρ ζη-
μιοῦσθαι ἐπὶ τοῖς κλέμμασι, καὶ δεδέσθαι, ἤν τις ἁλῷ ποιῶν,
καὶ θανατοῦσθαι τοὺς ἐγχειροῦντας. Δῆλον οὖν, ἔφη, ὅτι ἔγρα-
φον αὐτά, βουλόμενοι ἀλυσιτελῆ ποιῆσαι τοῖς ἀδίκοις τὴν αἰ-
6 σχροκέρδειαν. Ἐγὼ οὖν, ἔφη, καὶ τούτων προφέρων ἔνια, καὶ
ἄλλα τῶν βασιλικῶν νόμων προσφερόμενος, πειρῶμαι δικαί-
7 ους περὶ τὰ διαχειριζόμενα ἀπεργάζεσθαι τοὺς οἰκέτας. Ἐκεῖ-

3. ὑποδύῃ] Budæus in Comment. Gr. L. p. 197. laudat ex h. l. ἀποδύῃ, Camerarius in annotatione posuit ὑποδύει, quod, ut magis Atticum, recepit Zeune. Pro οὖν est ὡς in Paris. C.D.

ἐξ ἑτοίμου] In Guelf. a prima manu εὐτοίμου scriptum est; idem liber τῶν ante Δράκοντος omittit. Draconis leges Attici scriptores θεσμοὺς dicere solent.

4. ἐμβιβάζειν] Facto et exemplo impellere et ducere. Simile est προσβιβάζειν τῷ λόγῳ, de quo dictum ad Memor. i. 2, 17. Paris. C.D. ἐμβιβάζων dant.

[τῆς τοιαύτης διδασκαλίας] Sive ordinem verborum cum Bachio invertas seu cum Zeunio τῇ δικαιοσύνης διδασκαλίᾳ scribas, neutro modo procedit sententia. Verba sunt ex superiore paragrapho male repetita a librario; igitur seclusi.

5. δεδέσθαι] Guelf. δεδιέσθαι. Sequens αἰσχροκέρδειαν ex margine Steph. et Paris. A.C.D. cum Zeunio adscivi, tanquam formam solennem, vulgatum αἰσχροκερδίαν revocavit Weiske.

ἤν τις ἁλῷ] Verba hæc ex legibus naturæ ratiocinatus ita ordinanda esse recte censet Weiske: δεδέσθαι τοὺς ἐγχειροῦντας, καὶ θανατοῦσθαι, ἤν τις ἁλῷ ποιῶν. Locus Pollucis 8, 9. non valde juvat hanc correctionem.

6. προφέρων] Nec hoc verbum probo, nec sequens προσφερόμενος, quod ex Guelf. suadente Ernestio prætulit vulgato προφ. Zeune et Weiske. Utrobique enim eadem est sententia, quæ verbum idem, vel ejusdem significationis postulat. Media etiam verbi προσφερόμενος forma insolens mihi videtur h. l. Prius verbum Ernesti *proponere*, alterum *adhibere* interpretatur.

βασιλικῶν νόμων] Valesius ad Harpocr. p. 240. interpretatur *sacras Eumolpidarum leges*, de quibus Lysias p. 108. ed. Taylori, quoniam βασιλεὺς Mysteriis præesset. Rectius Zeune et Bach. *instituta regum Persarum* interpretantur, de quibus comparant Cyropædiæ i. 2, 3. i. 6, 20. vii. 5, 35. viii. 1, 26. et supra iv. 8. seqq.

διαχειριζόμενα] Guelf. simplex χειριζόμενα scriptum habet.

νοι μὲν γὰρ οἱ νόμοι ζημίαι μόνον εἰσὶ τοῖς ἁμαρτάνουσιν, οἱ δὲ
βασιλικοὶ νόμοι οὐ μόνον ζημιοῦσι τοὺς ἀδικοῦντας, ἀλλὰ καὶ
ὠφελοῦσι τοὺς δικαίους. Ὥστε ὁρῶντες πλουσιωτέρους γιγνο-
μένους τοὺς δικαίους τῶν ἀδίκων, πολλοὶ, καὶ φιλοκερδεῖς ὄν-
τες, εὖ μάλα ἐπιμένουσι τῷ μὴ ἀδικεῖν. Οὓς δ' ἂν αἰσθάνω- 8
μαι, ἔφη, ὅμως, καὶ εὖ πάσχοντας, ἔτι ἀδικεῖν πειρωμένους,
τούτους, ὡς ἀνηκέστους πλεονέκτας ὄντας, ἤδη καὶ τῆς χειρί-
σεως ἀποπαύω. Οὓς δ' ἂν αὖ καταμάθω, μὴ τῷ πλέον 9
ἔχειν μόνον διὰ τὴν δικαιοσύνην ἐπαιρομένους δικαίους εἶναι,
ἀλλὰ καὶ τοῦ ἐπαινεῖσθαι ἐπιθυμοῦντας ὑπ' ἐμοῦ, τούτοις
ὥσπερ ἐλευθέροις ἤδη χρῶμαι, οὐ μόνον πλουτίζων, ἀλλὰ καὶ
τιμῶν ὡς καλούς τε κἀγαθούς. Τούτῳ γάρ μοι δοκεῖ, ἔφη, 10
ὦ Σώκρατες, διαφέρειν ἀνὴρ φιλότιμος ἀνδρὸς φιλοκερδοῦς,
τῷ ἐθέλειν ἐπαίνου καὶ τιμῆς ἕνεκα καὶ πονεῖν, ὅπου δεῖ, καὶ
κινδυνεύειν, καὶ αἰσχρῶν κερδῶν ἀπέχεσθαι.

CAP. XV.

ΑΛΛΑ μέν τοι ἐπειδάν γε ἐμποιήσῃς τινὶ τὸ βούλεσθαί 1
σοι εἶναι τἀγαθὰ, ἐμποιήσῃς δὲ τῷ αὐτῷ τούτῳ ἐπιμελεῖσθαι,
ὅπως ταῦτά σοι ἐπιτελῆται, ἔτι δὲ πρὸς τούτοις ἐπιστήμην
κτήσῃ αὐτῷ, ὡς ἂν ποιούμενα ἕκαστα τῶν ἔργων ὠφελιμώ-

7. οὐ μόνον] Paris. C. οὐ μόνους.
ἀδίκων, πολλοὶ] Ne, quod factum esse memorat Weiske, ἀδίκων cum πολλοὶ copuletur, incisum posui.

8. χειρίσεως] Hoc ex certa emendatione medici doctissimi, *Coray*, proposita ad Theophrasti Charact. p. 338. dedi pro χρήσεως.

9. διὰ τὴν δικαιοσύνην] *Propter commodum ex observata justitia oblatum aut speratum.* Erat cum hæc verba abundare putabam. In Paris. A. est τὸ πλέον—δικαιοσύνην ἔχειν ἐπαινουμένους.
τοῦ ἐπαινεῖσθαι] Male edd. vett. Paris. A.C.D. et Guelf. τῷ dant.
ὥσπερ ἐλευθέροις] Guelf. libri scripturam ὅσα τε damnatam a Zeunio equidem et ipse repudiandam censeo. Nam aliud est χρῶμαι τούτοις ὡς πολεμίοις, ὡς ἐλευθέροις, *tracto hos tanquam hostes*, aliud χρῶμαι τούτοις ὅσα ἐλευθέροις, *ad omnia horum opera utor, ad quæ liberi adhiberi solent.* Sic est in Agesilao vi. 6. καὶ γὰρ νυκτὶ μὲν ὅσαπερ ἡμέρᾳ ἐχρῆτο, ἡμέρᾳ δὲ ὅσαπερ νυκτί.
κἀγαθούς] Guelf. divisim καὶ ἀγαθούς.

10. τῷ ἐθέλειν] Male edd. vett. Guelf. Paris. A.C.D. τοῦ ἐθέλειν.

Cap. XV. 1. βούλεσθαί σοι] Juntina, Guelf. σε dant. Deinde ἐπιτελεῖται edd. vett. ἐπιμελῆται Guelf. ἐπιτελεῖται Paris. A. a prima manu, deinde εἰ δὲ πρὸς τούτοις. Contra C. et D. ὅπως σοι τ. ἐπιτελεῖται.
κτήσῃ αὐτῷ] Index Zeunianus interpretatur *imbuere scientia aliquem.* Est quidem supra cap. vii. 19. γηρο-

τερα γίγνοιτο, πρὸς δὲ τούτοις, ἄρχειν ἱκανὸν αὐτὸν ποιήσῃς,
ἐπὶ δὲ τούτοις πᾶσιν, ἥδηται σοὶ τὰ ἐκ τῆς γῆς ὡραῖα ἀπο-
δεικνύων ὅτι πλεῖστα, ὥσπερ σὺ σαυτῷ, οὐκέτι ἐρήσομαι περὶ
τούτου, εἰ ἔτι τινὸς ὁ τοιοῦτος προσδεῖται. Πάνυ γάρ μοι
δοκεῖ ἤδη πολλοῦ ἂν ἄξιος εἶναι ἐπίτροπος, ὢν τοιοῦτος.
Ἐκεῖνο μέντοι, ἔφην ἐγὼ, ὦ Ἰσχόμαχε, μὴ ἀπολίπῃς, ὃ
2 ἡμῖν ἀργότατα ἐπιδεδράμηται, τοῦ λόγου. Τὸ ποῖον; ἔφη ὁ
Ἰσχόμαχος. Ἔλεξας δήπου, ἔφην ἐγὼ, ὅτι μέγιστον εἴη
μαθεῖν, ὅπως δεῖ ἐξεργάζεσθαι ἕκαστα· εἰ δὲ μὴ, οὐδὲ τῆς
ἐπιμελείας ἔφησθα ὄφελος οὐδὲν γίγνεσθαι, εἰ μή τις ἐπί-
3 σταιτο, ἃ δεῖ, καὶ ὡς δεῖ ποιεῖν. Ἀλλὰ ταῦτα μὲν ἐγὼ,
ἔφην, ὦ Ἰσχόμαχε, ἱκανῶς δοκῶ καταμεμαθηκέναι ἣ εἶπας,
καθὰ δεῖ διδάσκειν τὸν ἐπίτροπον. Καὶ γὰρ, ᾗ ἔφησθα εὔ-
νουν σοι ποιεῖν αὐτὸν, μαθεῖν δοκῶ, καὶ ᾗ ἐπιμελῆ, καὶ ἀρχι-
4 κὸν, καὶ δίκαιον· ὃ δὲ εἶπας, ὡς δεῖ μαθεῖν τὸν μέλλοντα
ὀρθῶς γεωργίας ἐπιμελήσεσθαι, καὶ ἃ δεῖ ποιεῖν, καὶ ὡς δεῖ,
καὶ ὁπότε ἕκαστα, ταῦτά μοι δοκοῦμεν, ἔφην ἐγὼ, ἀργότερόν

βοσκοὺς κεκτῆσθαι ἑαυτοῖς ubi *præparare* interpretatur Zeune. Recte quidem dativus commodi, uti dicitur, jungitur mediæ formæ verbi, sed ubi de aliena persona ponitur, media forma locum non habere videtur. Tamen Pindarus Nem. ix. 124. φιάλας κτησάμεναι ἵπποι Χρομίῳ πέμψαν dixit. Et noster in Hierone xi. 13. κτῶ αὐτῇ συμμάχους.

ἥδηται Hermannus præfatione ad Draconem Straton. p. xxvii. Legebatur ἥδε τε. Confer Schæferum ad scholia Apollonii p. 662. DIND.

ἀποδεικνύοντα] Cum Welsio et Bachio Stephani correctionem prætuli vulgato ἀποδεικνύων, quod defendens Zeune supplet ᾖ, inepte. Sic enim subito oratio a domino ad villicum converteretur.

ὃ—τοῦ λόγου] Pertinet τοῦ λόγου ad ἐκεῖνο. Male διὰ intelligendum ad λόγου censet Zeune.

3. Ἀλλὰ ταῦτα] Hæc sectio cum sect. 4. 5. 6. et 7. vulgo positæ leguntur post sectionem 8. et 9. Sed egregie vidit Ernesti orationem in isto ordine non satis cohærere, sed docendi seriem esse præposteram. Igitur is sectiones, quæ vulgo sunt 5. usque ad 9. (nobis 3. 4. 5. 6. 7.) collocari voluit post sectionem 2; quo facto omnia aptissime cohærere recte censuit. Weiske mutationem illam non improbat quidem, sed tamen ea facta nondum omnia cohærere putat, itaque et alia quædam turbata esse censet. Utinam argumenta et exempla locorum ejusmodi turbatorum vel suspectorum addidisset. Equidem Ernestii judicium secutus ordinem vulgarem mutare ausus sum.

ᾗ ἐπιμελῆ] Stephani ἐπιμελῇ, *curas*, recte reprobavit Zeune.

4. ἐπιμελήσεσθαι] Ex Guelf. et margine Steph. dedi pro ἐπιμελεῖσθαι. In Paris. D. est ἐπιμέλλοντα ὀρθῶς γεωργίας ἐπιμελεῖσθαι post τὸν μέλλοντα ὀρθῶς γεωργίας.

δοκοῦμεν] Vulgatum δοκῶ μὲν Castalio correxit omisso μὲν, Camera-

πως ἐπιδεδραμηκέναι τῷ λόγῳ. Ὥσπερ εἰ εἴποις, ὅτι δεῖ 5
γράμματα ἐπίστασθαι τὸν μέλλοντα δυνήσεσθαι τὰ ὑπαγο-
ρευόμενα γράφειν, καὶ τὰ γεγραμμένα ἀναγινώσκειν. Ταῦ-
τα γὰρ ἐγὼ ἀκούσας, ὅτι μὲν δεῖ γράμματα ἐπίστασθαι,
ἠκηκόειν ἄν· τοῦτο δὲ εἰδὼς, οὐδέν τι, οἶμαι, μᾶλλον ἂν ἐπι-
σταίμην γράμματα. Οὕτω δὲ καὶ νῦν, ὅτι μὲν δεῖ ἐπίστα- 6
σθαι γεωργίαν τὸν μέλλοντα ὀρθῶς ἐπιμελήσεσθαι αὐτῆς, ῥᾳ-
δίως πέπεισμαι· τοῦτο μέντοι εἰδὼς, οὐδέν τι μᾶλλον ἐπίστα-
μαι, ὅπως δεῖ γεωργεῖν. Ἀλλ' εἴ μοι αὐτίκα μάλα δόξειε 7
γεωργεῖν, ὅμοιος ἄν μοι δοκῶ εἶναι τῷ περιϊόντι ἰατρῷ, καὶ
ἐπισκοποῦντι τοὺς κάμνοντας, εἰδότι δὲ οὐδὲν, ὅ τι συμφέρει
τοῖς κάμνουσιν. Ἵν' οὖν μὴ τοιοῦτος ὦ, ἔφην ἐγὼ, δίδασκέ
με αὐτὰ τὰ ἔργα τῆς γεωργίας. Ἐνταῦθα δὴ εἶπεν ὁ Ἰσχό- 8
μαχος, τὴν τέχνην με ἤδη, ὦ Σώκρατες, κελεύεις αὐτὴν δι-
δάσκειν τῆς γεωργίας; Αὕτη γὰρ ἴσως, ἔφην ἐγὼ, ἤδη ἐστὶν
ἡ ποιοῦσα τοὺς μὲν ἐπισταμένους αὐτὴν πλουσίους, τοὺς δὲ μὴ
ἐπισταμένους, πολλὰ πονοῦντας, ἀπόρως βιοτεύειν. Νῦν τοί- 9
νυν, ἔφη, ὦ Σώκρατες, καὶ τὴν φιλανθρωπίαν ταύτης τῆς
τέχνης ἀκούσῃ. Τὸ γὰρ ὠφελιμωτάτην οὖσαν, καὶ ἡδίστην
ἐργάζεσθαι, καὶ καλλίστην καὶ προσφιλεστάτην θεοῖς τε καὶ
ἀνθρώποις, ἔτι πρὸς τούτοις καὶ ῥᾴστην εἶναι μαθεῖν, πῶς οὐχὶ
γενναῖόν ἐστι; γενναῖα δὲ δήπου καλοῦμεν καὶ τῶν ζώων,

rius tacitus in δοκοῦμεν mutavit *videmur* vertens. δοκῶμεν Leoncl. dedit.

5. ἠκηκόειν] Paris. C. a prima manu ἠκηκόην habet scriptum.

6. ἐπιμελήσεσθαι] Ex margine Steph. recepi in locum vulgati ἐπιμελεῖσθαι

7. δοκῶ εἶναι] Edd. vett. Paris. A. C.D. et Guelf. εἶναι omittunt. Deinde περισκοποῦντι margo Steph. postea ἣν οὖν μὴ τοιοῦτος edd. vett. Guelf. Paris. A.C.D.

8. ἴσως, ἔφην] Sic cum Stephano Zeune et Weiske. Edd. vett. Paris. A.C.D. Guelf. Camer. et Strebæus ὡς ἔφην ἐγώ.

τοὺς μὲν] Guelf. ἡ μὲν ποιοῦσα τοὺς ἐπισταμένους.

πολλὰ πονοῦντας] Male juncta hæc prioribus hærent; itaque καίπερ vel similem copulam excidisse puto. Sed totam hanc sectionem cum sequenti a Xenophonte profectam esse mihi persuadere nunquam potui.

9. ἀκούσῃ] Guelf. a prima manu scriptum ἀκοῦσαι habet.

Τὸ γὰρ] Weiskiana editio nescio unde, nisi forte typorum errore, adscivit γε.

γενναῖόν ἐστι] Voluit docere auctor φιλανθρωπίαν, et delabitur ad γενναιότητα alienam a terra; nec comparatione inepta cum animalibus γενναίοις vulgo vocatis aliquid proficitur. Nec enim animalia γενναῖα Græce dicuntur pulchra, magna, hominibus utilia et mitia, sed po-

ὁπόσα καλὰ, καὶ μεγάλα, καὶ ὠφέλιμα ὄντα, πρᾳέα ἐστὶ
10 πρὸς τοὺς ἀνθρώπους. Ἀλλὰ μὴν, ἔφη, ὦ Σώκρατες, οὐχ ὥσπερ γε τὰς ἄλλας τέχνας καταστριβῆναι δεῖ μανθάνοντας, πρὶν ἄξια τῆς τροφῆς ἐργάζεσθαι τὸν διδασκόμενον, οὐχ οὕτω καὶ ἡ γεωργία δύσκολός ἐστι μαθεῖν· ἀλλὰ τὰ μὲν ἰδὼν ἂν ἐργαζομένους, τὰ δὲ ἀκούσας, εὐθὺς ἂν ἐπίσταιο, ὥστε καὶ ἄλλον, εἰ βούλοιο, διδάσκειν. Οἴομαι δ', ἔφη, πάνυ καὶ
11 λεληθέναι πολλὰ σεαυτὸν ἐπιστάμενον αὐτῆς. Καὶ γὰρ δὴ οἱ μὲν ἄλλοι τεχνῖται ἀποκρύπτονταί πως τὰ ἐπικαιριώτατα, ἧς ἕκαστος ἔχει τέχνης, τῶν δὲ γεωργῶν ὁ κάλλιστα μὲν φυτεύων, μάλιστ' ἂν ἥδοιτο, εἴτις αὐτὸν θεῷτο, ὁ κάλλιστα δὲ σπείρων, ὡσαύτως· ὅ τι δὲ ἔροιο τῶν καλῶς πεποιημένων, οὐ-
12 δὲν ὅ τι ἄν σε ἀποκρύψαιτο, ὅπως ἐποίησεν. Οὕτω καὶ τὰ ἤθη, ὦ Σώκρατες, ἔφη, γενναιοτάτους τοὺς αὐτῇ συνόντας ἡ
13 γεωργία ἔοικε παρέχεσθαι. Ἀλλὰ τὸ μὲν προοίμιον, ἔφην ἐγὼ, καλὸν, καὶ οὐχ οἷον ἀκούσαντα ἀποτρέπεσθαι τοῦ ἐρωτήματος· σὺ δὲ, ὅτι εὐπετές ἐστι μαθεῖν, διὰ τοῦτο πολύ μοι μᾶλλον διέξιθι αὐτήν. Οὐ γάρ σοι αἰσχρὸν τὰ ῥᾴδια διδάσκειν ἐστὶν, ἀλλ' ἐμοὶ πολὺ αἴσχιον, μὴ ἐπίστασθαι, ἄλλως τε καὶ εἰ χρήσιμα ὄντα τυγχάνει.

tius generosa, in quibus primum locum obtinet leo. Sunt igitur hæc Xenophonte indigna. Quanquam est infra locus cap. xviii. 10. ubi respici videntur verba hujus loci quædam: οὐκοῦν ἔλεγόν σοι πάλαι, ὅτι καὶ ταύτῃ εἴη γενναιοτάτη ἡ γεωργικὴ τέχνη, ὅτι καὶ ῥᾴστη ἐστὶ μαθεῖν. Deinde cap. xix. 17. πάλαι σοὶ ἔλεγον, ὅτι ἡ γεωργία οὕτω φιλάνθρωπός ἐστι καὶ πρᾳεῖα τέχνη, ὥστε καὶ ὁρῶντας καὶ ἀκούοντας ἐπιστήμονας εὐθὺς ἑαυτῆς ποιεῖν. Inde efficitur, ut servatis reliquis saltem damnemus comparationem cum animalibus institutam. Reliqua a verbis γενναῖα δὲ δήπου—ἀνθρώπους pertinere ad sect. 12. censeo, ubi vide annotanda.

10. ὥσπερ γε] Guelf. γε omittit. Ceterum dissensum Columellæ Præfat. sect. 33. annotavit Zeune.

11. ὁ κάλλιστα] Guelf. οὐ κάλλιστα, deinde κρύψαιτο dat.

12. γενναιοτάτους] Si compares hæc cum sectione 9. et cap. xviii. sect. 10. qui locus ad priorem refertur, alia est vocabuli γενναῖος significatio utrobique, quam h. l. Membrum vero illud sectionis 9. quod ibi locum alienum occupasse monui, huic loco melius congruere videtur: γενναῖα δὲ δήπου καλοῦμεν— πρὸς τοὺς ἀνθρώπους. Ceterum τοὺς ante αὐτῇ a secunda manu adscriptum habet Guelf. et deinde ἔοικεν dat.

13. εὐπετές] Hoc pro εὐπρεπές, a sententia loci alieno, dedi ex conjectura Wyttenbachii ad Plutarchum de Sera N. Vind. p. 45.

τυγχάνει] Paris. A.C.D. τυγχάνοι.

CAP. XVI.

ΠΡΩΤΟΝ μὲν τοίνυν, ἔφη, ὦ Σώκρατες, τοῦτο ἐπιδεῖξαι 1
βούλομαί σοι, ὡς οὐ χαλεπόν ἐστιν, ὃ λέγουσι ποικιλώτατον
τῆς γεωργίας εἶναι οἱ λόγῳ μὲν ἀκριβέστατα αὐτὴν διεξιόν-
τες, ἥκιστα δὲ ἐργαζόμενοι. Φασὶ γὰρ, τὸν μέλλοντα ὀρθῶς 2
γεωργήσειν, τὴν φύσιν χρῆναι πρῶτον τῆς γῆς εἰδέναι. Ὀρ-
θῶς γε, ἔφην ἐγὼ, ταῦτα λέγοντες. Ὁ γὰρ μὴ εἰδὼς, ὅ τι
δύναται ἡ γῆ φέρειν, οὐδ᾽ ὅ τι σπείρειν, οἴομαι, οὐδ᾽ ὅ τι φυ-
τεύειν δεῖ, εἰδείη ἄν. Οὐκοῦν, ἔφη ὁ Ἰσχόμαχος, καὶ ἀλλο- 5
τρίας γῆς τοῦτό ἐστι γνῶναι, ὅ τι τε δύναται φέρειν, καὶ ὅ τι
μὴ δύναται, ὁρῶντα τοὺς καρποὺς καὶ τὰ δένδρα. Ἐπειδὰν
μέν τοι γνῷ τις, οὐκέτι συμφέρει θεομαχεῖν. Οὐ γὰρ ἂν,
ὅτου δέοιτο αὐτὸς, τοῦτο σπείρων καὶ φυτεύων, μᾶλλον ἂν ἔχοι
τὰ ἐπιτήδεια, ἢ ὅ τι ἡ γῆ ἥδοιτο φύουσα καὶ τρέφουσα. Ἢν 4
δ᾽ ἄρα δι᾽ ἀργίαν τῶν ἐχόντων αὐτὴν μὴ ἔχῃ τὴν ἑαυτῆς δύνα-
μιν ἐπιδεικνύναι, ἔστι καὶ παρὰ γείτονος τόπου πολλάκις
ἀληθέστερα περὶ αὐτῆς γνῶναι, ἢ παρὰ γείτονος ἀνθρώπου πυ-
θέσθαι. Καὶ χερσεύουσα δὲ, ὅμως ἐπιδείκνυσι τὴν αὑτῆς φύ- 5
σιν· ἡ γὰρ τὰ ἄγρια καλὰ φύουσα, δύναται θεραπευομένη
καὶ τὰ ἥμερα καλὰ ἐκφέρειν. Φύσιν μὲν δὴ γῆς οὕτω καὶ οἱ
μὴ πάνυ ἔμπειροι γεωργίας ὅμως δύνανται διαγιγνώσκειν.
Ἀλλὰ τοῦτο μὲν, ἔφην ἐγὼ, ὦ Ἰσχόμαχε, ἱκανῶς ἤδη μοι 6

Cap. XVI. 1. οἱ λόγῳ—διεξιόντες] Ex Theophrasti historia plantarum licet cognoscere, qui rei rusticæ scriptores exstiterint ante eum et fere ante Xenophontem. Leophanem de terræ generibus plantis commodæ judicantem memorat Theophrastus de causis pl. ii. 6. Menestorem i. 26.

ἥκιστα δὲ] Guelf. ἥκιστα μὲν γὰρ habet.

2. χρῆναι] Omittunt Paris. C.D.

3. ἀλλοτρίας γῆς] Zeune monet intelligi περί. Sed quid hoc ad rem, si rei rusticæ studiosus alienam terram inspicit et ex plantis indolem ejus agnoscit? Equidem exspectabam, ut nominaret Xenophon hominem indolis terræ ejus, quam colere instituit, aut quam emere cupit, plane ignarum. Locum igitur vitio aliquo laborare suspicor. Num fuerat ab initio scriptum καὶ ἀλλοτρίῳ τῆς γῆς τοῦτό ἐστι γνῶναι? Scilicet totam sententiam X. concludit ita sect. 5. φύσιν μὲν δὴ γῆς οὕτω καὶ οἱ μὴ πάνυ ἔμπειροι γεωργίας ὅμως δύνανται διαγιγνώσκειν. Paris. D. habet τοῦτο ἔφη γνῶναι.

ὅ τι τε] Male Guelf. ὅτι δὲ habet scriptum. Paris. C. D. καὶ ὅτι μὴ δύναται φέρειν deinceps dant.

5. οὕτω καὶ—διαγιγνώσκειν] Guelf. οὕτως καὶ—διαγινώσκειν. ut Paris. A. C.D.

δοκῶ ἀποτεθαῤῥηκέναι, ὡς οὐ δεῖ φοβούμενον, μὴ οὐ γνῶ τῆς
7 γῆς φύσιν, ἀπέχεσθαι γεωργίας. Καὶ γὰρ δὴ, ἔφην, ἀνεμνήσθην τὸ τῶν ἁλιέων, ὅτι θαλασσουργοὶ ὄντες, καὶ οὔτε καταστήσαντες ἐπὶ θέαν, οὔθ' ἡσυχῇ βαδίζοντες, ἀλλὰ παρατρέχοντες ἅμα τοὺς ἀγροὺς, ὅταν ὁρῶσι τοὺς καρποὺς ἐν τῇ γῇ, ὅμως οὐκ ὀκνοῦσιν ἀποφαίνεσθαι περὶ τῆς γῆς, ὁποία τε ἀγαθή ἐστι, καὶ ὁποία κακή· ἀλλὰ τὴν μὲν ψέγουσι, τὴν δ' ἐπαινοῦσι. Καὶ πάνυ τοίνυν τοῖς ἐμπείροις γεωργίας ὁρῶ αὐτοὺς τὰ πλεῖστα κατὰ ταυτὰ ἀποφαινομένους περὶ τῆς ἀγα-
8 θῆς γῆς. Πόθεν οὖν βούλει, ἔφη, ὦ Σώκρατες, ἄρξωμαί σε τῆς γεωργίας ὑπομιμνήσκειν; Οἶδα γὰρ, ὅτι ἐπισταμένῳ σοὶ
9 πάνυ πολλὰ φράσω, ὡς δεῖ γεωργεῖν. Ἐκεῖνό μοι δοκῶ, ἔφην ἐγὼ, ὦ Ἰσχόμαχε, πρῶτον ἂν ἡδέως μανθάνειν (φιλοσόφου γὰρ μάλιστά ἐστιν ἀνδρὸς), ὅπως ἂν ἐγὼ, εἰ βουλοίμην, γῆν ἐργαζόμενος, πλείστας κριθὰς καὶ πλείστους πυροὺς λαμ-

7. τῶν ἁλιέων] Paris. A.C.D. τοὺς ἁλιέας. Margo Villoison. ἀνεμν. τοὺς ἁλιέας.

θαλασσουργοὶ] Guelf. θαλασσιουργοί. Paris. C. θαλασιουργοί.

καταστήσαντες] ναῦν intelligendum cum Weiskio, aut καταστάντες scribendum, quod olim conjeceram ad Cyrop. v. 2, 27.

ἡσυχῇ] Paris. A.C.D. ἥσυχοι dant.

τοῖς ἐμπείροις] Guelf. αὐτοῖς ἐμπείροις habet. Deinde κατ' αὐτὰ Paris. A.C.D.

8. ἔφη,] Omittunt edd. vett. sed addit etiam margo Villois. Deinde ἄρξομαι Guelf. cum edd. vett. et Paris. C.D.

πάνυ πολλὰ φράσω] Juntina πάνυ ἐπισταμένῳ σοι πολλά. Castalio φράσων dedit.

9. φιλοσόφου] Ironiam Socraticam hanc censuit esse Camerarius, quoniam philosophi de victu quotidiano, nedum copioso solliciti esse consuerint. Respondet Zeune, Socratem, utpote morum et vitæ philosophiæ studiosum, non indignam philosopho rusticationis scientiam potuisse judicare. Multos enim philosophos Græcos de re rustica præcepisse. Weiske philosophiæ notionem ad solum verbum μανθάνειν referendam esse censet. Addo locum Aristotelis Œcon. i. 6. ὅσα τε δεῖ ποιεῖν, μήτε νυκτὸς μήτε ἡμέρας παριέναι, τοτὲ δὲ διανίστασθαι νύκτωρ· τοῦτο γὰρ καὶ πρὸς ὑγίειαν καὶ οἰκονομίαν καὶ φιλοσοφίαν χρήσιμον. Sic enim Codex Lips. habet scriptum pro φιλόσοφον, ut corrigi voluit Camerarius. φιλοσοφία hic simpliciter *discendi studium et subtilitatem et intentionem cogitandi* significat, ut in Cyrop. vi. 1, 41. πάνυ ᾤμην φιλοσοφεῖν φιλοσοφίαν, δι' ἧς ἂν μάλιστα ἐνόμιζον παιδευθῆναι τὰ προσήκοντα ἀνδρὶ καλοκἀγαθίας ὀρεγομένῳ est in Memor. iv. 2, 23. Cf. Morus ad Isocratis Panegyricum p. 5. Est igitur h. l. φιλόσοφος, *qui artem œconomicam curiose et accurate discere conatur, in eoque cogitationem et animum totum defixum habet.* De philosophia proprie dicta nusquam Xenophon verbo usus esse reperitur.

βάνοιμι. Οὐκοῦν τοῦτο μὲν οἶσθα, ὅτι τῷ σπόρῳ νεὸν δεῖ 10
ὑπεργάζεσθαι; Οἶδα γάρ, ἔφην ἐγώ. Εἰ οὖν ἀρχοίμεθα, 11
ἔφη, ἀροῦν τὴν γῆν χειμῶνος; Ἀλλὰ πηλὸς ἂν εἴη, ἐγὼ ἔφην.
Ἀλλὰ τοῦ θέρους σοι δοκεῖ; Σκληρά, ἔφην ἐγώ, ἔσται ἡ γῆ
κινεῖν τῷ ζεύγει. Κινδυνεύει ἔαρος, ἔφη, εἶναι τούτου τοῦ ἔρ- 12
γου ἀρκτέον. Εἰκὸς γάρ, ἔφην ἐγώ, ἐστὶ μάλιστα χεῖσθαι
τὴν γῆν τηνικαῦτα κινουμένην. Καὶ τὴν πόαν γε ἀναστρεφο-
μένην, ἔφη, ὦ Σώκρατες, τηνικαῦτα κόπρον μὲν τῇ γῇ ἤδη παρ-
έχειν, καρπὸν δ' οὔπω καταβαλεῖν, ὥστε φύεσθαι. Οἶμαι 13
γὰρ δή, καὶ τοῦτό ἐστι γιγνώσκειν, ὅτι, εἰ μέλλει ἀγαθὴ ἡ
νεὸς ἔσεσθαι, ὕλης τε δεῖ καθαρὰν αὐτὴν εἶναι, καὶ ὀπτὴν ὅτι-
μάλιστα πρὸς τοῦ ἡλίου. Πάνυ γε, ἔφην ἐγώ, καὶ ταῦτα
οὕτως ἡγοῦμαι χρῆναι ἔχειν. Ταῦτ' οὖν, ἔφη, σὺ ἄλλως πως 14
νομίζεις μᾶλλον ἂν γίγνεσθαι, ἢ εἰ ἐν τῷ θέρει ὅτι πλειστάκις
μεταβάλλοι τις τὴν γῆν; Οἶδα μὲν οὖν, ἔφην, ἀκριβῶς, ὅτι
οὐδαμῶς ἂν μᾶλλον ἡ μὲν ὕλη ἐπιπολάζοι καὶ αὐαίνοιτο ὑπὸ
τοῦ καύματος, ἡ δὲ γῆ ὀπτῷτο ὑπὸ τοῦ ἡλίου, ἢ εἴτις αὐτὴν ἐν
μέσῳ τῷ θέρει καὶ ἐν μέσῃ τῇ ἡμέρᾳ κινοίη τῷ ζεύγει. Εἰ δὲ 15
ἄνθρωποι σκάπτοντες τὴν νεὸν ποιοῖεν, ἔφη, οὐκ εὔδηλον, ὅτι
καὶ τούτους δίχα δεῖ ποιεῖν τὴν γῆν καὶ τὴν ὕλην; Καὶ τὴν
μέν γε ὕλην, ἔφην ἐγώ, καταβάλλειν, ὡς αὐαίνηται, ἐπιπο-
λῆς, τὴν δὲ γῆν στρέφειν, ὡς ἡ ὠμὴ αὐτῆς ὀπτῷτο.

10. τῷ σπόρῳ] Articulum omittit Paris. C.

11. σκληρὰ] Guelf. deinceps ἡ γῆ ἔσται. Paris. C. σκληρὰ ἔφην ἡ γῆ ἐγὼ ἔσται. etiam D. ἡ γῆ ἔσται. Dictum pro σκληροτέρα ἢ ὥστε κινεῖν.

12. κινδυνεύει ἔαρος] Videtur mihi ἄρα ante ἔαρος excidisse.

χεῖσθαι] Junt. χρῆσθαι dedit, quod a prima manu est in Paris. A. σχεῖσθαι C.D. Illud est *plane dissolvi et diffundi more arenæ commotæ.*

ἀναστρεφομένην] Paris. D. πόαν τε dat. Infra xvii. 10. ἣν—χλόης γενομένης—, καταστρέψῃς αὐτὸ πάλιν, τοῦτο γίνεται σῖτος τῇ γῇ.

παρέχειν] Repete εἰκός ἐστι.

13. καὶ τοῦτο ἔστι γιγνώσκειν] Sententia poscit ut σέ scribatur pro ἔστι. DIND.

εἰ μέλλει] Paris. A.D. εἰ μέλλοι.

δεῖ] Omittunt edd. vett. et Guelf. cum Paris. A.C.D.

πρὸς τοῦ ἡλίου] Ita vulgatum τὸν ἥλιον correxi ex sect. 14. ἡ δὲ γῆ ὀπτῷτο ὑπὸ τοῦ ἡλίου, approbante Weiskio.

χρῆναι] Guelf. a prima manu χρὴ habet.

14. ὀπτῷτο] Edd. vett. cum Guelf. ὀπτοῖτο, sed in Paris. A. ω suprascriptum. Cicero apud Nonium vertit: *Nullo modo facilius arbitror posse neque herbas arescere et interfici, neque terram ab sole percoqui.*

15. ὡς ἡ ὠμὴ αὐτῆς ὀπτῷτο. Lege ὀπτᾶται, ut antea αὐαίνηται fuit. DIND.

CAP. XVII.

1 ΠΕΡΙ μὲν τῆς νεοῦ ὁρᾷς, ἔφη, ὦ Σώκρατες, ὡς ἀμφοτέροις ἡμῖν ταυτὰ δοκεῖ. Δοκεῖ γὰρ οὖν, ἔφην ἐγώ. Περί γε μέν τοι τοῦ σπόρου ὥρας ἄλλο τι, ἔφη, ὦ Σώκρατες, γιγνώσκεις, ἢ τὴν ὥραν σπείρειν, ἧς πάντες μὲν οἱ πρόσθεν ἄνθρωποι πεῖραν λαβόντες, πάντες δὲ οἱ νῦν λαμβάνοντες, ἐγνώκασι κρατί-
2 στην εἶναι; Ἐπειδὰν γὰρ ὁ μετοπωρινὸς χρόνος ἔλθῃ, πάντες που οἱ ἄνθρωποι πρὸς τὸν θεὸν ἀποβλέπουσιν, ὁπότε βρέξας τὴν γῆν ἀφήσει αὐτοὺς σπείρειν. Ἐγνώκασι δέ γ', ἔφην ἐγὼ, ὦ Ἰσχόμαχε, καὶ τὸ μὴ ἐν ξηρᾷ σπείρειν ἑκόντες εἶναι πάντες ἄνθρωποι, δηλονότι πολλαῖς ζημίαις παλαίσαντες οἱ πρὶν
3 κελευσθῆναι ὑπὸ τοῦ θεοῦ σπείραντες. Οὐκοῦν ταῦτα μὲν, ἔφη ὁ Ἰσχόμαχος, ὁμογνωμονοῦμεν πάντες οἱ ἄνθρωποι. Ἃ γὰρ ὁ θεὸς διδάσκει, ἔφην ἐγὼ, οὕτω γίγνεται ὁμονοεῖν· οἷον ἅμα πᾶσι δοκεῖ βέλτιον εἶναι, ἐν τῷ χειμῶνι παχέα ἱμάτια φορεῖν, ἢν δύνωνται· καὶ πῦρ κάειν ἅμα πᾶσι δοκεῖ, ἢν ξύλα
4 ἔχωσιν. Ἀλλ' ἐν τῷδε, ἔφη ὁ Ἰσχόμαχος, πολλοὶ ἤδη διαφέρονται, ὦ Σώκρατες, περὶ τοῦ σπόρου, πότερον ὁ πρώϊμος κράτιστος, ἢ ὁ μέσος, ἢ ὁ ὀψιμώτατος. Ἀλλ' ὁ θεὸς, ἔφην

Cap. XVII. 1. Δοκεῖ γὰρ οὖν] Edd. vett. Guelf. Paris. A.C.D. δοκεῖ γὰρ αὖ.

μέν τοι τοῦ σπόρου ὥρας] Bene Zeune μὲν τῆς τοῦ σπόρου scribendum esse conjecit: deinceps ὁρᾷς edd. vett. Guelf.

γιγνώσκεις] Guelf. γινώσκεις.

2. ἀφήσει] Paris. C. a prima manu ἀφύσει, D. omnino omittit.

Ἐγνώκασι δέ γ',] Guelf. ἐγνώκασί γε puncto posito post nomen Ischomachi. ἐγνώκασι δή γ' ἔφην Paris. A. deinceps ἐν ξηραῖς margo Steph.

οἱ πρὶν—σπείραντες] Structura verborum insolentior fecit, ut viri docti de vitio loci suspicarentur. Bachius nominativos absolutos esse ait, Zeunius post δηλονότι repetit ἐγνώκασι; sed ita nihilo minus nominativos manere absolutos statuit Weiske: nec enim participium παλαίσαντες posse referri ad πάντες ἄνθρωποι; obstare enim articulum; et sententiam ita existere falsam, quia non omnes homines damno suo edoceantur. Mihi simillimus locus esse videtur cap. xii. οὐχ ὁρᾷς, ὅτι καὶ ἑαυτοῖς εὔνοι πάντες ὄντες, ὡς εἰπεῖν, ἄνθρωποι, πολλοὶ αὐτῶν εἰσὶν οἵ οὐκ ἐθέλουσιν ἐπιμελεῖσθαι, ὅπως αὐτοῖς ἔσται ταῦτα; Cui ut similis fiat noster, ita verba erunt ordinanda: καὶ πολλοὶ (vel τινὲς) πολλαῖς ζημίαις παλαίσαντες, οἱ πρὶν κελ. ὑπὸ τοῦ θεοῦ σπείραντες, πάντες νῦν ἐγνώκασι τὸ μὴ ἐν ξηρᾷ σπείρειν ἑκόντες εἶναι. Ad istum vero locum nemo adhæsit.

σπείραντες] Vulgatum σπείροντες recte correxit Weiske.

3. ἢν δύνωνται] Paris. C. εἰ δ. deinde εἰ ξύλα ἔχωσιν. C.D.

4. Ἀλλ' ὁ θεὸς] Paris. A.C.D. καὶ ὁ θεός. Deinde ἀλλὰ τὸ μὲν πρωΐμῳ C.

ἐγὼ, οὐ τεταγμένως τὸ ἔτος ἄγει, ἀλλὰ τὸ μὲν τῷ πρωΐμῳ κάλλιστα, τὸ δὲ τῷ μέσῳ, τὸ δὲ τῷ ὀψιμωτάτῳ. Σὺ οὖν, 5
ἔφη, ὦ Σώκρατες, πότερον ἡγῇ κρεῖττον εἶναι, ἑνὶ τούτων τῶν σπόρων χρῆσθαι ἐκλεξάμενον, ἐάν τε πολὺ, ἐάν τε ὀλίγον σπέρμα σπείρῃ τις, ἢ ἀρξάμενον ἀπὸ τοῦ πρωϊμωτάτου μέχρι τοῦ ὀψιμωτάτου σπείρειν; Καὶ ἐγὼ εἶπον, ἐμοὶ μὲν, ὦ Ἰσχό- 6
μαχε, δοκεῖ κράτιστον εἶναι παντὸς μετέχειν τοῦ σπόρου. Πολὺ γὰρ νομίζω κρεῖττον εἶναι, ἀεὶ ἀρκοῦντα σῖτον λαμβάνειν, ἢ ποτὲ μὲν πάνυ πολὺν, ποτὲ δὲ μηδ' ἱκανόν. Καὶ τοῦτο τοίνυν σύ γε, ἔφη, ὦ Σώκρατες, ὁμογνωμονεῖς ἐμοὶ, ὁ μανθάνων τῷ διδάσκοντι, καὶ ταῦτα πρόσθεν ἐμοῦ τὴν γνώμην ἀποφαινόμενος. Τί γάρ; ἔφην ἐγὼ, ἐν τῷ ῥίπτειν τὸ σπέρμα 7
ποικίλη τέχνη ἔνεστι; Πάντως, ἔφη, ὦ Σώκρατες, ἐπισκεψώμεθα καὶ τοῦτο. Ὅτι μὲν γὰρ ἐκ τῆς χειρὸς δεῖ ῥίπτεσθαι τὸ σπέρμα, καὶ σύ που οἶσθα, ἔφη. Καὶ γὰρ ἑώρακα, ἔφην ἐγώ. Ῥίπτειν δέ γε, ἔφη, οἱ μὲν ὁμαλῶς δύνανται, οἱ δ' οὔ. Οὐκοῦν τοῦτο μὲν, ἔφην ἐγὼ, ἤδη μελέτης δεῖται, ὥσπερ τοῖς κιθαρισταῖς ἡ χεὶρ, ὅπως δύνηται ὑπηρετεῖν τῇ γνώμῃ. Πάνυ 8
μὲν οὖν, ἔφη· ἢν δέ γε ᾖ, ἔφη, ἡ γῆ ἡ μὲν λεπτοτέρα, ἡ δὲ παχυτέρα. Τί τοῦτο, ἐγὼ ἔφην, λέγεις; ἆρά γε τὴν μὲν λεπτοτέραν, ὅπερ ἀσθενεστέραν, τὴν δὲ παχυτέραν, ὅπερ ἰσχυροτέραν; Τοῦτ', ἔφη, λέγω· καὶ ἐρωτῶ γέ σε, πότερον ἴσον ἂν ἑκατέρᾳ τῇ γῇ σπέρμα διδοίης, ἢ ποτέρᾳ ἂν πλεῖον. Τῷ μὲν 9

κάλλιστα] Participium ἔχον sc. τῷ σπόρῳ, vel simile aliquod deesse mihi videbatur.

8. ἔφη, ἡ γῆ ἡ μὲν] Edd. vett. ἔφην, ἡ γῆ λεπτοτέρα ἢ παχυτέρα. Etiam Guelf. ἔφην habet, sed ante ἔφην addit παχυτέρα. Verum extat etiam in margine Villois.

ἀσθενεστέραν—ἰσχυροτέραν] Ita fere Theophrastus histor. plantar. viii. 6. πλεῖον γὰρ ἡ πίειρα καὶ ἀγαθὴ δύναται φέρειν τῆς ὑφάμμου καὶ λεπτῆς. Sed hoc est ex verbis philosophari, non ex plantarum indole, quibus est terra obserenda, judicare.

9. τῷ μὲν οἴνῳ, ἔφην ἔγωγε, νομίζω τῷ ἰσχυροτέρῳ πλεῖον ἐπιχεῖν ὕδωρ.] Mirandum est hoc ἔγωγε tam diu latum esse, quod quidem propter linguam in ἐγώ mutandum fuerat. Sed nimis manifestum est interpunctionem potius corrigendam esse sic ut cum νομίζω conjungatur ἔγωγε. Non minus grave interpunctionis vitium sustuli paullo ante, ubi omissa interrogandi nota scribebatur ἢν δέ γε ᾖ, ἔφη, ἡ γῆ ἡ μὲν λεπτοτέρα ἡ δὲ παχυτέρα. Quæ ad linguam barbara, ad sententiam inepta sunt. Alia hujus generis non tanti est indicare. DIND.

οἴνῳ, ἔφην ἔγωγε, νομίζω τῷ ἰσχυροτέρῳ πλεῖον ἐπιχεῖν ὕδωρ·
καὶ ἀνθρώπῳ τῷ ἰσχυροτέρῳ πλεῖον βάρος, ἐὰν δέῃ τι φέρειν,
ἐπιτιθέναι· κἂν δέῃ τρέφεσθαί τινας, τοῖς δυνατωτέροις τρέ-
φειν ἂν τοὺς πλείους προστάξαιμι. Εἰ δὲ ἡ ἀσθενὴς γῆ ἰσχυ-
ροτέρα, ἔφην ἐγὼ, γίγνεται, ἤν τις πλείονα καρπὸν αὐτῇ ἐμ-
10 βάλῃ, ὥσπερ τὰ ὑποζύγια, τοῦτο σύ με δίδασκε. Καὶ ὁ
Ἰσχόμαχος γελάσας εἶπεν· ἀλλὰ παίζεις μὲν σύ γε, ἔφη,
ὦ Σώκρατες. Εὖ γε μέντοι ἴσθι, ἔφη, ἢν μὲν ἐμβαλὼν τὸ
σπέρμα τῇ γῇ, ἔπειτα ἐν ᾧ πολλὴν ἔχει τροφὴν ἡ γῆ ἀπὸ τοῦ
οὐρανοῦ, χλόης γενομένης ἀπὸ τοῦ σπέρματος, καταστρέψῃς
αὐτὸ πάλιν, τοῦτο γίγνεται σῖτος τῇ γῇ, καὶ ὥσπερ ὑπὸ κό-
πρου ἰσχὺς αὐτῇ ἐγγίγνεται. Ἢν μέντοι ἐκτρέφειν ἐᾷς τὴν
γῆν διὰ τέλους τὸ σπέρμα εἰς καρπὸν, χαλεπὸν τῇ ἀσθενεῖ
γῇ ἐς τέλος πολὺν καρπὸν ἐκφέρειν. Καὶ συῒ δὲ ἀσθενεῖ χα-
11 λεπὸν πολλοὺς ἁδροὺς χοίρους ἐκτρέφειν. Λέγεις σὺ, ἔφην
ἐγὼ, ὦ Ἰσχόμαχε, τῇ ἀσθενεστέρᾳ γῇ μεῖον δεῖν τὸ σπέρμα
ἐμβαλεῖν; Ναὶ μὰ Δί', ἔφη, ὦ Σώκρατες, καὶ σύ γε συνο-
μολογεῖς, λέγων, ὅτι νομίζεις τοῖς ἀσθενεστέροις πᾶσι μείω
12 προστάττειν πράγματα. Τοὺς δὲ δὴ σκαλέας, ἔφην ἐγὼ, ὦ

ἐπιχεῖν] Guelf. a prima manu ἐπισχεῖν habet.

τοῖς δυνατωτέροις—προστάξαιμι] Infra sect. 11. respicit hæc: καὶ σύ γε συνομολογεῖς λέγων, ὅτι νομίζεις τοῖς ἀσθενεστέροις πᾶσι μείω προστάττειν πράγματα. Sed eadem non est utrobique sententia, et miror interpretum silentium. Est de corporis robore sermo. At qui δυνατώτεροι sunt τρέφειν, ii potius opulentiores sunt, ut qui reipublicæ Atticæ equos alere cogebantur. Contra προστάττειν πράγματα videtur esse servis opera imperare. Videant acutiores, si quid remedii vitiosis verbis excogitare possint.

Εἰ δὲ ἡ] Paris. C.D. ἡ δὲ ἀσθενὴς γῆ dant.

ὥσπερ τὰ ὑποζύγια] Intellige ἰσχυρότερα γίγνεται, ἐάν τις πλείονα χόρτον αὐτοῖς ἐμβάλῃ. Verbum enim ἐμβάλλειν et terræ conserendæ convenit et jumentis ad præsepia objecto cibo alendis. τοῦτο δὲ σύ με δ. Paris. C.

10. γελάσας εἶπεν] Ex Guelf. Paris. A. et marg. Villois. hoc pro ἔφη recepit Zeune. Ibidem et in Paris. A.D. est, ἔφη, ἴσθι. ἐγὼ μέντοι ἔφη, ἴσθι Paris. C. Ceterum sequi solet ὅτι post εὖ ἴσθι, quod h. l. omittitur.

ἢν μὲν—καταστρέψῃς] Ex Guelf. ἢν μὲν pro εἰ μὲν recepit Zeune: idem liber καταστρέψεις dat.

γίγνεται σῖτος] Margo Steph. γίγνεται καὶ σῖτος. Paris. C.D. καὶ γίνεται σῖτος.

πολλοὺς ἁδροὺς χοίρους] i. e. διὰ τέλους, *porcos ad eam usque ætatem alere, donec adoleverint.*

11. δεῖν] Edd. vett. cum Paris. A. C.D. δεῖ, Guelf. δὴ dant. Verum habet etiam margo Villois.

πράγματα] Cf. ad sect. 9. Mark-

Ἰσχόμαχε, τίνος ἕνεκα ἐμβάλλετε τῷ σίτῳ; Οἶσθα δήπου,
ἔφη, ὅτι ἐν τῷ χειμῶνι πολλὰ ὕδατα γίγνεται. Τί γὰρ οὔκ;
ἔφην ἐγώ. Οὐκοῦν θῶμεν τοῦ σίτου καὶ κατακρυφθῆναί τινα
ὑπ' αὐτῶν, ἰλύος ἐπιχυθείσης, καὶ ψιλωθῆναί τινας ῥίζας ὑπὸ
ῥεύματος. Καὶ ὕλη δὲ πολλάκις ὑπὸ τῶν ὑδάτων δήπου
συνεξορμᾷ τῷ σίτῳ, καὶ παρέχει πνιγμὸν αὐτῷ. Πάντα,
ἔφην ἐγώ, εἰκὸς ταῦτα γίγνεσθαι. Οὐκοῦν δοκεῖ σοι, ἔφη, 13
ἐνταῦθα ἤδη ἐπικουρίας τινὸς δεῖσθαι ὁ σῖτος; Πάνυ μὲν οὖν,
ἔφην ἐγώ. Τῷ οὖν κατιλυθέντι τί ἂν ποιοῦντες δοκοῦσιν ἂν
σοι ἐπικουρῆσαι; Ἐπικουφίσαντες, ἔφην ἐγώ, τὴν γῆν. Τί
δέ, ἔφη, τῷ ἐψιλωμένῳ τὰς ῥίζας; Ἀντιπροσαμησάμενοι τὴν
γῆν ἄν, ἔφην ἐγώ. Τί γάρ, ἔφη, ἣν ὕλη πνίγῃ συνεξορμῶσα 14
τῷ σίτῳ, καὶ διαρπάζουσα τοῦ σίτου τὴν τροφήν, ὥσπερ οἱ
κηφῆνες διαρπάζουσιν, ἄχρηστοι ὄντες, τῶν μελισσῶν, ἃ ἂν
ἐκεῖναι ἐργασάμεναι τροφὴν καταθῶνται; Ἐκκόπτειν ἂν νὴ
Δία, ἔφην ἐγώ, δέοι τὴν ὕλην, ὥσπερ τοὺς κηφῆνας ἐκ τῶν
σμηνῶν ἀφαιρεῖν. Οὐκοῦν, ἔφη, εἰκότως σοι δοκοῦμεν ἐμβα- 15
λεῖν τοὺς σκαλέας; Πάνυ γε. Ἀτὰρ ἐνθυμοῦμαι, ἔφην ἐγώ,
ὦ Ἰσχόμαχε, οἷόν ἐστι τὸ εὖ τὰς εἰκόνας ἐπάγεσθαι. Πάνυ
γάρ σύ με ἐξώργισας πρὸς τὴν ὕλην, τοὺς κηφῆνας εἰπών, πολὺ
μᾶλλον, ἢ ὅτε περὶ αὐτῆς τῆς ὕλης ἔλεγες.

CAP. XVIII.

ΑΤΑΡ οὖν, ἔφην ἐγώ, ἐκ τούτου ἄρα θερίζειν εἰκός. Δί- 1
δασκε οὖν, εἴ τι ἔχεις, με καὶ εἰς τοῦτο. Ἦν μή γε φανῇς,

land. h. l. προστάγματα scribi maluit, ad Lysiam p. 532. ed. Reiskii. In Paris. A.C.D. προστατεῖν dant, sed margo A. dat προστάττειν.

13. τὴν γῆν ἄν,] Postremam particulam, quæ nec in priore membro addita legitur, deleri voluit Leonclav.

14. ἐργασάμεναι—καταθῶνται] Edd. vett. et Guelf. ἐργασόμεναι. Accentum in verbo mutavit Zeune ex Guelf. cum editum legeretur κατάθωνται.

νὴ Δία] Deinceps vulgo inseruntur verba τὴν τροφήν, quæ suadente Camerario, Brodæo et Zeunio, delevit Weiske; recte: sunt enim e superioribus temere repetita. Edd. vett. dant: νὴ Δία τὴν τροφὴν ἔφην δέοι τὴν ὕλην, ἐγώ. Codex Guelf. cum margine Villois. post ὕλην repetit ἔφην ἐγώ, quæ priore in loco omittunt Paris. A.D. qui cum edd. consentiunt in reliquis. Deinde διὰ τῶν σμηνῶν Paris. D.

15. ἐξώργισας] Guelf. ἐξώρμησας—ἢ ὅτι.

αὐτῆς τῆς ὕλης] De sola herba, non addita comparatione cum fucis.

ἔφη· καὶ εἰς τοῦτο ταὐτὰ ἐμοὶ ἐπιστάμενος. Ὅτι μὲν οὖν
τέμνειν τὸν σῖτον δεῖ, οἶσθα. Τί δ' οὐ μέλλω; ἔφην ἐγώ.
Πότερα οὖν τέμνεις, ἔφη, στὰς ἔνθα πνεῖ ἄνεμος, ἢ ἀντίος;
Οὐκ ἀντίος, ἔφην, ἔγωγε· χαλεπὸν γὰρ, οἶμαι, καὶ τοῖς ὄμ-
μασι καὶ ταῖς χερσὶ γίγνεται, ἀντίον ἀχύρων καὶ ἀθέρων θερί-
2 ζειν. Καὶ ἀκροτομοίης δ' ἂν, ἔφη, ἢ παρὰ γῆν τέμνοις; Ἢν
μὲν βραχὺς ᾖ ὁ κάλαμος τοῦ σίτου, ἔγωγ', ἔφην, κάτωθεν ἂν
τέμνοιμι, ἵνα ἱκανὰ τὰ ἄχυρα μᾶλλον γίγνηται. Ἐὰν δὲ
ὑψηλὸς ᾖ, νομίζω ὀρθῶς ἂν ποιεῖν μεσοτομῶν, ἵνα μήτε οἱ ἀλο-
ῶντες μοχθῶσι περιττὸν πόνον, μήτε οἱ λικμῶντες, ὧν οὐδὲν
προσδέονται. Τὰ δὲ ἐν τῇ γῇ λειφθὲν ἡγοῦμαι καὶ κατακαυ-
θὲν συνωφελεῖν ἂν τὴν γῆν, καὶ εἰς κόπρον ἐμβληθὲν τὴν κό-
3 προν συμπληθύνειν. Ὁρᾷς, ἔφη, ὦ Σώκρατες, ὡς ἁλίσκῃ
ἐπ' αὐτοφώρῳ καὶ περὶ θερισμοῦ εἰδὼς, ἅπερ ἐγώ; Κινδυνεύω,
ἔφην ἐγὼ, καὶ βούλομαί γε σκέψασθαι, εἰ καὶ ἀλοᾷν ἐπί-
σταμαι. Οὐκοῦν, ἔφη, τοῦτο μὲν οἶσθα, ὅτι ὑποζυγίοις ἀλο-
4 ῶσι τὸν σῖτον. Τί δ' οὐκ; ἔφην ἐγώ. Οἶσθα καὶ ὑποζύγιά

Cap. XVIII. 1. καὶ εἰς τοῦτο] Copulam καὶ omisit Priscianus p. 1174. ubi h. l. laudat.

σῖτον δεῖ] Edd. vett. Paris. A.C. D. et Guelf. σῖτον ἀεὶ, quod correxit Castalio.

οὖν τέμνεις] Paris. A.C.D. τέμνοις dant. Unde conjicio πότερον ἂν τέμνοις scribendum.

ταῖς χερσὶ] Guelf. τοῖς χερσί.

ἀθέρων] Edd. vett. cum Guelf. ἀνθέρων, sed in Guelf. correctum. Zeune ex Hesychio monet ἀθέρας et ἀνθέρικας de spiculis spicarum dictos fuisse. At debebat cognationem vocabulorum docere.

2. βραχὺς ᾖ] Verbum omittunt edd. vett.

ἱκανὰ—μᾶλλον] Ad quem usum, si longiora in agro relicta comburuntur? Sufficit igitur ἱκανὰ, ut δράγματα inde confieri possint. Retrahendum vocabulum ad τέμνοιμι.

Τὰ δὲ] Cum Weiskio δὲ pro τε scripsi, quanquam repugnante Zeunio.

3. ἀλοᾷν] Guelf. ἄλλο ἂν dat, ut supra καταπαμφθὲν pro κατακαυθέν.

ὑποζυγίοις] Edd. vett. lectionem ὑποζύγια mutavit Zeune. In Guelf. est ὑποζυγίῳ.

4. Οἶσθα καὶ] E margine Steph. Villois. Paris. A.C.D. et libro Guelf. οἶδα recepit Zeune; idem sequens τε in γε mutavit cum margine Steph. secundæ; denique καλούμενα πάντα e libro Guelf. et Paris. A.C.D. dedit. Totum membrum igitur Socratis personæ tribuit. Equidem ordinem personarum ex editione Weiskiana assumsi, sed in lectione displicet mihi τε inutilis copula, cum prius οἶσθα μὲν postulet hic reponi οἶσθα δέ: deinde ὑποζύγια πάντα καλούμενα hoc quidem ordine collocata sensum rei contrarium habent, *non omnia jumenta vocantur boves, muli et equi.* Sed omnia hæc quadrupedia animalia, veluti boves, muli et equi, comprehenduntur jumentorum nomine. Igitur ordinem libri Guelf. secutus sum cum Zeu-

τε καλούμενα πάντα ὁμοίως, βοῦς, ἡμιόνους, ἵππους. Οὐκ-
οῦν, ἔφη, ταῦτα μὲν ᾔδη τοσοῦτο μόνον εἰδέναι, πατεῖν τὸν σῖ-
τον ἐλαυνόμενα; Τί γὰρ ἂν ἄλλο, ἔφην ἐγὼ, ὑποζύγια εἰδείη;
Ὅπως δὲ τὸ δεόμενον κόψουσι, καὶ ὁμαλιεῖται ὁ ἀλοητὸς, τίνι 5
τοῦτο; ὦ Σώκρατες, ἔφη. Δῆλον, ὅτι, ἔφην ἐγὼ, τοῖς ἐπα-
λώσταις. Στρέφοντες γὰρ καὶ ὑπὸ τοὺς πόδας ὑποβάλλον-
τες τὰ ἄτριπτα ἀεὶ, δηλονότι μάλιστα ὁμαλίζοιεν ἂν τὸ δει-
νὸν, καὶ τάχιστα ἀνύτοιεν. Ταῦτα μὲν τοίνυν, ἔφη, οὐδὲν ἐμοῦ
λείπῃ γιγνώσκων. Οὐκοῦν, ἔφην ἐγὼ, ὦ Ἰσχόμαχε, ἐκ τού- 6
του δὴ καθαροῦμεν τὸν σῖτον λικμῶντες. Καὶ λέξον γέ μοι,
ὦ Σώκρατες, ἔφη ὁ Ἰσχόμαχος, ἦ οἶσθα, ὅτι, ἢν ἐκ τοῦ προσ-
ηνέμου μέρους τῆς ἅλω ἄρχῃ, δι' ὅλης τῆς ἅλω οἴσεταί σοι
τὰ ἄχυρα; Ἀνάγκη γὰρ, ἔφην ἐγώ. Οὐκοῦν εἰκὸς καὶ ἐπι- 7
πίπτειν, ἔφη, αὐτὰ ἐπὶ τὸν σῖτον. Πολὺ γάρ ἐστιν, ἔφην
ἐγὼ, τὸ ὑπερενεχθῆναι τὰ ἄχυρα ὑπὲρ τὸν σῖτον εἰς τὸ κενὸν
τῆς ἅλω. Ἢν δέ τις, ἔφη, λικμᾷ ἐκ τοῦ ὑπηνέμου ἀρχόμενος;
Δῆλον, ἔφην ἐγὼ, ὅτι εὐθὺς ἐν τῇ ἀχυροδόκῃ ἔσται τὰ ἄχυρα.
Ἐπειδὰν δὲ καθάρῃς, ἔφη, τὸν σῖτον μέχρι τοῦ ἡμίσεως τῆς 8
ἅλω, πότερον εὐθὺς οὕτω κεχυμένου τοῦ σίτου λικμήσεις τὰ

nio. Equidem cum Guelf. malim τί δ' οὐκ, ἔφην ἐγὼ, οἶδα; καὶ etc.

Οὐκοῦν, ἔφη,] Guelf. ἔφην. Deinde idem cum edd. ant. εἰδείη.

5. ὁμαλιεῖται] Guelf. ὁμαλοεῖται. deinde ἀλοατὸς margo Steph. cum Paris. A.C.D. ἀλοτὸς margo Villois.

τίνι τοῦτο] Sic Stephanus scripsit pro τούτῳ, male tamen post τοῦτο intelligens δῆλον omissum. Leonclavii versio habet *cuinam hoc tribuis?* Unde Bachius δῶμεν, Zeune ποιοῦσι, melius προσήκει Weiske interpretando addunt. Omissio tamen dura mihi videtur verbi.

ἐπαλώσταις] Male Index Zeunianus *trituratores* interpretatur. Antecedens ἐγὼ omittit Guelf.

τὸ δεινὸν] *Durius molestiusque ad conculcandum* interpretatur Weiske, ne Leonclavii δεόμενον, vel Zeunii δέον, vel denique Ruhnkenii δῖνον, i. e. frumentum in ore jacens, adsumere cogeretur. Proximum vitiosæ lectioni est vocabulum δῖνον, quod *triturationem in gyrum actis bobus factam* significat. Sequens ἀνύτοιεν Valckenær in ἀγνύοιεν mutari voluit ad Ammonium p. 22. quo non adeo opus est.

6. ἦ οἶσθα] Ita cum Castal. Zeune. Edd. vett. cum Guelf. ἦ, quod Leonclavius in εἰ mutavit probante Bachio et Welsio.

7. Πολὺ γάρ ἐστιν] Quæ sit horum verborum structura et sententia, equidem non video, nec interpretes dixerunt. Suspicor verba aliquot excidisse, et scriptum fuisse olim: πολὺ γάρ ἐστιν, ἔφην ἐγὼ, τοῦτο μᾶλλον εἰκὸς, ἢ τὸ ὑπερενεχθῆναι et reliqua.

Ἢν—λικμᾷ] Guelf. λικμῶν dat.

8. τοῦ ἡμίσεως] Edd. vett. τῆς ἡμίσεως. rectum dat etiam margo Villois. deinceps λικμήσῃς Guelf.

ἄχυρα τὰ λοιπά, ἢ συνώσας τὸν καθαρὸν πρὸς τὸν πόλον ὡς εἰς στενώτατον; Συνώσας νὴ Δί', ἔφην ἐγώ, τὸν καθαρὸν σῖτον, ἵν' ὑπερφέρηταί μοι τὰ ἄχυρα εἰς τὸ κενὸν τῆς ἅλω, καὶ μὴ
9 δὶς ταυτὰ ἄχυρα δέῃ λικμᾶν. Σὺ μὲν δὴ ἄρα, ἔφη, ὦ Σώκρατες, σῖτόν γε ὡς ἂν τάχιστα καθαρὸς γένοιτο, κἂν ἄλλον δύναιο διδάσκειν. Ταῦτα τοίνυν, ἔφην ἐγώ, ἐλελήθειν ἐμαυτὸν ἐπιστάμενος καὶ πάλαι. Ἐννοῶ ἄρα, εἰ λέληθα καὶ χρυσοχοεῖν καὶ αὐλεῖν καὶ ζωγραφεῖν ἐπιστάμενος. Ἐδίδαξε γὰρ οὔτε ταῦτά με οὐδεὶς, οὔτε γεωργεῖν· ὁρῶ δ', ὥσπερ γεωργοῦν-

τὰ ἄχυρα τὰ λοιπὰ] *Grana glumis et paleis inclusa vel permista:* sed mox ἄχυρα τὰ αὐτὰ λικμᾶν est *easdem paleas depurgare.* Λικμᾶν dicebatur etiam ἰκμᾶν. Hesychius ἰκμᾶν, λικμᾶν, σῖτον καθαίρειν. Idem ἰκμῶντο, ἐσείοντο, ἐπνέοντο. Idem ἀνικλώμενον, ἀνακαθαιρόμενον. ubi recte corrigunt ἀνικμώμενον. Plato in Timæo p. 350. τὰ δὲ κινούμενα ἄλλα ἄλλοσε ἀεὶ φέρεσθαι διακρινόμενα, ὥσπερ τὰ ὑπὸ τῶν πλοκάνων τε καὶ ὀργάνων τῶν περὶ τὴν τοῦ σίτου κάθαρσιν σειόμενα καὶ ἀναλικμώμενα. ubi Ruhnkenius ex Lexico Sangerm. restituit antiquam scripturam ἀνικμώμενα, quam ipsam exhibet Codex Tubingensis. Hinc Hesychii glossam ἀφικλῶντο, ἀπεσείοντο, ἀποελῶντο, recte corrigit Hemsterhusius ἀφικμῶντο—ἀπηλοῶντο. Idem denique Hesychius: ἀπικμῶντο, ἀπεψῶντο. quod potest etiam trahi ad verbum ἰκμάω, ἰκμαίνω, madefacio, lavo.

πρὸς τὸν πόλον] Edd. vett. πόλιν. πόλον habet margo Villois. Camerarii conjecturam πρὸς τοὔμπαλιν *retro* probavit cum Leonclavio Welsius. Ernesti πρὸς τὸν πολλοστὸν vel τὸ πολλοστὸν conjicit, intellecto τόπον vel μέρος. Strebæus *acervum,* σωρὸν, interpretatus est. Zeune πόλον *arvum* interpretatur, secundum sermonis Græci usum, qui in πολεῖν, ἀναπολεῖν, τρίπολος γῆ spectatur. Sed vocabuli significatio ea nuspiam obvia est. Portus ex Suida, qui πόλον, τὸ περιέχον ἅπαν interpretatur, πόλον h. l. τόπον τὸν περιέχοντα, *extremam lineam, oram, quæ ambit et undequaque terminat aream,* putat esse; cui accedit Weiske. Gallus Villebrune apud Galium θολὸν conjiciebat, quod ipsum vocabulum est in margine Paris. D. scriptum. εἰς τὸν κενὸν habet Codex A. Mihi sic videtur. Ut polus terræ axis dicitur apud Varronem, sic palus in media area rotunda defixus, circa quem aguntur in gyrum jumenta, πόλος dicitur. Eum pangunt hodieque in area media eique equos alligant incolæ Chersonesi Tauricæ (Krym) monente Pallas, (Neue Reisen tom. ii. p. 401.) Pictura apposita p. 345. modum docet. Aream rotundam medio paulo extumidam, et in agri loco sublimiori sitam habes apud Varronem R. R. i. 51. ubi vide annotata.

9. καὶ πάλαι. Ἐννοῶ] Guelf. ἐπιστάμενος· καὶ πάλαι ἐννοῶ ἄρα distinguit. Paris. A. ἐλελήθην dat.

Ἐδίδαξε γὰρ] Guelf. ἐδίδαξέ με γὰρ habet; ex eodem et Paris. A.C.D. οὔτε γεωργεῖν recepit Zeune pro vulgato οὕτω γεωργεῖν, quod Stephanus mutari voluit in οὔπω.

ὁρῶ δ'—ἀνθρώπους] Quo pertineant hæc, equidem comminisci non possum. ἄλλας τέχνας cur commemorat, qui antea χρυσοχόους, αὐλητὰς et ζωγράφους tantum nominaverat? Adscripsit Zeune ad verba καὶ τὰς ἄλλας

τας, καὶ τὰς ἄλλας τέχνας ἐργαζομένους ἀνθρώπους. Οὐκ- 10
οῦν, ἔφη ὁ Ἰσχόμαχος, ἔλεγον ἐγώ σοι πάλαι, ὅτι καὶ ταύτη
εἴη γενναιοτάτη ἡ γεωργικὴ τέχνη, ὅτι καὶ ῥάστη ἐστὶ μαθεῖν.
Ἄγε δὴ ἔφην ἐγὼ, οἶδα, Ἰσχόμαχε· τὰ μὲν δὴ ἀμφὶ σπόρον
[ἐπιστάμενος] ἄρα ἐλελήθειν ἐμαυτὸν ἐπιστάμενος.

CAP. XIX.

ΕΣΤΙΝ οὖν, ἔφην ἐγὼ, τῆς γεωργικῆς τέχνης καὶ ἡ τῶν 1
δένδρων φυτεία; Ἔστι γὰρ οὖν, ἔφη ὁ Ἰσχόμαχος. Πῶς ἂν
οὖν, ἔφην ἐγὼ, τὰ μὲν ἀμφὶ τὸν σπόρον ἐπισταίμην, τὰ δ'
ἀμφὶ τὴν φυτείαν οὐκ ἐπίσταμαι; Οὐ γὰρ σὺ, ἔφη ὁ Ἰσχό- 2
μαχος, ἐπίστασαι; Πῶς; ἐγὼ ἔφην, ὅστις μήτ' ἐν ὁποίᾳ
τῇ γῇ δεῖ φυτεύειν οἶδα, μήτε ὁπόσον βάθος ὀρύττειν τὸ φυ-
τὸν, μήτε ὁπόσον πλάτος, μήτε ὁπόσον μῆκος τὸ φυτὸν ἐμ-
βαλεῖν, μήτε ὅπως ἂν ἐν τῇ γῇ κείμενον τὸ φυτὸν μάλιστ'
ἂν βλαστάνοι. Ἴθι δὴ, ἔφη ὁ Ἰσχόμαχος, μάνθανε, ὅ τι μὴ 3
ἐπίστασαι. Βοθύνους μὲν γὰρ οἵους ὀρύττουσι τοῖς φυτοῖς,
οἶδ' ὅτι ἑώρακας, ἔφη. Καὶ πολλάκις ἔγωγε, ἔφην. Ἤδη
τινὰ οὖν αὐτῶν εἶδες βαθύτερον τριπόδου; Οὐδὲ, μὰ Δί',
ἔγωγ', ἔφην, πενθημιποδίου. Τί δὲ, τὸ πλάτος ἤδη τινὰ τρι-
πόδου πλέον εἶδες; Οὐδὲ, μὰ Δί', ἔφην, ἐγὼ διπόδου. Ἴθι 4
δὴ, ἔφη, καὶ τόδε ἀπόκριναί μοι, ἤδη τινὰ εἶδες τὸ βάθος

vocabulum οὕτω, quasi interpretandi causa. Sed quam rationem in exercendis illis artibus Xenophontem spectasse judicaverit, non addidit. An fuit olim ταύτας τὰς τέχνας scriptum? Vide annotanda ad cap. xix. sect. 16.

10. Ἄγε δὴ—Ἰσχόμαχε] H. Stephanus probante Bachio Τἄγε δὴ i. e. ταῦτα δὴ scribi voluit; sed totum membrum hoc orationis alienum esse censeo ab hoc loco. In Guelf. ἄγε ex correctione est; antea fuit ἴγε vel ἔγε. In Paris. A.C.D. est οἶδα ὦ Ἰσχόμαχε.

[ἐπιστάμενος] Repetitum participium seclusi. Sequens ἄρα ad sequentia refert Zeune, mihi importunum et inutile visum.

Cap. XIX. 1. Ἔστιν οὖν] Guelf. ἔστισ' οὖν dat. Paris. C.D. ἔστι δ' οὖν.

2. γῇ δεῖ] Omisit δεῖ Juntina, post φυτεύειν inseruit Castalio.

ὀρύττειν τὸ φυτὸν] Planta non foditur, sed terra, in qua plantatur. Igitur τὸ φυτὸν ex sequentibus alienum in locum immigrarunt.

ὅπως ἂν] Edd. vett. cum Paris. A. C.D. ὅπως ἐὰν, Guelf. ἐᾶν dat.

3. πολλάκις ἔγωγε, ἔφην] Male vulgo distinguitur πολλάκις, ἔγωγε ἔφην. ut postea sect. 4. ἔφην ἔγωγε, τριημιποδίου, et statim hac ipsa sectione. Sequens εἶδες omittit Paris. C.

πενθημιποδίου] Juntina πενθημιτριδίου.

ἐλάττονα ποδιαίου; Οὐδὲ, μὰ Δί', ἔφην, ἔγωγε τριημιπο-
δίου. Καὶ γὰρ ἐξορύττοιτο ἂν σκαπτόμενα, ἔφην ἐγὼ, τὰ
5 φυτὰ, εἰ λίαν γε οὕτως ἐπιπολῆς πεφυτευμένα εἴη. Οὐκοῦν
τοῦτο μὲν, ἔφη, ὦ Σώκρατες, ἱκανῶς οἶσθα, ὅτι οὔτε βαθύτε-
ρον πενθημιποδίου ὀρύττουσιν, οὔτε βραχύτερον τριημιποδίου.
Ἀνάγκη γὰρ, ἔφην ἐγὼ, τοῦτο ὁρᾶσθαι, οὕτω καταφανὲς ὄν.
6 Τί δὲ, ἔφη, ξηροτέραν καὶ ὑγροτέραν γῆν γιγνώσκεις ὁρῶν;
Ξηρὰ μὲν γοῦν μοι δοκεῖ, ἔφην ἐγὼ, εἶναι ἡ περὶ τὸν Λυκα-
βηττὸν, καὶ ἡ ταύτῃ ὁμοία· ὑγρὰ δὲ, ἡ ἐν τῷ Φαληρικῷ ἕλει,
7 καὶ ἡ ταύτῃ ὁμοία. Πότερα οὖν, ἔφη, ἐν τῇ ξηρᾷ ἂν βαθὺν
ὀρύσσοις βόθρον τῷ φυτῷ, ἢ ἐν τῇ ὑγρᾷ; Ἐν τῇ ξηρᾷ νὴ Δί',
ἔφην ἐγώ· ἐπεὶ ἔν γε τῇ ὑγρᾷ ὀρύττων βαθὺν, ὕδωρ ἂν εὑρί-
σκοις, καὶ οὐκ ἂν δύναιο ἔτι ἐν ὕδατι φυτεύειν. Καλῶς μοι
δοκεῖς, ἔφη, λέγειν. Οὐκοῦν ἐπειδὰν ὀρωρυγμένοι ὦσιν οἱ βό-
8 θροι, ὁπηνίκα δεῖ τιθέναι ἑκάτερα τὰ φυτὰ, ἤδη εἶδες; Μά-
λιστα, ἔφην ἐγώ. Σὺ οὖν βουλόμενος ὡς τάχιστα φῦναι
αὐτὰ, πότερον ὑποβαλὼν ἂν τῆς γῆς τῆς εἰργασμένης οἴει τὸν
βλαστὸν τοῦ κλήματος θᾶττον χωρεῖν διὰ τῆς μαλακῆς, ἢ διὰ
τῆς ἀργοῦ εἰς τὸ σκληρόν; Δῆλον, ἔφην ἐγὼ, ὅτι διὰ τῆς εἰρ-
9 γασμένης θᾶττον ἂν ἢ διὰ τῆς ἀργοῦ βλαστάνοι. Οὐκοῦν
ὑποβλητέα ἂν εἴη τῷ φυτῷ γῆ. Τί δ' οὐ μέλλει; ἔφην ἐγώ.
Πότερα δὲ ὅλον τὸ κλῆμα ὀρθὸν τιθεὶς πρὸς τὸν οὐρανὸν βλέπον

4. ποδιαίου] Sic pro vulgato διποδιαίου cum Juntina, Camerario et Leonclavio scripsit Zeune.

ἐξορύττοιτο] Guelf. ἐξορύττοιντο.

5. πενθημιποδίου] Paris. A. πενθημιποδιαίου dat. Margo Steph. πενθημιπόδου, et mox cum Guelf. τριημιπόδου. Huc respexit Plinius xvii. sect. 16. *Eadem mensura Græci auctores consentiunt non altiores quino semipede esse debere, nec latiores duobus pedibus: nusquam vero sesquipede minus altos, quoniam in humido solo ad vicina aquæ perveniat.*

ὁρᾶσθαι] Ex Guelf. γε adjunxit Zeune, ut est etiam in Paris. A.C.D. additum, quod adverbio οὕτω melius addetur. οὕτω Juntina omisit. Montem Λυκαβητὸν Paris. C.D. a prima manu scriptum habent.

7. ὁπηνίκα—εἶδες] Hæc esse vitiosa, manifestum esse potest et debet ei, qui meminerit oculorum judicio non dirimi quæstionem, ὁπηνίκα δεῖ τιθέναι τὰ φυτά. Deinde ἑκάτερα τὰ φυτὰ non possunt esse utriusque generis plantæ: de his enim hucusque non erat disputatum. Recte igitur Weiske ἐν ἑκατέρᾳ scilicet γῇ præferebat. Lacunam igitur subesse recte suspicatus est etiam Weiske.

8. ὡς τάχιστα] Paris. C. ἂν τάχιστα, vel potius τάχυστα. Deinde τοῦ ἀργοῦ idem liber habet cum D.

ἡ γῆ μᾶλλον ἂν ῥιζοῦσθαι αὐτὸ, ἢ καὶ πλάγιόν τι ὑπὸ τῇ ὑπο-
βεβλημένῃ γῇ θείης ἂν, ὥστε κεῖσθαι ὥσπερ γάμμα ὕπτιον;
Οὕτω νὴ Δία· πλείονες γὰρ ἂν οἱ ὀφθαλμοὶ κατὰ γῆς εἶεν· 10
ἐκ δὲ τῶν ὀφθαλμῶν καὶ ἄνω ὁρῶ βλαστάνοντα τὰ φυτά.
Καὶ τοὺς κατὰ τῆς γῆς οὖν ὀφθαλμοὺς ἡγοῦμαι τὸ αὐτὸ τοῦτο
ποιεῖν. Πολλῶν γὰρ φυομένων βλαστῶν κατὰ τῆς γῆς, τα-
χὺ ἂν καὶ ἰσχυρὸν τὸ φυτὸν ἡγοῦμαι βλαστάνειν. Ταυτὰ 11
τοίνυν, ἔφη, καὶ περὶ τούτων γιγνώσκων ἐμοὶ τυγχάνεις.
Ἐπαμήσαιο δ' ἂν μόνον, ἔφη, τὴν γῆν, ἢ καὶ σάξαις ἂν εὖ
μάλα περὶ τὸ φυτόν; Σάττοιμ' ἂν, ἔφην, νὴ Δί', ἐγώ. Εἰ
μὲν γὰρ μὴ σεσαγμένον εἴη, ὑπὸ μὲν τοῦ ὕδατος εὖ οἶδ' ὅτι
πηλὸς ἂν γίγνοιτο ἡ ἄσακτος γῆ, ὑπὸ δὲ τοῦ ἡλίου ξηρὰ μέχρι
βυθοῦ, ὥστε τὰ φυτὰ κίνδυνος ὑπὸ μὲν τοῦ ὕδατος σήπεσθαι

9. *πλάγιόν τι*] Paulum obliqua, quem situm natura approbat et scriptorum consensus.

ὑπὸ τῇ ὑποβεβλημένῃ] Videtur esse debere *ἐπὶ*, si terra subjecta est. *γῇ* omittit Juntina cum Guelf.

γάμμα ὕπτιον] Litera gamma supina seu inversa in formam literæ Latinæ L.

10. *κατὰ γῆς*] Paris. C.D. et margo Villois. *κατὰ τῆς γῆς*.

βλαστῶν κατὰ τῆς γῆς] Præpositionem h. l. necessariam retraxi ex eo loco, ubi erat aliena. Initio enim sequentis sectionis erat *Κατὰ ταυτὰ τοίνυν* et cet. Ceterum *πολλῶν γὰρ* cum Stephano dedit Weiske, *πολλῶν δὲ* cum Strebæo interprete Zeune; edd. vett. cum Guelf. *πολλῶν γε*, Castal. *καὶ πολλῶν γε*. In Guelf. *βλαστῶν* est in litura scriptum.

11. *γιγνώσκων*] Guelf. *γινώσκων*. In Paris. A.C.D. est *κατὰ ταῦτα τοίνυν καὶ περὶ τούτων ἔφη*.

Σάττοιμ' ἄν, ἔφην, νὴ Δία ἐγώ. εἰ μὲν γὰρ μὴ σεσαγμένον εἴη, ὑπὸ μὲν τοῦ ὕδατος εὖ οἶδ' ὅτι πηλὸς ἂν γίγνοιτο ἡ ἄσακτος γῆ, ὑπὸ δὲ τοῦ ἡλίου ξηρὰ μέχρι βυθοῦ, ὥστε τὰ φυτὰ κίνδυνος ὑπὸ μὲν τοῦ ὕδατος σήπεσθαι μὲν δι' ὑγρότητα, αὐαίνεσθαι δὲ διὰ ξηρότητα ἤγουν χαυνότητα τῆς γῆς, θερμαινομένων τῶν ῥιζῶν.] Primo delendum *μέν* post *εἰ*, quod librarii solent temere ante *γάρ* inferre. Deinde de tota est sententia videndum, in qua vitium nemo non agnoscat. Indigna enim hujus ætatis scriptore *ἤγουν* particula, infimorum sæculorum magistris relinquenda. Sensisse hoc etiam Schneiderum puto, qui suis rationibus ductus sic hunc locum constituit ut eadem eum liberaret: *ὥστε τὰ φυτὰ κίνδυνος σήπεσθαι μὲν δι' ὑγρότητα, αὐαίνεσθαι δὲ διὰ ξηρότητα, θερμαινομένων διὰ χαυνότητα τῆς γῆς τῶν ῥιζῶν.* Sed hujus quidem errores natamque ex eis pravam correctionem refutare longum est, Tantum hoc moneo, omni experentiæ adversari quas duas res ponit tanquam certissimas, unam, calore demum ad humiditatem accedente plantarum putrefactionem, aut si calor prævaluerit, arefactionem sequi; alteram, *ὑγρότητος* et *ξηρότητος* plantarum quum prima caussa sit *χαυνότης τῆς γῆς*, illa *ἤγουν χαυνότητα τῆς γῆς* male apponi *ξηρότητι*, quippe quæ non minus ad *ὑγρότητα* pertineant. Enimvero falsum

μὲν δι' ὑγρότητα, αὐαίνεσθαι δὲ διὰ ξηρότητα, ἤγουν χαυνότητα
12 τῆς γῆς, θερμαινομένων τῶν ῥιζῶν. Καὶ περὶ ἀμπέλων ἄρα σύ γε, ἔφη, φυτείας, ὦ Σώκρατες, τὰ αὐτὰ ἐμοὶ πάντα γιγνώσκων τυγχάνεις. Ἦ καὶ συκῆν, ἔφην ἐγώ, οὕτω δεῖ φυτεύειν; Οἶμαι δ', ἔφη ὁ Ἰσχόμαχος, καὶ τἄλλα ἀκρόδρυα πάντα. Τῶν γὰρ ἐν τῇ τῆς ἀμπέλου φυτείᾳ καλῶς ἐχόντων
13 τί ἂν ἀποδοκιμάσαις εἰς τὰς ἄλλας φυτείας; Ἐλαίαν δὲ πῶς, ἔφην ἐγώ, φυτεύσομεν; ὦ Ἰσχόμαχε. Ἀποπειρᾷ μου, καὶ τοῦτο, ἔφη, μάλιστα πάντων ἐπιστάμενος. Ὁρᾷς μὲν γὰρ δή, ὅτι βαθύτερος ὀρύσσεται τῇ ἐλαίᾳ βόθρος. Καὶ γὰρ παρὰ τὰς ὁδοὺς μάλιστα ὀρύσσεται. Ὁρᾷς δ', ὅτι πρέμνα πᾶσι τοῖς φυτευτηρίοις πρόσεστιν. Ὁρᾷς δ', ἔφη, τῶν φυτῶν

est laxam terram tam humidam quam exsiccatam χαύνην esse. Nam uda quum est et limosa, est illa permeatu quidem facillima, sed non hiat tamen, ut exsiccata, aut rimas ducit, quæ sola dici χαυνότης potest. Ego nil nisi extrema hujus loci mutanda in hunc modum puto: αὐαίνεσθαι δὲ διὰ ξηρότητα, διὰ χαυνότητα τῆς γῆς θερμαινομένων τῶν ῥιζῶν. DIND.

ἤγουν χαυνότητα] Miror interpretum silentium. ξηρότης est proxima causa τοῦ αὐαίνεσθαι, ut ὑγρότης, humiditas, τοῦ σήπεσθαι: utriusque autem effectus causa prima est ἡ χαυνότης τῆς γῆς, laxitas terræ, opposita calcatæ et densæ. Igitur inepte verba ἤγουν χαυνότητα apponuntur veræ arefactionis causæ, quasi ea dubia esse possit aut varia. Porro si concinnitatis rationem habemus, fit manifestum, verba ὑπὸ μὲν τοῦ ὕδατος ante σήπεσθαι non habere in altero membro, quæ sibi respondeant; debebat enim sequi αὐαίνεσθαι δ' ὑπὸ τοῦ ἡλίου διὰ ξηρότητα. At enim vero hæc esset ineptissima tautologia. Deinde ratio structuræ verborum demonstrat, verba suspecta ὑπὸ μὲν τοῦ ὕδατος esse ex superiore membro repetita a librario; geminum enim μὲν hic locum non habet. Corrigo igitur ὥστε τὰ φυτὰ κίνδυνος σήπεσθαι μὲν δι' ὑγρότητα, αὐαίνεσθαι δὲ διὰ ξηρότητα, θερμαινομένων διὰ χαυνότητα τῆς γῆς τῶν ῥιζῶν. Scilicet calore demum accedente ad humiditatem sequitur putrefactio, aut, si calor prævaluerit, arefactio plantarum.

12. περὶ ἀμπέλων] Miratur nomen Weiske, cum de vitibus antea mentio non sit facta. Sed mentio latet in vocabulo φυτὸν et φυτεύειν. Illud enim, uti φυταλιὴ apud Homerum, de vite præcipue dicitur. Deinde sectione 8. et 9. κλῆμα nominatur, quod de sola vite usurpatur.

γιγνώσκων] Guelf. γινώσκων.

ἐχόντων τί] Comma post ἐχόντων recte sustulit Weiske, quo sententia loci obscurabatur, male a Zeunio explicata.

13. Ἀποπειρᾷ μου, καὶ τοῦτο] Post μου posui comma. Pro καὶ Weiskiana dedit γὰρ, errore, puto, operarum.

γὰρ δή] Edd. vett. γὰρ ἄν, ut Paris. A. γὰρ ὅτι C.D.

φυτευτηρίοις] Pars inferior viviradicum ita dicitur. Geoponica ix. 11, 6. οἱ δὲ τὰ γενναιότατα τῶν παραφυάδων μετὰ τοῦ πρέμνου φυτεύουσι, cum parte radicis vel caudicis. Plantarium ita dixit Palladius Aprilis iii. 5.

πηλὸν ταῖς κεφαλαῖς πάσαις ἐπικείμενον, καὶ πάντων τῶν φυτῶν ἐστεγασμένον τὸ ἄνω; Ὁρῶ, ἔφην ἐγώ, ταῦτα πάντα. 14
Καὶ ὁρῶν δή, ἔφη, τί αὐτῶν οὐ γιγνώσκεις; ἢ τὸ ὄστρακον ἀγνοεῖς, ἔφη, ὦ Σώκρατες, πῶς ἂν ἐπὶ τοῦ πηλοῦ ἄνω καταθείης; Μὰ τὸν Δί', ἔφην ἐγώ, οὐδὲν, ὧν εἶπας, ὦ Ἰσχόμαχε, ἀγνοῶ· ἀλλὰ πάλιν ἐννοῶ, τί ποτε, ὅτε πάλαι ἤρου με συλλήβδην, εἰ ἐπίσταμαι φυτεύειν, οὐκ ἔφην. Οὐ γὰρ ἐδόκουν ἔχειν ἂν εἰπεῖν οὐδὲν, ᾗ δεῖ φυτεύειν· ἐπεὶ δέ με καθ' ἓν ἕκαστον ἐπεχείρησας ἐρωτᾷν, ἀποκρίνομαί σοι, ὡς σὺ φῄς, ἅπερ σὺ γιγνώσκεις ὁ δεινὸς λεγόμενος γεωργός. Ἆρα, ἔφην, ὦ 15
Ἰσχόμαχε, ἡ ἐρώτησις διδασκαλία ἐστίν; ἄρτι γὰρ δή, ἔφην ἐγώ, καταμανθάνω, ᾗ με ἐπηρώτησας ἕκαστα· ἄγων γάρ με δι' ὧν ἐγὼ ἐπίσταμαι, ὅμοια τούτοις ἐπιδεικνὺς, ἃ οὐκ ἐνόμιζον ἐπίστασθαι, ἀναπείθεις, οἶμαι, ὡς καὶ ταῦτα ἐπίσταμαι.
Ἆρ' οὖν, ἔφη ὁ Ἰσχόμαχος, καὶ περὶ ἀργυρίου ἐρωτῶν ἄν σε, 16
πότερον καλὸν ἢ οὔ, δυναίμην ἄν σε πεῖσαι, ὡς ἐπίστασαι διαδοκιμάζειν τὰ καλὰ καὶ τὰ κίβδηλα ἀργύρια; καὶ περὶ αὐλητῶν μὴ δυναίμην ἀναπεῖσαι, ὡς ἐπίστασαι αὐλεῖν; καὶ

πηλὸν] Fimo et cinere mistis oblinit et muscum pro testa superponit Columella xi. 2, 42.

14. γιγνώσκεις] Guelf. γινώσκεις. Sic et Paris. C. omisso αὐτῶν, sed in margine addito. Deinde idem dat τὸ ὄστρακον, ἔφη, ἀγνοεῖς;

πάλιν ἐννοῶ] Respicit sect. 9. capitis antecedentis.

πάλαι ἤρου] Quod Hindenburg conjectura erat assecutus et cum Zeunio probaverat Weiske, dare Codex Paris. A. pro vulgato πάλιν dicebatur antea, sed nunc diligentius excussus ab ipso Galio nihil variare repertus est. Pro ἐννοῶ Guelf. dat εἰγνοῶ.

ὡς σὺ φῄς] Guelf. ὡς δὴ φῄς. Deinde γινώσκεις Guelf.

15. ὅμοια τούτοις] Cum Leonclavio ὅμοιά τε aut καὶ ὅμοια scribendum censeo. Antecedens ἐγὼ omittit Paris. C.

ἀναπείθεις] Ita vulgatum ἀναπεισθεὶς correxit cum Castal. Leoncl. Contra Stephanus ἀνεπείσθην malebat scribi.

16. περὶ αὐλητῶν] Stephanus addidit ἐρωτῶν, quod commode repetitur cogitatione.

μὴ δυναίμην] Castalio μὴν dedit, Welsius ἂν addi voluit. Zeunius μὴ interpretatur *num*, quod fieri posse in hac verborum junctura non puto. Igitur aliud vocabulum desidero. Ceterum respicit locum cap. xviii. sect. 9. ἐννοῶ ἄρα, εἰ λέληθα καὶ χρυσοχοεῖν καὶ αὐλεῖν καὶ ζωγραφεῖν ἐπιστάμενος. Hinc patet quod fuerit opus χρυσοχόου. Hic est idem qui ab argento dignoscendo ἀργυρογνώμων dicitur. Alio sensu dicitur χρυσοχοεῖν in proverbio Attico, σὺ δ' ᾠὸν χρυσοχοήσειν, cujus originem ex Harpocratione illustrabo ad Xenoph. de Vectigal. iv. 15.

ἂν δυναίμην.] Vulgo μὴ δυναίμην. DIND.

περὶ ζωγράφων καὶ τῶν ἄλλων τοιούτων; Ἴσως ἄν, ἔφην ἐγώ.
Ἐπειδὴ καὶ γεωργεῖν ἀνέπεισάς με, ὡς ἐπιστήμων εἴην, καί-
περ εἰδότα, ὅτι οὐδεὶς πώποτέ με ἐδίδαξε ταύτην τὴν τέχνην.
17 Οὐκ ἔστι ταῦτ', ἔφη, ὦ Σώκρατες· ἀλλ' ἐγὼ καὶ πάλαι σοι
ἔλεγον, ὅτι ἡ γεωργία οὕτω φιλάνθρωπός ἐστι καὶ πραεῖα τέ-
χνη, ὥστε καὶ ὁρῶντας καὶ ἀκούοντας ἐπιστήμονας εὐθὺς ἑαυ-
18 τῆς ποιεῖν. Πολλὰ δ', ἔφη, καὶ αὐτὴ διδάσκει, ὡς ἂν κάλ-
λιστά τις αὐτῇ χρῷτο. Αὐτίκα ἄμπελος ἀναβαίνουσα μὲν
ἐπὶ τὰ δένδρα, ὅταν ἔχῃ τι πλησίον δένδρον, διδάσκει ἱστάναι
αὐτήν· περιπεταννύουσα δὲ τὰ οἴναρα, ὅταν ἔτι αὐτῇ ἁπαλοὶ
οἱ βότρυες ὦσι, διδάσκει σκιάζειν τὰ ἡλιούμενα ταύτην τὴν
19 ὥραν· ὅταν δὲ καιρὸς ᾖ ὑπὸ τοῦ ἡλίου ἤδη γλυκαίνεσθαι τὰς
σταφυλάς, φυλλοῤῥοοῦσα διδάσκει ἑαυτὴν ψιλοῦν, καὶ πεπαί-
νειν τὴν ὀπώραν· διὰ πολυφορίαν δὲ τοὺς μὲν πέπονας δεικνύ-
ουσα βότρυς, τοὺς δὲ ἔτι ὠμοτέρους φέρουσα, διδάσκει τρυγᾶν
ἑαυτήν, ὥσπερ τὰ σῦκα συκάζουσι, τὸ ὀργῶν ἀεί.

CAP. XX.

1 ΕΝΤΑΥΘΑ δὴ ἐγὼ εἶπον, πῶς οὖν, ὦ Ἰσχόμαχε, εἰ οὕτω γε ῥάδιά ἐστι μαθεῖν τὰ περὶ τὴν γεωργίαν, καὶ πάντες ὁμοίως ἴσασιν, ἃ δεῖ ποιεῖν, οὐχὶ καὶ πάντες πράττουσιν ὁμοίως, ἀλλ' οἱ μὲν αὐτῶν ἀφθόνως τε ζῶσι, καὶ περισσὰ ἔχουσιν, οἱ δ' οὐδὲ τὰ ἀναγκαῖα δύνανται πορίζεσθαι, ἀλλὰ καὶ προσοφείλουσιν;

καὶ τῶν ἄλλων τοιούτων] Codex Lips. cum margine Villois. καὶ περὶ τῶν ἄλλων τῶν τοιούτων. recte, puto. In Paris. A.C.D. est καὶ περὶ τῶν ἄλλων τοιούτων.

με ἐδίδαξε] Paris. A.C.D. ἐδίδαξέ με dant.

18. ἐπὶ τὰ δένδρα] Juntina ἐπὶ omittit, et deinceps τι una cum Guelf.

19. γλυκαίνεσθαι] Cicero apud Nonium: *cum vero affecta jam prope æstate uvas a sole mitescere tempus est.*

τὴν ὀπώραν] Guelf. τὰς ὀπώρας dat, male τὰ ὀπώρα inde refert Zeune.

διὰ πολυφορίαν δὲ] Hæc verba Juntina cum Guelf. omisit: hinc in Castal. est καὶ τοὺς μὲν πέπονας et cet. Deinceps Guelf. σκιάζουσι habet.

τὸ ὀργῶν] Huic loco convenit interpretatio ἀκμάζειν, quam verbo ὀργᾷν, et ἀκμάζον, quam vocabulo ὀργὰς apposuit Hesychius. Proprie Herodotus iv. 199. πρῶτα μὲν γὰρ τὰ παραθαλάσσια τῶν καρπῶν ὀργᾷ ἀμᾶσθαί τε καὶ τρυγᾶσθαι. et mox: καὶ ὁ ἐν τῇ κατυπερτάτῃ τῆς γῆς πεπαίνεταί τε καὶ ὀργᾷ.

Cap. XX. 1. οὕτω γε ῥᾴδια] Codex Lips. cum Paris. A.C.D. οὕτω γε καὶ ῥᾴδια.

Ἐγὼ δή σοι λέξω, ὦ Σώκρατες, ἔφη ὁ Ἰσχόμαχος. Οὐ γὰρ 2
ἡ ἐπιστήμη, οὐδ᾽ ἡ ἀνεπιστημοσύνη τῶν γεωργῶν ἐστιν ἡ ποι-
οῦσα τοὺς μὲν εὐπορεῖν, τοὺς δὲ ἀπόρους εἶναι· οὐδ᾽ ἂν ἀκού- 3
σαις, ἔφη, λόγου οὕτω διαθέοντος, ὅτι διέφθαρται ὁ οἶκος, διότι
οὐχ ὁμαλῶς ὁ σπορεὺς ἔσπειρεν, οὐδ᾽ ὅτι οὐκ ὀρθῶς τοὺς ὄρχους
ἐφύτευσεν, οὐδ᾽ ὅτι ἀγνοήσας τις τὴν γῆν φέρουσαν ἀμπέλους,
ἐν ἀφόρῳ ἐφύτευσεν, οὐδ᾽ ὅτι ἠγνόησέ τις ὅτι ἀγαθόν ἐστι τῷ
σπόρῳ νεὸν προεργάζεσθαι, οὐδ᾽ ὅτι ἠγνόησέ τις ὡς ἀγαθόν ἐστι
τῇ γῇ κόπρον μιγνύναι· ἀλλὰ πολὺ μᾶλλόν ἐστιν ἀκοῦσαι, 4
ἀνὴρ οὐ λαμβάνει σῖτον ἐκ τοῦ ἀγροῦ· οὐ γὰρ ἐπιμελεῖται, ὡς
αὐτῷ σπείρηται, ἢ ὡς κόπρος γίγνηται. Οὐδ᾽ οἶνον ἔχει ἀνήρ·
οὐ γὰρ ἐπιμελεῖται, ὡς φυτεύσῃ ἀμπέλους, οὐδὲ αἱ οὖσαι ὅπως
φέρωσιν αὐτῷ. Οὐδὲ ἔλαιον οὐδὲ σῦκα ἔχει ἀνήρ· οὐ γὰρ ἐπι-
μελεῖται, οὐδὲ ποιεῖ, ὅπως ταῦτα ἔχῃ. Τοιαῦτ᾽, ἔφη, ἐστὶν, ὦ 5
Σώκρατες, ἃ διαφέροντες ἀλλήλων οἱ γεωργοὶ διαφερόντως καὶ
πράσσουσι πολὺ μᾶλλον, ἢ οἱ δοκοῦντες σοφόν τι εὑρηκέναι εἰς
τὰ ἔργα. Καὶ οἱ στρατηγοὶ ἔστιν ἐν οἷς τῶν στρατηγικῶν ἔρ- 6
γων οὐ γνώμῃ διαφέροντες ἀλλήλων, οἱ μὲν βελτίονες, οἱ δὲ
χείρονές εἰσιν, ἀλλὰ σαφῶς ἐπιμελείᾳ. Ἃ γὰρ καὶ οἱ στρα-
τηγοὶ γιγνώσκουσι πάντες καὶ τῶν ἰδιωτῶν οἱ πλεῖστοι, ταῦτα
οἱ μὲν ποιοῦσι τῶν ἀρχόντων, οἱ δ᾽ οὔ. Οἷον καὶ τόδε γιγνώ- 7

2. σοι λέξω] Cod. Lips. cum Paris. A.C.D. σοί γε λέξω.

3. σπορεὺς] In sequentibus repetitur τις, cujus loco si h. l. σπορεὺς est a Xenophonte nominatus, debebat item ante ἐφύτευσεν nominari ὁ φυτευτὴς vel φυτηκόμος.

προεργάζεσθαι] Supra xvii. 10. est ὑπεργάζεσθαι νεὸν τῷ σπόρῳ. Quod est in Stephaniana et hinc in Leoncl. προσεργάζεσθαι, dant etiam Codd. Paris. A.C.D. plane ineptum huic loco. Dativum σπόρῳ licet commode ad ἀγαθὸν referre cum Bachio.

4. ἀλλὰ πολὺ μᾶλλον] Margo Villois. dat ἀλλὰ μᾶλλόν ἐστιν ἀκοῦσαι πολὺ ἀνήρ.

ὡς φυτεύσῃ] Cod. Lips. cum Guelf. φυτεύσει dat. Mihi similitudo reliquorum membrorum persuadet φυτεύῃ scribendum esse. Deinde φέρουσιν Guelf.

5. διαφέροντες] Cum Juntina διαφερόντως etiam h. l. dederit, Brodæus post γεωργοὶ supplebat ἔχουσι.

οἱ δοκοῦντες—ἔργα] Minus aptam esse sententiam censebat Weiske, qui malebat ἢ ὃ δοκοῦσι σοφὸν εὑρ. Aut supplendum ex antecedenti membro putabat διαφερόντως πράσσουσι. Recte vitium vidit vir doctus; sed brevior medicinæ ratio est, si mecum οἱ ante δοκοῦντες, quod ad οἱ γεωργοὶ refertur, omiseris. Procedit eadem medicina sublato ἢ et relicto οἱ.

6. χείρονες] Paris. A.C D. χείρους dant. Deinde ἃ γὰρ οἱ στρατηγοὶ γινώσκουσι Paris. C.D. omissa copula καὶ, recte, puto.

σκουσιν ἅπαντες, ὅτι διὰ πολεμίας πορευομένους βέλτιόν ἐστι,
τεταγμένους πορεύεσθαι οὕτως, ὡς ἂν ἄριστα μάχοιντο, εἰ δέοι.
Τοῦτο τοίνυν γιγνώσκοντες, οἱ μὲν ποιοῦσιν οὕτως, οἱ δ' οὐ ποι-
8 οῦσι. Φυλακὰς ἅπαντες ἴσασιν ὅτι βέλτιστόν ἐστι καθιστά-
ναι καὶ ἡμερινὰς καὶ νυκτερινὰς πρὸ τοῦ στρατοπέδου. Ἀλλὰ
καὶ τούτου οἱ μὲν ἐπιμελοῦνται, ὡς ἔχῃ οὕτως, οἱ δ' οὐκ ἐπιμε-
9 λοῦνται. Ὅταν τε αὖ διὰ στενοπόρων ἴωσιν, πάνυ χαλεπὸν
εὑρεῖν, ὅστις οὐ γιγνώσκει, ὅτι προκαταλαμβάνειν τὰ ἐπίκαιρα
κρεῖσσον, ἢ μή. Ἀλλὰ καὶ τούτου οἱ μὲν ἐπιμελοῦνται οὕτω
10 ποιεῖν, οἱ δ' οὔ. Ἀλλὰ καὶ κόπρον λέγουσι μὲν πάντες, ὅτι
ἄριστον εἰς γεωργίαν ἐστὶ, καὶ ὁρῶσι δὲ αὐτομάτην γιγνομένην·
ὅμως δὲ καὶ ἀκριβοῦντες ὡς γίγνεται, καὶ ῥᾴδιον ὂν πολλὴν
ποιεῖν, οἱ μὲν καὶ τούτου ἐπιμελοῦνται, ὅπως ἀθροίζηται, οἱ δὲ
11 παραμελοῦσι. Καί τοι ὕδωρ μὲν ὁ ἄνω θεὸς παρέχει, τὰ δὲ
κοῖλα πάντα τέλματα γίγνεται, ἡ γῆ δὲ ὕλην παντοίαν παρ-
έχει, καθαίρειν δὲ δεῖ τὴν γῆν τὸν μέλλοντα σπείρειν. Ἃ δ' ἐκ
ποδῶν ἀναιρεῖται, ταῦτα εἴτις ἐμβάλλοι εἰς τὸ ὕδωρ, ὁ χρόνος
ἤδη αὐτὸς ἂν ποιοίη, οἷς ἡ γῆ ἥδεται. Ποία μὲν γὰρ ὕλη,
12 ποία δὲ γῆ ἐν ὕδατι στασίμῳ οὐ κόπρος γίγνεται; Καὶ ὁπόσα
δὲ θεραπείας δεῖται ἡ γῆ, ὑγροτέρα τε οὖσα πρὸς τὸν σπόρον, ἢ
ἁλμωδεστέρα πρὸς φυτείαν, καὶ ταῦτα γιγνώσκουσι μὲν πάν-
τες, καὶ ὡς τὸ ὕδωρ ἐξάγεται τάφροις, καὶ ὡς ἡ ἅλμη κολά-
ζεται μιγνυμένη πᾶσι τοῖς ἀνάλμοις καὶ ὑγροῖς τε καὶ ξηροῖς·

7. τεταγμένους] Guelf. τεταγμένα habet.

8. βέλτιστον] Cod. Lips. cum Paris. A.C.D. βέλτιον. Deinde πρὸς τοῦ στρατοπέδου Guelf. Paris. A.C.D. et edd. vett.

ὡς ἔχῃ] Sic Lips. Cod. ex correctione, Guelf. Paris. C.D. et edd. vett. ἔχει. Rectum dedit Castalio.

9. πάνυ χαλεπὸν] Edd. vett. Guelf. Paris. C.D. Lips. οὐ πάνυ dant; negationem in editione secunda auctoritate Codd. duorum delevit Stephanus, temere revocavit Zeune, interrogatione excusans auctarium ineptum. Antecedens αὖ omittunt Paris. C.D.

10. αὐτομάτην] Guelf. αὐτόματα.

11. ὁ ἄνω θεὸς] Cur ὁ ἄνω additur? Mihi magis placet ὕδωρ μὲν ἄνωθεν ὁ θεὸς παρέχει.

12. ὁπόσα] i. e. καθ' ὁπόσα. Stephanus ὁπόσης malebat, deinde ὑγροτέρα γε οὖσα. Sed τε respondet sequenti ἤ, ut alibi.

πρὸς φυτείαν] An fuit πρὸς τὴν φυτείαν? Deinde ὡς ἅλμη Paris. C.

ἀνάλμοις καὶ ὑγροῖς τε] Cum libro Lipsiensi et Paris. A.C.D. copulam τε vulgo post ἀνάλμοις positam sustuli et post ὑγροῖς collocavi. ἄναλμα constituunt genus, cujus species est ὑγρὰ, alia ξηρὰ, quibus salsugo terræ reprimitur. Cf. Virgilii Georg. ii. 238.

ἀλλὰ καὶ τούτων ἐπιμελοῦνται οἱ μὲν, οἱ δ' οὔ. Εἰ δέ τις 13
παντάπασιν ἀγνὼς εἴη, τί δύναται φέρειν ἡ γῆ, καὶ μήτε ἰδεῖν
ἔχοι καρπὸν, μηδὲ φυτὸν αὐτῆς, μήτε ὅτου ἀκοῦσαι τὴν ἀλή-
θειαν περὶ αὐτῆς ἔχοι· οὐ πολὺ μὲν ῥᾷον γῆς πεῖραν λαμβά-
νειν παντὶ ἀνθρώπῳ, ἢ ἵππου, πολὺ δὲ ῥᾷον, ἢ ἀνθρώπου; οὐ
γάρ ἐστιν ὅ τι ἐπὶ ἀπάτῃ δείκνυσιν· ἀλλ' ἁπλῶς, ἅτε δύνα-
ται καὶ ἃ μὴ, σαφηνίζει τε καὶ ἀληθεύει. Δοκεῖ δέ μοι ἡ γῆ 14
καὶ τοὺς κακούς τε κἀγαθοὺς, τῷ εὔγνωστα καὶ εὐμαθῆ πάντα
παρέχειν, ἄριστα ἐξετάζειν. Οὐ γὰρ, ὥσπερ τὰς ἄλλας τέ-
χνας τοῖς μὴ ἐργαζομένοις, ἐστὶ προφασίσασθαι, ὅτι οὐκ ἐπί-
στανται· γῆν δὲ πάντες οἴδασιν, ὅτι εὖ πάσχουσα εὖ ποιεῖ.
Ἀλλ' ἡ ἐν γεωργίᾳ ἐστὶ σαφὴς ψυχῆς κατήγορος κακῆς. Ὡς 15
μὲν γὰρ ἂν δύναιτο ἄνθρωπος ζῆν ἄνευ τῶν ἐπιτηδείων, οὐδεὶς
τοῦτο αὐτὸς αὑτὸν πείθει· ὁ δὲ μήτε ἄλλην τέχνην χρηματο-
ποιὸν ἐπιστάμενος, μήτε γεωργεῖν ἐθέλων, φανερὸν, ὅτι κλέπτων,
ἢ ἁρπάζων, ἢ προσαιτῶν διανοεῖται βιοτεύειν, ἢ παντάπασιν
ἀλόγιστός ἐστι. Μέγα δὲ διαφέρειν εἰς τὸ λυσιτελεῖν γεωρ- 16
γίαν ἔφη καὶ μὴ λυσιτελεῖν, ὅταν, ὄντων ἐργαστήρων καὶ πλε-
όνων, ὁ μὲν ἔχῃ τινὰ ἐπιμέλειαν, ὡς τὴν ὥραν αὐτῷ ἐν τῷ ἔργῳ
οἱ ἐργάται ὦσιν, ὁ δὲ μὴ ἐπιμελῆται τούτου. Ῥαδίως γὰρ
ἀνὴρ εἷς παρὰ τοὺς δέκα διαφέρει τῷ ἐν ὥρᾳ ἐργάζεσθαι, καὶ

πᾶσι τοῖς ἀνάλμοις καὶ ὑγροῖς τε καὶ ξηροῖς] Ineptum est hoc, quum ξηρά et ὑγρά hic species sint τῶν ἀνάλμων. Tollendum igitur τέ aut καί prius. DIND.

13. μήτε ὅτου] Mihi μήτε τοῦ scribendum esse videtur, et ὅτου locum obtinere suum non posse. ἔχει Paris. D.

14. γῆ καὶ] Guelf. καὶ omisit, deinde dat προφασιζεσθαι cum Paris. C.D.

15. ἡ ἐν γεωργίᾳ] Intellige τέχνη. Sed locutio est insolens; quare malim cum Zeunio scribere ἡ γεωργία sublata præpositione. Atque ita habent scriptum Paris. C.D. cum in A. margo ἐνεργεία habeat appositum.

16. Μέγα δὲ] Cod. Lips. cum Paris. A.C.D. et margine Villois. μέγα δ' ἔφη, habet scriptum et in seqq. ἔφη omittit; quod mihi præplacet.

ἐργαστήρων] Stephanianæ marginis lectionem vulgato ἐργαστηρίων recte cum Welsio prætulit Zeune.

ἔχῃ] Guelf. et Lips. ἔχει et mox ἐπιμελεῖται dant. quod etiam in Paris. C.D.

παρὰ τοὺς δέκα] Numeri hujus rationem continent decuriæ, in quas describere solebant Romani rustici, credo etiam Græci, servos et operas mercenarias. Dicit igitur X.: in decuria servorum fere semper reperitur unus, qui a reliquis discrepat eo, quod in tempore adest et opus jussum facit: alius contra justo temperius ab opere discedit. Igitur non opus est Camerarii conjectura ἄλλως scribentis, vel Leonclavii μὴ ante πρὸ τῆς ὥρας ἀπιέναι inserentis: nec locum habet suspicio Weiskii, lo-

17 ἄλλος γε ἀνὴρ διαφέρει τῷ πρὸ τῆς ὥρας ἀπιέναι. Τὸ δὲ δὴ
ἐᾷν ῥᾳδιουργεῖν δι' ὅλης τῆς ἡμέρας τοὺς ἀνθρώπους, ῥᾳδίως τὸ
18 ἥμισυ διαφέρει τοῦ ἔργου παντός. Ὥσπερ καὶ ἐν ταῖς ὁδοιπο-
ρίαις παρὰ στάδια διακόσια ἔστιν ὅτε τοῖς ἑκατὸν σταδίοις δι-
ήνεγκαν ἀλλήλων ἄνθρωποι τῷ τάχει, ἀμφότεροι καὶ νέοι ὄντες
καὶ ὑγιαίνοντες, ὅταν ὁ μὲν πράσσῃ, ἐφ' ᾧπερ ὥρμηται, βαδί-
ζων, ὁ δὲ ῥᾳστωνεύῃ τῇ ψυχῇ, καὶ παρὰ κρήναις καὶ ὑπὸ σκι-
αῖς ἀναπαυόμενός τε καὶ θεώμενος, καὶ αὔρας θηρεύων μαλα-
19 κάς. Οὕτω δὲ καὶ ἐν τοῖς ἔργοις πολὺ διαφέρουσιν εἰς τὸ ἀνύ-
τειν οἱ πράττοντες, ἐφ' ᾧπερ τεταγμένοι εἰσὶ, καὶ οἱ μὴ πράτ-
τοντες, ἀλλ' εὑρίσκοντες προφάσεις τοῦ μὴ ἐργάζεσθαι, καὶ ἐώ-
20 μενοι ῥᾳδιουργεῖν. Τὸ δὲ δὴ καὶ τὸ καλῶς ἐργάζεσθαι, ἢ κα-

cum non esse sanum, et de alio opificio sermonem fuisse. ἄλλο γε est in Paris. A. quod erunt, qui probent. Apponam nunc locum Columellæ xi. 1, 15. ex hoc nostro ductum: *Plurimum enim refert colonos a primo mane opus aggredi, nec lentos per otium pigre procedere, siquidem Ischomachus idem ille, malo, inquit, unius agilem industriam, quam decem hominum negligentem et tardam operam. Quippe plurimum affert mali, si operario tricandi potestas fiat. Nam ut in itinere conficiendo sæpe dimidio maturius pervenit is, qui naviter et sine ullis concessationibus permeabit, quam is, qui, cum sit una profectus, umbras arborum fonticulorumque amœnitatem, vel auræ refrigerationem captavit: sic in agresti negotio* et cet.

17. Τὸ δὲ—τὸ ἥμισυ διαφέρει] Zeune ad τὸ intelligit περὶ vel κατά: contra Weiske τὸ ἥμισυ intelligit dictum pro τῷ ἡμίσει. Mihi placet τῷ δὲ δὴ ἐᾷν, quod est in margine Paris. A. *eo, quod sinimus operas negligenter in opere versari, fit, ut ipsum opus dimidia parte differat a toto.* Respicit simul Hesiodeum Ἔργων 40. πλέον ἥμισυ παντὸς, sententia tamen mutata.

18. ἐφ' ᾧπέρ] Cum Stephano ἐφ' ὅπερ malo, quanquam vulgatum defendente Zeunio. πράσσειν paulo antea est in libro Lipsiensi et Paris. C.D.

παρὰ κρήναις] Cod. Guelf. cum edd. vett. περὶ dant. παρὰ est etiam in margine Villois.

19. εἰς τὸ ἀνύτειν] Guelf. ἐν τῷ ἀνύτειν.

20. Τὸ δὲ δὴ καὶ τὸ καλῶς ἐργάζεσθαι] Vitium nemo hucusque advertit, manifestum tamen. Ad prima verba τὸ δὲ δὴ deest κακῶς ἐργάζεσθαι: his enim duobus membris respondent illa ἢ ὅλως ἐργάζεσθαι ἢ ὅλως ἀργὸν εἶναι. Nihil contra est, quod verbis ἢ κακῶς ἐπιμελεῖσθαι respondeat: nec de inspectione villici aut domini nunc Xenophon docet. Igitur scribendum censeo: Τὸ δὲ δὴ καλῶς ἐργάζεσθαι ἢ τὸ κακῶς ἐργάζεσθαι, τοῦτο δὴ τοιοῦτον et reliqua. Video nunc Camerarium vertere locum ita: *Sane attentionem atque curam adhibere, id, ut opera recte fiant aut perperam, tantum jam refert.* Voluit igitur scribi τοῦ καλῶς ἐργάζεσθαι. Sed de cura et inspectione operarum non est nunc sermo, sed de ipso opere. In Paris. C.D. est καὶ κακῶς ἐπιμ. deinde τοσοῦτο A.C.D.

κῶς ἐπιμελεῖσθαι, τοῦτο δὴ τοσοῦτον διαφέρει, ὅσον ἢ ὅλως ἐρ-
γάζεσθαι, ἢ ὅλως ἀργὸν εἶναι. Ὅταν σκαπτόντων, ἵνα ὕλης
καθαραὶ αἱ ἄμπελοι γένωνται, οὕτω σκάπτωσιν, ὥστε πλείω
καὶ καλλίω τὴν ὕλην γίγνεσθαι, πῶς οὕτως οὐκ ἀργὸν ἂν φή-
σαις εἶναι; Τὰ οὖν συντρίβοντα τοὺς οἴκους πολὺ μᾶλλον 21
ταῦτά ἐστιν, ἢ αἱ λίαν ἀνεπιστημοσύναι. Τὸ γὰρ τὰς μὲν δα-
πάνας χωρεῖν ἐντελεῖς ἐκ τῶν οἴκων, τὰ δὲ ἔργα μὴ τελεῖσθαι
λυσιτελούντως πρὸς τὴν δαπάνην, ταῦτα οὐκέτι δεῖ θαυμάζειν
ἐὰν ἀντὶ τῆς περιουσίας ἔνδειαν παρέχηται. Τοῖς γε μέντοι 22
ἐπιμελεῖσθαι δυναμένοις καὶ συντεταμένως γεωργοῦσιν ἀνυτι-
κωτάτην χρημάτισιν ἀπὸ γεωργίας καὶ αὐτὸς ἐπετήδευσε καὶ
ἐμὲ ἐδίδαξεν ὁ πατήρ. Οὐδέποτε γὰρ εἴα χῶρον ἐξειργασμένον
ὠνεῖσθαι, ἀλλ' ὅστις ἢ δι' ἀμέλειαν, ἢ δι' ἀδυναμίαν τῶν κε-
κτημένων καὶ ἀργὸς καὶ ἀφύτευτος εἴη, τοῦτον ὠνεῖσθαι παρή-
νει. Τοὺς μὲν γὰρ ἐξειργασμένους ἔφη καὶ πολλοῦ ἀργυρίου 23
γίγνεσθαι, καὶ ἐπίδοσιν οὐκ ἔχειν· τοὺς δὲ μὴ ἔχοντας ἐπίδο-
σιν, οὐδὲ ἡδονὰς ὁμοίας ἐνόμιζε παρέχειν· ἀλλὰ πᾶν κτῆμα
καὶ θρέμμα τὸ ἐπὶ τὸ βέλτιον ἰόν, τοῦτο καὶ εὐφραίνειν μά-
λιστα ᾤετο. Οὐδὲν οὖν ἔχει πλείονα ἐπίδοσιν, ἢ χῶρος ἐξ ἀρ-
γοῦ πάμφορος γιγνόμενος. Εὖ γὰρ ἴσθι, ἔφη, ὦ Σώκρατες, 24
ὅτι τῆς ἀρχαίας τιμῆς πολλοὺς πολλαπλασίου χώρους ἀξίους
ἡμεῖς ἤδη ἐποιήσαμεν. Καὶ τοῦτο, ὦ Σώκρατες, ἔφη, οὕτω

Ὅταν σκαπτόντων] Deesse particulam aliquam orationi, veluti οἷον, αὐτίκα, recte monuit cum Zeunio Weiske. Deinde γίγνωνται Paris. A.

πῶς οὕτως—εἶναι] Codex Lips. πῶς ἂν οὕτως dat. Paris. A.C.D. οὕτω dant. Vitium aliquod loco inhæsisse suspicor, quem Weiske interpretatur sic: *scilicet* τοῦτο τὸ ἐργάζεσθαι. *Oxymorum est.* Quid si τοῦτο fuisse scriptum pro οὕτω suspicemur?

21. Τὸ γὰρ] Paris. C. Τὸ τὸ γὰρ dat. Voluitne τότε dare?

22. συντεταμένως] *Strenue.* Ita vulgatum συντεταγμένοις correxit Stephanus. συντεταγμένως est in libro Lipsiensi, quod conjecerat olim Leonclavius. γνώμῃ συντεταμένῃ est supra ii. 18. cf. infra xxi. 9. In Paris. A.C.D. est vulgatum, sed C. verbum γεωργοῦσιν omittit.

23. ὁμοίας] Voluptatem æque magnam atque agri, quos nostro labore excolimus.

ἐπὶ τὸ βέλτιον] Articulum omisit liber Lips. cum Paris. A.C.D. Sed in Symposio viii. 14. similiter est ἴῃ ἐπὶ τὸ φρονιμώτερον.

24. πολλοὺς] Omisit Junt. Guelf. et Strebæus, τιμῆς Paris. D. deinde πολλαπλασίους Paris. A.C.D.

οὕτω μὲν] Guelf. μὲν et statim καὶ omisit; contra Lips. sequens δὲ, et verba sic collocata posuit: οὕτω ῥᾴδιον καὶ μαθεῖν. Paris. A.C.D. οὕτω δὲ ῥᾴδιον καὶ μαθεῖν. Postea idem Lips. βούλει dedit.

μὲν πολλοῦ ἄξιον τὸ ἐνθύμημα, οὕτω δὲ καὶ μαθεῖν ῥᾴδιον,
ὥστε νυνὶ ἀκούσας σὺ τοῦτο, ἐμοὶ ὁμοίως ἐπιστάμενος ἄπει,
25 καὶ ἄλλον διδάξεις, ἐὰν βούλῃ. Καὶ ὁ ἐμὸς δὲ πατὴρ οὔτε
ἔμαθε παρ᾽ ἄλλου τοῦτο, οὔτε μεριμνῶν εὗρεν· ἀλλὰ διὰ τὴν
φιλογεωργίαν καὶ φιλοπονίαν ἐπιθυμῆσαι ἔφη τοιούτου χωρίου,
26 ὅπως ἔχοι, ὅ τι ποιοῖ ἅμα, καὶ ὠφελούμενος ἥδοιτο. Ἦν γάρ
τοι, ἔφη, ὦ Σώκρατες, φύσει, ὡς ἐμοὶ δοκεῖ, φιλογεωργότατος
Ἀθηναίων ὁ ἐμὸς πατήρ. Καὶ ἐγὼ μέντοι ἀκούσας τοῦτο, ἠρό-
μην αὐτὸν, πότερα δὲ, ὦ Ἰσχόμαχε, ὁπόσους ἐξειργάσατο χώ-
ρους ὁ πατὴρ, πάντας ἐκέκτητο, ἢ καὶ ἀπεδίδοτο, εἰ πολὺ ἀρ-
γύριον εὑρίσκοι; Καὶ ἀπεδίδοτο νὴ Δί᾽, ἔφη ὁ Ἰσχόμαχος·
ἀλλὰ ἄλλον τοι εὐθὺς ἀντεωνεῖτο, ἀργὸν δὲ, διὰ τὴν φιλεργίαν.
27 Λέγεις, ἔφην ἐγὼ, ὦ Ἰσχόμαχε, τῷ ὄντι φύσει τὸν πατέρα φι-
λογεωργὸν εἶναι οὐδὲν ἧσσον, ἢ οἱ ἔμποροι φιλόσιτοί εἰσι. Καὶ
γὰρ οἱ ἔμποροι, διὰ τὸ σφόδρα φιλεῖν τὸν σῖτον, ὅπου ἂν ἀκού-
σωσι πλεῖστον εἶναι, ἐκεῖσε πλέουσιν ἐπ᾽ αὐτὸν, καὶ Αἰγαῖον
28 καὶ Εὔξεινον καὶ Σικελικὸν πόντον περῶντες· ἔπειτα δὲ λα-
βόντες ὁπόσον δύνανται πλεῖστον, ἄγουσιν αὐτὸν διὰ τῆς θα-
λάττης, καὶ ταῦτα εἰς τὸ πλοῖον ἐνθέμενοι, ἐν ᾧπερ αὐτοὶ πλέ-
ουσι. Καὶ ὅταν δεηθῶσιν ἀργυρίου, οὐκ εἰκῇ αὐτὸν ὅπου ἂν τύ-
χωσιν ἀπέβαλον, ἀλλ᾽ ὅπου ἂν ἀκούσωσι τιμᾶσθαί τε μά-
λιστα τὸν σῖτον, καὶ περὶ πλείστου αὐτὸν ποιῶνται οἱ ἄνθρω-

ἐνθύμημα] Idem præceptum in Memor. ii. 10, 4. extare ait Zeune; sed ibi est simile tantum hoc: *οἱ μέντοι ἀγαθοὶ οἰκονόμοι, ὅταν τὸ πολλοῦ ἄξιον μικροῦ ἐξῇ πρίασθαι, τότε φασὶ δεῖν ὠνεῖσθαι.*

25. *φιλογεωργίαν*] Paris. D. *φιλοεργίαν*. Vide mox ad sect. 26.

χωρίου—ἔχοι] Cod. Lips. cum Paris. A.C.D. *χώρου—ἔχῃ*. Deinde *ποιῇ* dat; *ἔχεις τί ποιεῖ—ἥδητο* Guelf. edd. vett. cum Paris. A.C.D. *ποιεῖ*, quod deterius est, et ex *ποιῇ* ortum videtur: sed in Paris. A. *ποιοῖ* est a secunda manu.

26. *ἀργὸν δὲ*] Præclaram Guelf. lectionem omisit Zeune. Vulgo erat *ἀντεωνεῖτο ἀργὸν, διὰ* et cet. In Paris. A. est *φιλοεργίαν*, D. *φιλογεωργίαν*.

27. *εἶναι*] *fuisse* recte vertendum esse admonuit Zeune. Sic iterum sect. 28. est *ἔοικε φιλογεωργὸς εἶναι.*

περῶντες] Guelf. *περεῶντες*.

28. *ἔπειτα*] Hæc verba usque ad *αὐτοὶ πλέουσι* omisit Guelf.

ἀπέβαλον] Quovis vel minimo pretio vendunt et quasi objiciunt.

καὶ περὶ—οἱ ἄνθρωποι] Structura verborum insolens et dura mihi videtur. Expectabam *ποιεῖσθαι τοὺς ἀνθρώπους*. Conjunctivus modus facit, ut suspicer Xenophontem scripsisse *καὶ οἳ ἂν περὶ πλείστου αὐτὸν ποιῶνται ἄνθρωποι*. In Paris. A. est *ποιοῦνται*. non male. Idem deinde *ἄγουσι* dat.

ποι, τούτοις αὐτὸν ἄγοντες παραδιδόασι. Καὶ ὁ σὸς δὲ πατὴρ
οὕτω πως ἔοικε φιλογεωργὸς εἶναι. Πρὸς ταῦτα δὲ εἶπεν ὁ 29
Ἰσχόμαχος, σὺ μὲν παίζεις, ἔφη, ὦ Σώκρατες· ἐγὼ δὲ καὶ
φιλοικοδόμους νομίζω οὐδὲν ἧττον, οἵτινες ἂν ἀποδιδῶνται ἐξοι-
κοδομοῦντες τὰς οἰκίας, εἶτ' ἄλλας οἰκοδομοῦσι. Νὴ Δία,
ἐγὼ δέ γε σοὶ, ἔφην, ὦ Ἰσχόμαχε, ἐπομόσας λέγω, ἦ μὴν πι-
στεύειν σοι, φύσει νομίζειν φιλεῖν ταῦτα πάντας, ἀφ' ὧν ἂν
ὠφελεῖσθαι νομίζωσιν.

CAP. XXI.

ΑΤΑΡ ἐννοῶ γε, ἔφην, ὦ Ἰσχόμαχε, ὡς εὖ τῇ ὑποθέσει ὅλον 1
τὸν λόγον βοηθοῦντα παρέσχησαι. Ὑπέθου γὰρ τὴν γεωργικὴν
τέχνην πασῶν εἶναι εὐμαθεστάτην· καὶ νῦν ἐγὼ ἐκ πάντων, ὧν
εἴρηκας, τοῦτο οὕτως ἔχειν παντάπασιν, ὑπὸ σοῦ ἀναπέπει-
σμαι. Νὴ Δί', ἔφη ὁ Ἰσχόμαχος, ἀλλὰ τόδε τοι, ὦ Σώκρα- 2
τες, τὸ πάσαις κοινὸν ταῖς πράξεσι, καὶ γεωργικῇ καὶ πολι-
τικῇ καὶ οἰκονομικῇ καὶ πολεμικῇ, τὸ ἀρχικὸν εἶναι, τοῦτο δὴ
συνομολογῶ σοι ἐγὼ, πολὺ διαφέρειν γνώμῃ τοὺς ἑτέρους τῶν
ἑτέρων· οἷον καὶ ἐν τριήρει, ἔφη, ὅταν πελαγίζωσι, καὶ δέῃ πε- 3
ρᾶν ἡμερίους πλοῦς ἐλαύνοντας, οἱ μὲν τῶν κελευστῶν δύνανται
τοιαῦτα λέγειν καὶ ποιεῖν, ὥστε ἀκονᾶν τὰς ψυχὰς τῶν ἀν-
θρώπων ἐπὶ τὸ ἐθελοντὰς πονεῖν, οἱ δὲ οὕτως ἀγνώμονές εἰσιν,

29. φιλοικοδόμους] Vocabulum hoc ex Xenophonte laudavit Pollux vii. 118.

νομίζειν] Pertinet ad Socratem, non ad Ischomachum, ut credebat Zeune, σε intelligens: alios με intellexisse admonet Weiske, qui vertit: *omnes mihi videri natura teneri amore.* Mihi νομίζειν aut pro *solere* dictum aut incommodo loco positum videtur. In Hierone iii. 3. est πολλαὶ τῶν πόλεων τοὺς μοιχοὺς νομίζουσι ἀποκτείνειν. i. e. legem sanxerunt, ut mœchus occidatur. Sic et alibi Xenophon. Sed pro *solere* positum verbum nondum reperi in nostro.

πάντας] Edd. vett. πάντα ἐφ' ὧν dant. Rectum est in Guelf. contra atque ait Zeune. πάντα ὑφ' ὧν Paris. A.C.D. dant.

Cap. XXI. 1. τοῦτο οὕτως] Paris. A.C.D. τοῦθ' οὕτως habent scriptum.

2. κοινὸν] Junt. Guelf. κοιναῖς dant. Sequentia καὶ πολεμικῇ omisit Paris. C.

συνομολογῶ] Diserte hoc Socrates cap. xiii. sect. 4. non dixit, sed generatim βασιλικόν τι et magnum aliquid esse τὸ ἀρχικὸν εἶναι Ceterum ἐγὼ omittit Paris. D.

3. ἡμερίους πλοῦς ἐλαύνοντες] ἡμερινούς reponit Stephanus Thesauro s. v. Huic assentitur Lobeckius ad Phrynichum p. 53. et jure quidem. DIND.

ἐπὶ τὸ ἐθελοντὰς] Juntina ἐπὶ τῷ. Ex eadem et libro Guelf. ἐθελοντὰς pro ἐθέλοντας scripsit Zeune.

ὥστε πλεῖον ἢ ἐν διπλασίῳ χρόνῳ τὸν αὐτὸν ἀνύτουσι πλοῦν.
Καὶ οἱ μὲν ἱδροῦντες καὶ ἐπαινοῦντες ἀλλήλους, ὅ τε κελεύων
καὶ οἱ πειθόμενοι, ἐκβαίνουσιν· οἱ δὲ ἀνιδρωτὶ ἥκουσι, μισοῦν-
4 τες τὸν ἐπιστάτην καὶ μισούμενοι. Καὶ τῶν στρατηγῶν ταύτῃ
διαφέρουσιν, ἔφη, οἱ ἕτεροι τῶν ἑτέρων· οἱ μὲν γὰρ οὔτε πονεῖν
ἐθέλοντας οὔτε κινδυνεύειν παρέχονται, πείθεσθαί τε οὐκ ἀξιοῦν-
τας οὐδ᾽ ἐθέλοντας, ὅσον ἂν μὴ ἀνάγκη ᾖ, ἀλλὰ καὶ μεγαλυνο-
μένους ἐπὶ τῷ ἐναντιοῦσθαι τῷ ἄρχοντι· οἱ δὲ αὐτοὶ οὗτοι οὐδ᾽
αἰσχύνεσθαι ἐπισταμένους παρέχουσιν, ἤν τι τῶν αἰσχρῶν συμ-
5 βαίνῃ. Οἱ δ᾽ αὖ θεῖοι καὶ ἀγαθοὶ καὶ ἐπιστήμονες ἄρχοντες,
τοὺς αὐτοὺς τούτους, πολλάκις δὲ καὶ ἄλλους παραλαμβά-
νοντες, αἰσχυνομένους τε ἔχουσιν αἰσχρόν τι ποιεῖν, καὶ πείθε-
σθαι οἰομένους βέλτιον εἶναι, καὶ ἀγαλλομένους τῷ πείθεσθαι
ἕνα ἕκαστον, καὶ σύμπαντας, πονεῖν ὅταν δεήσῃ, οὐκ ἀθύμως
6 πονοῦντας. Ἀλλ᾽ ὥσπερ ἰδιώταις ἔστιν οἷς ἐγγίγνεται ἐθελο-
πονία τις, οὕτω καὶ ὅλῳ τῷ στρατεύματι ὑπὸ τῶν ἀγαθῶν ἀρ-
χόντων ἐγγίγνεται καὶ τὸ φιλοπονεῖν, καὶ τὸ φιλοτιμεῖσθαι
7 ὀφθῆναι καλόν τι ποιοῦντας ὑπὸ τοῦ ἄρχοντος. Πρὸς ὅντινα
δ᾽ ἂν ἄρχοντα διατεθῶσιν οὕτως οἱ ἑπόμενοι, οὗτοι δὴ ἐῤῥωμένοι
γε ἄρχοντες γίγνονται, οὐ μὰ Δί᾽ οὐχ οἳ ἂν αὐτῶν ἄριστα τὸ
σῶμα τῶν στρατιωτῶν ἔχωσι, καὶ ἀκοντίζωσι, καὶ τοξεύωσιν

ἥκουσι] In Paris. A.C.D. est ἥμουσι. in qua scriptura quid lateat, aliis conjiciendum relinquo. De ἐμοῦσι fortasse cogitabunt aliqui lectores.

4. τε οὐκ] Paris. C.D. τε καὶ οὐκ dant.

ὅσον ἂν] Juntina cum Guelf. ἂν omisit.

μεγαλυνομένους] Guelf. μεγαλυνόμενα a prima manu scriptum habet.

5. καὶ ἐπιστήμονες] Male Junt. et Guelf. καὶ omittunt.

ἕνα ἕκαστον] Guelf. ἕνεκα dat pro ἕνα; deinde πονοῦντες edd. vett. cum Paris. C.D. ποιοῦντες A.

6. ἐθελοπονία] Vulgato φιλοπονία ex margine Steph. substituit Zeune. ἐγγίνεται φιλοπονία Paris. A.C.D.

καλόν τι] Edd. vett. et Guelf. κάλλιόν τι dant.

7. οὗτοι δὴ] Cum Bachio et Welsio Stephani emendationem vulgato substitui οὕτω, quod male defendit Zeune. Ceterum Camerarius offensus verbis πρὸς ὅντινα ἄρχοντα, quibus non respondent sequentia οὗτοι δὴ, movisse videtur Leonclavium, ut corrigere auderet οὕστινα—ἄρχοντας· qua mutatione non opus esse recte admonuit Bachius. Compara sect. 9. Sequens γε omittit Paris. C.

τοξεύωσιν] Guelf. τοξεύουσι dat. ἵππον ἄριστον ἔχοντες Paris. A.C.D. Deinde καὶ πελταστικώτατα Paris. A.

μὰ Δία—κινδύνου] Hæc non apte cum præcedentibus cohærere, certe superflua et tautologa videntur Weiskio, qui suspicatur, grammaticum his additis declarare voluisse, qui sint ἐῤῥωμένοι. Portus verba τῶν

ἄριστα, καὶ ἵππον ἔχοντες ἄριστον, ὡς ἱππικώτατα ἢ πελτα-
στικώτατα προκινδυνεύωσιν· ἀλλ' οἳ ἂν δύνωνται ἐμποιῆσαι
τοῖς στρατιώταις, ἀκολουθητέον εἶναι καὶ διὰ πυρὸς καὶ διὰ
παντὸς κινδύνου. Τούτους δὴ δικαίως ἄν τις καλοίη μεγαλο- 8
γνώμονας, ᾧ ἂν ταῦτα γιγνώσκοντες πολλοὶ ἕπωνται, καὶ με-
γάλῃ χειρὶ εἰκότως οὗτος λέγοιτο πορεύεσθαι, οὗ ἂν τῇ γνώμῃ
πολλαὶ χεῖρες ὑπηρετεῖν ἐθέλωσι· καὶ μέγας τῷ ὄντι οὗτος
ἀνήρ, ὃς ἂν μεγάλα δύνηται γνώμῃ διαπράξασθαι μᾶλλον, ἢ
ῥώμῃ. Οὕτω δὲ καὶ ἐν τοῖς ἰδίοις ἔργοις, ἄν τε ἐπίτροπος ᾖ ὁ 9
ἐφεστηκὼς ἄν τε καὶ ἐπιστάτης, ὃς ἂν δύνηται προθύμους καὶ
ἐντεταμένους παρέχεσθαι εἰς τὸ ἔργον, καὶ συνεχεῖς, οὗτοι δὴ οἱ
ἀνύτοντές εἰσιν ἐπὶ τἀγαθὰ, καὶ πολλὴν τὴν περιουσίαν ποιοῦν-
τες. Τοῦ δὲ δεσπότου ἐπιφανέντος, ὦ Σώκρατες, ἔφη, ἐπὶ τὸ 10
ἔργον, ὅστις δύναται καὶ μέγιστα βλάψαι τὸν κακὸν τῶν ἐρ-
γατῶν, καὶ μέγιστα τιμῆσαι τὸν πρόθυμον, εἰ μηδὲν ἐπίδηλον
ποιήσουσιν οἱ ἐργάται, ἐγὼ μὲν αὐτὸν οὐκ ἂν ἀγαίμην· ἀλλ'
ὃν ἂν ἰδόντες κινηθῶσι, καὶ μένος ἑκάστῳ ἐμπέσῃ τῶν ἐργατῶν,
καὶ φιλονεικία πρὸς ἀλλήλους καὶ φιλοτιμία κρατίστη οὖσα

στρατιωτῶν deleri voluit, quæ mihi abesse posse non videntur. Mihi nihil in hoc loco nec superfluum esse videtur, neque quod cum anterioribus non bene coeat. Ait Xenophon, ἀρχικὸν esse et merito dici non eum, qui parentibus præstet corpore aut virtutibus corporis, armorum, equi, et similibus, neque eum, qui parentibus præeat exemplum, ut in pugna, sed eum esse vere ἀρχικὸν, et dum præest parentibus, ἄρχοντα, eumque potentissimum, qui parentium in animis hanc infixerit persuasionem et cet.

ἐμποιῆσαι] Vulgatius est apud Atticos ἐμποιεῖν τῇ ψυχῇ.

8. ᾧ ἂν] Est pro οἷς ἂν, quod male tentavit Leoncl. Deinceps ταῦτὰ dedit altera editio Stephani. γιγνώσκοντες omittunt Paris. C.D.

ἕπωνται] Edd. vett. Guelf. ἕπονται. deinde οὕτως λέγοιτο cum Paris. A.

οὗτος ἀνήρ, ὃς] Guelf. τοιοῦτος ἀνήρ, quod non contemnendum videbatur Zeunio; mihi contra videtur.

9. ἐπίτροπος—ἐπιστάτης] Officium ἐπιτρόπου designavit supra cap. xii. sect. 3. et 4. ἐπιστάτης minore est dignitate, *operis magister* Columellæ i. 8, 17. *operariorum* xi. 4, 4. *officiorum singulorum* i. 8, 11. i. 9, 2.

ἐντεταμένους] Edd. vett. Guelf. ἐντεταγμένους, ut cap. xx. 22.

δὴ οἱ ἀνύτοντες] Paris. A. ἀνύττοντες, δέ εἰσιν οἱ ἀνύτοντες C.D.

10. Τοῦ δὲ δεσπότου] Edd. vett. cum Paris. A.C.D. γε dant, δὲ Castalio, τε Guelf. Post ἐπιφανέντος margo Steph. αὐτῶν additum habet cum Paris. A.C.D.

τὸν κακὸν] Edd. vett. Paris. A.C. D. et Guelf. τῶν κακῶν. Deinde μεγίστως Paris. A.C.D. cum margine Villois.

φιλονεικία] Paris. A. φιλονικία dat.

κρατίστη οὖσα ἑκάστῳ] Hæc verba Volaterranus non vertit; frigida,

ἑκάστῳ, τοῦτον ἐγὼ φαίην ἂν ἔχειν τι ἤθους βασιλικοῦ. Καὶ ἔστι τοῦτο μέγιστον, ὡς ἐμοὶ δοκεῖ, ἐν παντὶ ἔργῳ, ὅπου τι δι' ἀνθρώπων πράττεται, καὶ ἐν γεωργίᾳ δέ. Οὐ μέντοι, μὰ Δία, τοῦτό γε ἔτι ἐγὼ λέγω, ἰδόντα μαθεῖν εἶναι, οὐδὲ ἅπαξ ἀκούσαντα· ἀλλὰ καὶ παιδείας δεῖν φημὶ τῷ ταῦτα μέλλοντι δυνήσεσθαι, καὶ φύσεως ἀγαθῆς ὑπάρξαι, καὶ, τὸ μέγιστον δὴ,
12 θεῖον γενέσθαι. Οὐ γὰρ πάνυ μοι δοκεῖ ὅλον τουτὶ τὸ ἀγαθὸν

neque sensum sine ambiguitate clarum continere videntur Weiskio; equidem tollenda ut superflua et aliena censueram. Weiskio aut substantivum ad *κρατίστη* pertinens, veluti *ἐπιστάτις*, omissum videtur, aut *κρατίστη οὖσα* corruptum e *κρατιστεύουσα*, (quo ducere putat lectionem in margine libri Villoisoniani positam *κρατιστοῦσα*) quod dictum interpretatur pro *καὶ κρατεύσῃ ἑκάστῳ*, *et dominari cœperit in unoquoque.* Mihi neutra harum conjecturarum locum hic habere videtur. *Κρατιστεύειν* enim longe diverso sensu et alia structura adhibetur Cyrop. i. 5, 1. et in Memor. i. 4, 14. iii. 7, 4. Deinde *ἐπιστάτις* ab hoc loco æque aliena est, ubi præsentia domini subito *φιλονεικίαν* excitare dicitur. Maneo igitur in ea sententia, ut verba hæc delenda censeam, dum libri meliorem lectionem obtulerint. In Guelf. est *κρατίστη οὖσα* scriptum. *κρατιστοῦσαι ἑκάστῳ* Paris. A.C.D. Deinde *τούτων* dant iidem libri Paris. sed in A. *τοῦτον* correctum est.

11. *ἐν παντὶ ἔργῳ—γεωργίᾳ δὲ*] Aut excidit *μὲν* post *παντὶ*, aut scribendum *δὴ* in altero membro suspicor ex usu scriptorum Atticorum.

ἔτι ἐγὼ λέγω] Vulgatum *ὅ τι* cum Bachio inepte defendit Zeune, quasi hæc tota sententia a sequenti *φημὶ* pendeat, quo periodus contorta et impedita fit. Itaque recte Weiske Stephani correctionem admisit. Præterea Stephanus *ἅπαξ* addi voluit verbo *ἰδόντα*, quo non est opus. *ἔτι* præcedente negatione dici pro *non item* recte admonuit Weiske comparato loco Hieronis i. 16. In Paris. A.C.D. est *τοῦτό γε ὅτι λέγω* omisso *ἐγὼ*, deinde *οὐδ' ἅπαξ*.

δρες, αἰσχρὸν στέγης γε φθονῆσαι· εἰσίτω οὖν. Καὶ ἅμα

10. Πάντες] Aristides ἅπαντες ex h. l. habet. Sequens γοργότεροι pro vulgato γοργότερον idem Aristides, sed Guelferbytanus, dedit. Idem voluit jam olim h. l. rescribi Stephanus comparans Cyrop. iv. 4, 3. μείζους φαίνεσθε καὶ καλλίους καὶ γοργότεροι ἢ πρόσθεν ἰδεῖν. Pessime vulgatam cum Bachio defendit Zeune. Aliud enim γοργὸν ὁρᾶν, aliud γοργὸς ὁρᾶσθαι. Lexicon MStum apud Alberti ad Hesychium sub vocabulo γοργὸς ex h. l. posuit γοργότεροί θ' ὁρᾶσθαι καὶ φοβερώτεροι φθέγγεσθαι, quam lectionem probabat Alberti. Copulam τε omittit Aristides Guelferbyt.

φέρονται] Aristidæ φαίνονται Leonclav. et Stephanus temere præferebant; nam verba πρὸς τὸ γ. et cet. pendent a verbo φέρονται, cui respondet sequens ἄγουσιν, ut recte monuit Zeune.

φιλοφρονεστέρως] Juntina φιλοφρονέστερον, margo Villois. φιλοφρονεστέρων. Deinde edd. vett. ἐλευθερώτατον dant.

11. κρούσας] Solenne de foribus pulsandis, ubi quis admitti vult, item κόπτειν; qui vult exire, ψοφεῖ, crepat fores extrorsum aperiendas. Janitor dicitur ὑπακούειν pulsanti, et antequam admittatur hospes, annunciare domino, εἰσαγγέλλειν. Hæc verba pluribus exemplis illustrat Bachii annotatio longa ad h. l.

βούλοιτο] Athenæus p. 614. ex h. l. retulit βούλεται—ὥστε καὶ δ. Ex eodem vulgatum τε ante παρεῖναι in δὲ mutavit Zeune. Ceterum homo ridiculus ridicule nunciari vult domino de adventu suo; quo faciunt opposita συνεσκ. τὰ ἐπιτήδ. et δειπνεῖν τἀλλότρια, πιέζεσθαι et φέρειν μηδὲν, quæ explicatione non egent.

12. στέγης γε φθονῆσαι] "Turpe esset hoc certe, si domo eum excludere, ne intromittere quidem vellemus, etsi illud quidem non esset turpe, si non admitteretur ad cœnam. Aut extremum hoc vim joci continet, aut nescio quo alluditur. Hoc vero dubium videri non debet, τὸ σκῶμμα esse jocum Calliæ." Sic ad h. l. Weiske, cum quo plane

ἀπέβλεψεν εἰς τὸν Αὐτόλυκον, δηλονότι ἐπισκοπῶν, τί ἐκείνῳ
13 δόξειε τὸ σκῶμμα εἶναι. Ὁ δὲ, στὰς ἐπὶ τῷ ἀνδρῶνι, ἔνθα τὸ
δεῖπνον ἦν, εἶπεν, ὅτι μὲν γελωτοποιός εἰμι, ἴστε πάντες, ἥκω
δὲ προθύμως, νομίσας γελοιότερον εἶναι τὸ ἄκλητον, ἢ τὸ κεκλη-
μένον ἐλθεῖν ἐπὶ τὸ δεῖπνον. Κατακλίνου τοίνυν, ἔφη ὁ Καλ-
λίας. Καὶ γὰρ οἱ παρόντες σπουδῆς μὲν, ὡς ὁρᾷς, μεστοὶ,
14 γέλωτος δὲ ἴσως ἐνδεέστεροι. Δειπνούντων δὲ αὐτῶν, ὁ Φίλιπ-
πος γελοῖόν τι εὐθὺς ἐπεχείρει λέγειν, ἵνα δὴ ἐπιτελοίη, ὧνπερ
ἕνεκα ἐκαλεῖτο ἑκάστοτε ἐπὶ τὰ δεῖπνα. Ὡς δ' οὐκ ἐκίνησε
γέλωτα, τότε μὲν ἀχθεσθεὶς φανερὸς ἐγένετο. Αὖθις δ' ὀλίγον
ὕστερον ἄλλο τι γελοῖον ἐβούλετο λέγειν. Ὡς δὲ οὐδὲ τότε
ἐγέλασαν ἐπ' αὐτῷ, ἐν τῷ μεταξὺ παυσάμενος τοῦ δείπνου,
15 συγκαλυψάμενος κατέκειτο. Καὶ ὁ Καλλίας, τί τοῦτ', ἔφη,
ὦ Φίλιππε; ἀλλ' ἦ ὀδύνη σε εἴληφε; Καὶ ὃς ἀναστενάξας
εἶπε, ναὶ μὰ Δί', ἔφη, ὦ Καλλία, μεγάλη γε. Ἐπεὶ γὰρ
γέλως ἐξ ἀνθρώπων ἀπόλωλεν, ἔῤῥει τὰ ἐμὰ πράγματα. Πρό-
σθεν μὲν γὰρ τούτου ἕνεκα ἐκαλούμην ἐπὶ τὰ δεῖπνα, ἵνα εὐ-
φραίνοιντο οἱ συνόντες, δι' ἐμὲ γελῶντες· νῦν δὲ τίνος ἕνεκα καὶ
καλεῖ μέ τις; οὔτε γὰρ ἔγωγε σπουδάσαι ἂν δυναίμην μᾶλ-
λον, ἤπερ ἀθάνατος γενέσθαι, οὔτε μὴν ὡς ἀντικληθησόμενος καλεῖ

sentire video Langium, qui verba hæc στέγης γε φθονῆσαι cum vultu misericordiæ contemtusque pleno pronunciata fuisse a Callia putabat. Sed nullo modo efficiunt viri docti, ut Calliæ dictum simile σκώμματι videri possit. Itaque pertinet σκῶμμα ad Philippi ridicula, quæ juveni Autolyco mirationem saltem extorquere debebant, cum talia antea non audiisse videri debeat. Quod viros doctos fefellit, est hoc, quod Callias vultum pueri amati diligenter observat; amantes enim ab amatis sua dicta omnia et facta inprimis probari et laudari cupiunt. Sed Callias hic simpliciter Autolycum aspicit, ut discat ex vultu pueri modestissimi, quid illi de novo hoc nec antea audito sermonis genere videatur. Ita Brodæo etiam visum est.

14. ἐν τῷ μεταξὺ] *Interim, dum ceteri cœnabant.* Ita Zeune. Mihi potius videtur dictum pro μεταξὺ δειπνῶν ἐπαύσατο, *abrumpit cœnam et recumbit capite velato,* quod erat pudoris vel tristitiæ signum, ut in Cyrop. v. 1, 3.

15. ἀλλ' ἦ] Miror Weiskium antiquum ἀλλ' ἢ revocasse cum Bachio, cum rectius ex Stephani emendatione dedisset Zeune.

εὐφραίνοιντο] Margo Villoisoniani libri εὐφραίνοντο dat. Verum imperfecti usum non admittere videntur præcepta G. Hermanni ad Vigerum p. 805.

καλεῖ] Est pro futuro usitatiore, sed non Atticis scriptoribus, καλέσει, nec opus Stephani conjectura καλῇ, ut recte monuit Zeune.

μέ τις, ἐπεὶ πάντες ἴσασιν, ὅτι ἀρχὴν οὐδὲ νομίζεται εἰς τὴν
ἐμὴν οἰκίαν δεῖπνον εἰσφέρεσθαι. Καὶ ἅμα λέγων ταῦτα
ἀπεμύττετό τε, καὶ τῇ φωνῇ σαφῶς κλαίειν ἐφαίνετο. Πάν- 16
τες μὲν οὖν παρεμυθοῦντό τε αὐτὸν, ὡς αὖθις γελασόμενοι,
καὶ δειπνεῖν ἐκέλευον· Κριτόβουλος δὲ καὶ ἐξεκάγχασεν ἐπὶ
τῷ οἰκτισμῷ αὐτοῦ. Ὁ δ' ὡς ᾔσθετο τοῦ γέλωτος, ἀνεκα-
λύψατό τε, καὶ τῇ ψυχῇ παρακελευσάμενος θαῤῥεῖν, ὅτι ἔσον-
ται συμβολαὶ, πάλιν ἐδείπνει.

CAP. II.

ὩΣ δ' ἀφῃρέθησαν αἱ τράπεζαι, καὶ ἔσπείσαντο καὶ 1
ἐπαιάνισαν, ἔρχεταί τις αὐτοῖς ἐπὶ κῶμον Συρακόσιος ἄνθρω-
πος, ἔχων τε αὐλητρίδα ἀγαθὴν, καὶ ὀρχηστρίδα τῶν τὰ θαύ-
ματα δυναμένων ποιεῖν, καὶ παῖδα πάνυ γε ὡραῖον, καὶ πάνυ
καλῶς κιθαρίζοντά τε καὶ ὀρχούμενον. Ταῦτα δὲ καὶ ἐπι-
δεικνὺς ὡς ἐν θαύματι, ἀργύριον ἐλάμβανεν. Ἐπεὶ δὲ αὐτοῖς 2

εἰσφέρεσθαι] Edd. vett. προσφέρεσθαι dant.

16. αὖθις] i. e. postea, in posterum. Leonclavius εὐθὺς malebat, nullam idoneam ob causam.

τῇ ψυχῇ παρ.] Ridicule, ut magnum aliquod opus aggressurus, ut Cyrus apud nostrum i. 4, 13. διακελευσάμενος ἑαυτῷ τολμᾷν, εἰσῆλθεν.

ἔσονται συμβολαὶ] *Symbolas ad convivia* aut *convivia ipsa* cogitabat Zeune, *risus* ex Pollucis loco vi. 28. παρεχόμενος συμβολὰς τὸν γέλωτα interpretabatur Weiske; neuter apte. Ut συμβάλλειν τινὶ μάχην est *conferre pugnam*, sic συμβολαὶ h. l. sunt *pugnæ, prælia*, ad quæ animum verbis confirmat fortiter gerenda. Ridicule simul ambiguo verbo vel συμβολὰς λόγων vel συμβολὰς ad cœnam collatas significat.

Cap. II. 1. ἐπαιάνισαν] Plato Symposii sect. 4. Σωκράτους δειπνήσαντος καὶ τῶν ἄλλων, σπονδάς τε σφᾶς ποιήσασθαι καὶ ᾄσαντας τὸν θεὸν καὶ τἄλλα τὰ νομιζόμενα, τρέπεσθαι πρὸς τὸν πότον. Ordinem convivii enarrat Philyllius Athenæi ix. p. 408. καὶ δὴ δεδειπνήκασιν αἱ γυναῖκες· ἀλλ' ἀφαιρεῖν ὥρα 'στὶν ἤδη τὰς τραπέζας, εἶτα παρακορῆσαι, ἔπειτα κατὰ χειρῶν ἑκάστῃ καὶ μύρον τι δοῦναι. Sed hic mulieribus cum aqua unguentum præbetur; viris non adeo solemnis unguenti usus in conviviis; sumtum tamen et præbitum fuisse in quibusdam testantur loca poetarum posita in Athenæi ix. p. 409. Callias convivis unguentum præbere parabat, sed Socrates ejus usum recusat.

ἐπὶ κῶμον] Platonis πρὸς τὸν πότον comparavit Zeune. Sed πότος est convivantium; κωμάζοντες foris adveniunt ad compotantes. Sequens τε post κιθαρίζοντα ex Aristide addidit idem Zeune. Syracusius homo quo nomine appellatus fuerit, ignorare nos Xenophon voluit.

Ταυτὰ δὲ καὶ ἐπιδεικνύς.] Hoc etiam frequentissimum est peccatum librariorum, ut καί post δέ modo addant modo prætermittant temere. Illud hic accidit. DIND.

ἡ μὲν αὐλητρὶς ηὔλησεν, ὁ δὲ παῖς ἐκιθάρισε, καὶ ἐδόκουν μάλα ἀμφότεροι ἱκανῶς εὐφραίνειν, εἶπεν ὁ Σωκράτης, νὴ Δί', ὦ Καλλία, τελέως ἡμᾶς ἑστιᾷς. Οὐ γὰρ μόνον δεῖπνον ἄμεμπτον παρέθηκας, ἀλλὰ καὶ θεάματα καὶ ἀκροάματα ἥδιστα
3 παρέχεις. Καὶ ὃς ἔφη, τί οὖν, εἰ καὶ μύρον τις ἡμῖν ἐνέγκαι, ἵνα καὶ εὐωδίᾳ ἑστιώμεθα; Μηδαμῶς, ἔφη ὁ Σωκράτης. Ὥσπερ γάρ τοι ἐσθὴς ἄλλη μὲν γυναικὶ, ἄλλη δὲ ἀνδρὶ καλὴ, οὕτω καὶ ὀσμὴ ἄλλη μὲν ἀνδρὶ, ἄλλη δὲ γυναικὶ πρέπει. Καὶ γὰρ ἀνδρὸς μὲν δήπου ἕνεκα ἀνὴρ οὐδεὶς μύρῳ χρίεται. Αἱ μέντοι γυναῖκες, ἄλλως τε καὶ ἢν νύμφαι τύχωσιν οὖσαι, ὥσπερ ἡ Νικηράτου τοῦδε καὶ ἡ Κριτοβούλου, μύρου μὲν τί

2. ἡ μὲν αὐλητρὶς] Vulgatum ἡ αὐλητρὶς μὲν ex Aristide correxit Zeune.

3. Αἱ μέντοι] Aristides αἵ γε μὴν —Νικηράτου τοῦδε habet, et Muretus Var. Lect. xix. c. 9. αἵ γέ μὴν—καὶ ὅταν—Νικηράτου τε τούτου καὶ ἡ Κριτοβούλου ex h. l. posuit. De Nicerati uxore νεογάμῳ est infra iv. 8.—Vulgo additum ὅταν post ἢν suadente Victorio V. L. xxxiii. 7. recte omisit, ut glossam, Stephanus, Leoncl. et secuti Editores. In Aristide Codex Guelferb. habet ἢν καὶ νύμφαι. Vide ad cap. i. sect. 8.

μέν τί καὶ προσδέονται] Negationem ex Aristide addunt Steph. Leoncl. Wels. et Bachius; hic quidem μύρου οὐδέν τι πρ. etiam scriptum malebat. Abesse contra debere negationem affirmant Ernesti et Zeune. Ille rationem edit, Socratem velle demonstrare, unguentum mulieribus convenire magis quam viris, easque, inprimis cum sponsæ sint, unguento uti. Ipse igitur corrigit μύρου μέν τι προσδέχονται, i. e. *admittunt.* Zeune vulgatam defendit et sic interpretatur: *sed mulieres—aliquid quidem unguenti insuper desiderant, (seu ut sponsi unguento mediocri sint delibuti volunt) quia ipsæmet* (αὗται enim scribi vult) *unguentum redolent, seu unguento utuntur.* Sed utrique interpretationi adversatur sequens comma ἐλαίου δὲ et cet. Zeunii scripturam admisit Weiske; itaque eandem interpretationem probasse videtur. Faber in versione Gallica interpretandi causa, ut ait, posuit: *n'ont pas autrement besoin de parfums: car d'elles-mêmes elles en ont assez.* Vitium vulgatæ lectionis conjectura sanare conatus est Muretus l. c. ναύταις γὰρ ταυτὸν ὄζουσιν: quæ mihi ab hoc loco valde aliena esse videtur, etiam sine interpretatione proposita a viro docto. Equidem lectionem Aristidæ cum Stephano unice probo. Vulgo erat μέντοι καὶ προσδ. Juntina μέντοι dat. Aristides sic interpretatur: αὗται παρὰ ἀνδρὸς μύρου οὐ προσδέονται, παρ' ἑαυτῶν γὰρ ἔχουσι νύμφαι γε οὖσαι.—Nunc demum video Athenæum locum hunc ita posuisse libro xv. p. 686. ἀλλὰ καὶ ἀκροάματα καὶ θεάματα—ἐνέγκαι τις ἡμῖν—εὐωδίαν ἑστιώμεθα;—γυναικεία—ἀνδρεία καλὴ—ἕνεκεν οὐδεὶς μύρῳ χρίεται· αἵ γε μὴν γυναῖκες ἄλλως τε ἂν καὶ νύμφαι—Νικηράτου τε τούτου καὶ ἡ Κριτοβούλου, μύρου μέντοι καὶ προσδέονται· ναῦται γὰρ τοῦτο ὄζουσιν· ἐλαίου δὲ τοῦ ἐν γυμνασίοις καὶ παρουσία ἀνδρῶν ἢ μύρου γυναιξὶν ἡδίων καὶ ἀπουσία ποθεινοτέρα.—μὲν ἀλειψάμενος δοῦλος καὶ ἐλεύθερος – ἐλευθέρων μόχθων

καὶ προσδέονται; αὐταὶ γὰρ τούτου ὄζουσιν· ἐλαίου δὲ τοῦ ἐν γυμνασίοις ὀσμὴ καὶ παροῦσα ἡδίων ἢ μύρου γυναιξὶ, καὶ ἀποῦσα ποθεινοτέρα. Καὶ γὰρ δὴ μύρῳ μὲν ὁ ἀλειψάμενος 4
καὶ δοῦλος καὶ ἐλεύθερος εὐθὺς ἅπας ὅμοιον ὄζει· αἱ δ' ἀπὸ τῶν ἐλευθερίων μόχθων ὀσμαὶ ἐπιτηδευμάτων τε πρῶτον, καὶ χρόνου πολλοῦ δέονται, εἰ μέλλουσιν ἡδεῖαί τε καὶ ἐλευθέριοι ἔσεσθαι. Καὶ ὁ Λύκων εἶπεν, οὐκοῦν νέοις μὲν ἂν εἴη ταῦτα· ἡμᾶς δὲ τοὺς μηκέτι γυμναζομένους τίνος ὄζειν δεήσει; καλοκἀγαθίας νὴ Δί', ἔφη ὁ Σωκράτης. Καὶ πόθεν ἄν τις τοῦτο τὸ χρίσμα λάβοι; Οὐ μὰ Δί', ἔφη, οὐ παρὰ τῶν μυροπωλῶν. Ἀλλὰ πόθεν δή; Ὁ μὲν Θεόγνις ἔφη,

Ἐσθλῶν μὲν γὰρ ἀπ' ἐσθλὰ διδάξεαι. Ἢν δὲ κακοῖσι
Συμμιγέῃς, ἀπολεῖς καὶ τὸν ἐόντα νόον.

καὶ ὁ Λύκων εἶπεν, ἀκούεις ταῦτα, ὦ υἱέ; Ναὶ μὰ Δί', ἔφη 5
ὁ Σωκράτης, καὶ χρῆταί γε. Ἐπεὶ γοῦν νικηφόρος ἐβούλετο

πρῶτον χρηστῶν καὶ χρόνου πολλοῦ δέονται—ἔσεσθαι. Ad quem locum Casaubonus annotavit etiam Aristidem e Xenophonte laudare ἣν καὶ νύμφαι. Deinde admonuit cum interrogatione scribendum esse μύρου μὲν τί καὶ προσδέονται; eamque correctionem ait dudum ab H. Stephano fuisse propositam. Hanc lectionem Aristidem recte fuisse interpretatum verbis παρὰ ἀνδρὸς μύρου οὐ προσδέονται. Hanc duumvirorum egregiam animadversionem nemo facile erit qui cognitam non statim probet; itaque textum Xenophontis ita refinxi, ut signum interrogationis adderem. Ceterum verba αὐταὶ γὰρ τούτου ὄζουσιν (ita enim scribendum censuit vir doctissimus) nolim cum Casaubono interpretari: *ipsæ enim sunt pro unguento suis maritis*. Muretus quid ex vitiosa Athenæi scriptura exsculpserit, supra annotavi. Consensus Athenæi et Aristidis movit me, ut τοῦδε et deinceps articulum ἡ ante Κριτοβούλου nomen insererem. Uterque enim convivio intererat.

παροῦσα ἡδίων] *Quia simul adest labor, fortitudo, patientia et similes athletarum virtutes*. Ita Weiske. Xenophontis locum respicere videtur Achilles Tatius ii. p. 149. πάσης δὲ γυναικῶν μυραλοιφίας ἥδιον ὄδωδεν ὁ τῶν παίδων ἱδρώς.

4. μὲν ὁ ἀλειψάμενος] Articulum sic vulgo insertum auctore Athenæo deletum malim, nisi junxeris ἅπας ὁ ἀλειψάμενος, καὶ δ. κ. ἐλ.

χρόνου] Additum πολλοῦ Stephanus asterisco notavit, sine nota recepit Weiske, quod vocabulum deest in edd. veteribus, interpretatione Ribitti et damnavit Zeune, recte monens, si πολλοῦ probetur, desiderari ad ἐπιτηδευμάτων simile additamentum; quod Athenæus tamen præbet, χρηστῶν addens ante χρόνου πολλοῦ.

Συμμιγέῃς] Ex Steph. secunda συμμιχθῇς repetiit Weiske, edd. vett. et Leoncl. συμμιγῇς dant, adversante metro.

5. ἐβούλετο] E conjectura Leonclavii et Stephani Welsius et Bachius ediderunt βούλοιτο—σκεψόμενος, cujus rationem statim videbimus.

τοῦ παγκρατίου γενέσθαι, σὺν σοὶ σκεψάμενος . . . αὖ, ὃς ἂν δοκῇ αὐτῷ ἱκανώτατος εἶναι εἰς τὸ ταῦτα ἐπιτηδεῦσαι, τούτῳ
6 συνέσται. Ἐνταῦθα δὴ πολλοὶ ἐφθέγξαντο· καὶ ὁ μέν τις αὐτῶν εἶπε, ποῦ οὖν εὑρήσει τούτου διδάσκαλον; ὁ δέ τις, ὡς οὐδὲ διδακτὸν τοῦτο εἴη· ἕτερος δέ τις, ὡς εἴπερ τι καὶ ἄλλο
7 καὶ τοῦτο μαθητόν. Ὁ δὲ Σωκράτης ἔφη, τοῦτο μὲν ἐπειδὴ ἀμφίλογόν ἐστιν, εἰσαῦθις ἀποθώμεθα· νυνὶ δὲ τὰ προκείμενα ἀποτελῶμεν. Ὁρῶ γὰρ ἔγωγε τήνδε τὴν ὀρχηστρίδα ἐφεστη-
8 κυῖαν, καὶ τροχούς τινα αὐτῇ προσφέροντα. Ἐκ τούτου δὴ ηὔλει μὲν αὐτῇ ἡ ἑτέρα· παρεστηκὼς δέ τις τῇ ὀρχηστρίδι ἀνεδίδου τοὺς τροχοὺς μέχρι δώδεκα. Ἡ δὲ, λαμβάνουσα ἅμα τε ὠρχεῖτο, καὶ ἀνεῤῥίπτει δινουμένους, συντεκμαιρομένη, ὅσον
9 ἔδει ῥιπτεῖν ὕψος, ὡς ἐν ῥυθμῷ δέχεσθαι αὐτούς. Καὶ ὁ Σωκράτης εἶπεν, ἐν πολλοῖς μὲν, ὦ ἄνδρες, καὶ ἄλλοις δῆλον, καὶ ἐν οἷς δ' ἡ παῖς ποιεῖ, ὅτι ἡ γυναικεία φύσις οὐδὲν χείρων τῆς τοῦ ἀνδρὸς οὖσα τυγχάνει, γνώμης δὲ καὶ ἰσχύος δεῖ-

σκεψάμενος . . . αὖ] Cum Leonclavio Welsius et Bachius σκεψόμενος scripserunt, recte, cum iidem βούλοιτο antea dederint. Nec est hæc Leoncl. editionis scriptura orta errore operarum, ut ait Zeune. Scilicet cum vidissent particulam αὖ de futura aliqua re esse h. l. debere, vulgatam lectionem ille cum Stephano immutavit, non recordatus tamen pancratii victoriam Autolyco jam contigisse, nec adhuc sperari; quod recte contra lectionem βούλοιτο monuit Zeune. Itaque superest, ut putemus excidisse propter verborum similitudinem quædam, quæ cogitatione suppleri posse mihi non videntur ut Zeunio. Weiske nimis argutam brevitatem hanc esse ait, quam ut hæc integra esse putemus. Recte. Igitur lacunæ signa apposui.

τὸ ταῦτα] Articulum ex secunda Steph. cum Welsio et Weiskio adscivi.

6. Ἐνταῦθα] Juntina Ταῦτα, unde ταὐτὰ effecit Castalio. Deinde αὐτῷ εἶπε dat margo Villois. postea edd. vett. εὑρήσκει, verum etiam margo Villois. dat. εὑρίσκει edd. Halensis et Castal.

τοῦτο εἴη] Ita Castal. Brodæus, Leoncl. Stephanus scripserunt pro τούτου εἴη, ut deinde μαθητὸν pro vulgato μαθητέον est ex emendatione Leoncl. et Stephani.

8. τροχοὺς] Huc referunt Artemidori i. 68. τροχοπαικτεῖν ἢ μαχαίρας περιδινεῖσθαι.

δινουμένους] Edd. vett. δονουμένους dant. Sequens ῥιπτεῖν, forma Ionica, Welsium secutus Bach. mutavit in ῥίπτειν.

ἐν ῥυθμῷ] i. e. saltans ad numerum vel rhythmum.

9. ἐν οἷς δ' ἡ παῖς] Aristides Guelferbytanus habet scriptum ex h. l. δῆλον δὲ καὶ ἐν οἷς ἡ παῖς. Certe inutilis est particula δὲ ita collocata, quæ si transferatur et conjungatur cum ἡ, ut sit ἥδε παῖς, recte habebunt omnia. Deinde edd. vett. dant οὐδὲ χεῖρον, sed Aldina οὐδέν.

γνώμης—δεῖται] Lange vertebat:

ται. Ὥστε εἴτις ὑμῶν γυναῖκα ἔχει, θαῤῥῶν διδασκέτω, ὅ τι
βούλοιτ' ἂν αὐτῇ ἐπισταμένῃ χρῆσθαι. Καὶ ὁ Ἀντισθένης, 10
πῶς οὖν, ἔφη, ὦ Σώκρατες, οὕτω γιγνώσκων, οὐ καὶ σὺ παι-
δεύεις Ξανθίππην, ἀλλὰ χρῇ γυναικὶ τῶν οὐσῶν, οἶμαι δὲ καὶ
τῶν γεγενημένων, καὶ τῶν ἐσομένων, χαλεπωτάτῃ; Ὅτι, ἔφη,
ὁρῶ καὶ τοὺς ἱππικοὺς βουλομένους γενέσθαι, οὐ τοὺς εὐπει-
θεστάτους, ἀλλὰ τοὺς θυμοειδεῖς ἵππους κτωμένους. Νομί-
ζουσι γὰρ, ἢν τοὺς τοιούτους δύνωνται κατέχειν, ῥᾳδίως τοῖς γε
ἄλλοις ἵπποις χρήσεσθαι. Κἀγὼ δὴ βουλόμενος ἀνθρώποις
χρῆσθαι, καὶ ὁμιλεῖν, ταύτην κέκτημαι, εὖ εἰδὼς, ὅτι, εἰ
ταύτην ὑποίσω, ῥᾳδίως τοῖς γε ἄλλοις ἅπασιν ἀνθρώποις
συνέσομαι. Καὶ οὗτος μὲν δὴ ὁ λόγος οὐκ ἀπὸ τοῦ σκο-
ποῦ ἔδοξεν εἰρῆσθαι. Μετὰ δὲ τοῦτο κύκλος εἰσηνέχθη περί- 11
μεστος ξιφῶν ὀρθῶν. Εἰς οὖν ταῦτα ἡ ὀρχηστρὶς ἐκυβίστα
τε, καὶ ἐξεκυβίστα ὑπὲρ αὐτῶν. Ὥστε οἱ μὲν θεώμενοι

mente seu ratione carent. Talem sententiam Socratis orationi minime convenire recte censuit; igitur verba aliunde illata putavit uncisque seclusit. Temere! δεῖται est *inferior est,* ut recte habet Index Zeunianus. Pro γνώμης idem Lange malebat ῥώμης scriptum. Etiam Weiske in vocabulo γνώμης adhæsit, et quærit, quid h. l. sit? Opinatur autem universe esse *scientiam, rerum notitiam.* Itaque recte sequi: ὥστε εἴτις ὑμῶν γυναῖκα ἔχει, θαῤῥῶν διδασκέτω, ὅ τι βούλοιτ' ἂν αὐτῇ ἐπισταμένῃ χρῆσθαι. Putavit igitur vir doctus hæc referri ad γνώμην. At ita ἰσχύος nulla ratio habetur. Scilicet et ipse verbum δεῖται aliter intellexisse videtur, atque oppositum οὐδὲν χείρων fieri postulat. Itaque nihil mutandum censeo.

10. παιδεύεις] Edd. vett. præter Castal. παιδεύσεις habent. Ceterum Socratis hanc responsionem repetiit Plutarchus de utilitate ex hostibus capienda p. 337. ed. Reiskii, et Gellius N. A. i. 17.

οὐκ ἀπὸ τοῦ σκοποῦ] Zeunii interpretationem *oratio non aliena a loco proferri visa est,* quippe cujus occasio ab arte et exemplo saltatricis erat subnata, recte damnavit Weiske, qui pertinere ait responsum Socratis ad verba ὅτι ὁρῶ καὶ τοὺς ἱππικούς. In hoc enim omnes una consensisse, neminem dubitasse, sicut de docenda καλοκἀγαθίᾳ. Addit ex Suida interpretationem ἀπὸ σκοποῦ, μάτην, περιττῶς, ἐναντίως. Breviter, *rectum et verum dictum* interpretatur Weiske. Mihi oratio non ἀπὸ τοῦ σκοποῦ eadem esse videtur, quæ ἐπίσκοπος et εὔστοχος. Itaque Xenophon dicere voluisse videtur: Socrates visus est comparatione equorum domandorum cum muliere ducenda acute et vere usus defensionem suam contra Antisthenem egregie exsequi. Video nunc etiam Langium hæc verba ad importunam Antisthenis quæstionem referre.

11. Εἰς οὖν] Juntina dat εἰς μὲν οὖν.

ἐξεκυβίστα] Recte h. l. interpretatur Weiske: *in hos gladios salta-*

ἐφοβοῦντο, μήτι πάθη, ἡ δὲ θαῤῥούντως τε καὶ ἀσφαλῶς ταῦτα
12 διεπράττετο. Καὶ ὁ Σωκράτης καλέσας τὸν Ἀντισθένην, εἶπεν,
οὔτοι τούς γε θεωμένους τάδε ἀντιλέξειν ἔτι οἴομαι, ὡς οὐχὶ καὶ
ἡ ἀνδρεία διδακτὸν, ὁπότε αὕτη, καί περ γυνὴ οὖσα, οὕτω τολ-
13 μηρῶς εἰς τὰ ξίφη ἵεται. Καὶ ὁ Ἀντισθένης εἶπεν, ἆρ' οὖν
καὶ τῷδε τῷ Συρακοσίῳ κράτιστον ἐπιδείξαντι τῇ πόλει τὴν
ὀρχηστρίδα εἰπεῖν, ἐὰν διδῶσιν αὐτῷ Ἀθηναῖοι χρήματα, ποιή-
σειν πάντας Ἀθηναίους τολμᾷν ὁμόσε ταῖς λόγχαις ἰέναι;
14 Καὶ ὁ Φίλιππος, νὴ Δί', ἔφη, καὶ μὴν ἔγωγε ἡδέως ἂν θεώ-
μην Πείσανδρον τὸν δημηγόρον μανθάνοντα κυβιστᾷν εἰς τὰς
μαχαίρας, ὃς νῦν διὰ τὸ μὴ δύνασθαι λόγχαις ἀντιβλέπειν,
15 οὐδὲ συστρατεύεσθαι ἐθέλει. Ἐκ τούτου ὁ παῖς ὠρχήσατο.
Καὶ ὁ Σωκράτης εἶπεν, εἴδετ', ἔφη, ὡς καλὸς παῖς ὢν, ὅμως
σὺν τοῖς σχήμασιν ἔτι καλλίων φαίνεται, ἢ ὅταν ἡσυχίαν ἔχῃ.
Καὶ ὁ Χαρμίδης εἶπεν, ἐπαινοῦντι ἔοικας τὸν ὀρχηστοδιδάσκα-

trix saltu et capite prono se dabat, et rotata super eos rursus in pedes revoluta stabat. Diversum enim est ἐκκυβιστᾷν a κυβιστᾷν, ut bene admonuit vir doctus.

ἐφοβοῦντο] Aristides, etiam Guelferbytanus, ἐθορυβοῦντο habet ex h. l. sed alii libri vulgatum dant.

12. ὡς οὐχὶ] Juntina ὡς οὐ dat et sequens οὕτω omittit.

13. ἆρ' οὖν] Weiske ἄρ' οὖν scribendum censuit atque ita edidit omisso signo interrogationis. Platonis locos similes desideranti indicabit Heindorf ad Charmidem p. 73. cujus est annotatio satis copiosa de utraque scriptura, sed dubitationem omnem mihi nondum exemit. Ceterum Cornarius in Præfatione ad versionem Symposii utriusque Platonici et Xenophontei p. 11. hunc locum tanquam vitiosum ita corrigi voluit: ἐπιδείξαντι τὴν ὀρχηστρίδα· καὶ οὗτος vel καὶ ὁ Συρακούσιος εἶπεν. atque ita vertit: *Proinde etiam huic Syracusio commodissimum fuerit, quod civitati saltatricem ostenderit. Et hic, si dent ipsi, inquit, Athenienses pecunias, facere vellet, ut omnes* et cet. Scilicet virum doctum vulgata scriptura ποιήσει videtur in errorem induxisse, quam cum Castalione, Leonclavio et Stephano in ποιήσειν mutarunt recentiores Editores.

14. Πείσανδρον] Ex Thucydide viii. 53. et Xenophontis Hellenicis II. notum, quem in comœdia Avibus inscripta versu 1556. Pace 395. Lysistrata 490. publice exagitavit Aristophanes. Pax vero fuit in certamen publicum commissa Olympiadis 90. anno 4. Aves Ol. 91. 2. Lysistrata Olymp. 92. Fuit igitur Pisistratus Olympiadis 90. initio demagogus timiditate insignis adeo, ut publicam Comicorum irrisionem mereretur. Falsum igitur, quod Weiske posuit in Disputatione de Symposio p. 97. Pisandrum demum Olympiade 92, 1. fuisse δημηγόρον, quippe qui eo anno a Thucydide commemoretur et in quadringentis tyrannis eodem anno perierit.

λον. Ναὶ μὰ τὸν Δί', ἔφη ὁ Σωκράτης· καὶ γὰρ ἄλλο τι 16
προσενόησα, ὅτι οὐδὲν ἀργὸν τοῦ σώματος ἐν τῇ ὀρχήσει ἦν,
ἀλλ' ἅμα καὶ τράχηλος, καὶ σκέλη, καὶ χεῖρες ἐγυμνάζοντο,
ὥσπερ χρὴ ὀρχεῖσθαι τὸν μέλλοντα εὐφορώτερον τὸ σῶμα ἕξειν.
Καὶ ἐγὼ μὲν, ἔφη, πάνυ ἂν ἡδέως, ὦ Συρακόσιε, μάθοιμι τὰ
σχήματα παρὰ σοῦ. Καὶ ὃς, τί οὖν χρήσῃ αὐτοῖς; ἔφη.
Ὀρχήσομαι νὴ Δία. Ἐνταῦθα δὴ ἐγέλασαν ἅπαντες. Καὶ 17
ὁ Σωκράτης μάλα ἐσπουδακότι τῷ προσώπῳ, γελᾶτε, ἔφη,
ἐπ' ἐμοί; πότερον ἐπὶ τούτῳ, εἰ βούλομαι γυμναζόμενος μᾶλ-
λον ὑγιαίνειν, ἢ εἰ ἥδιον ἐσθίειν καὶ καθεύδειν, ἢ εἰ τοιούτων
γυμνασίων ἐπιθυμῶ, μὴ ὥσπερ οἱ δολιχοδρόμοι τὰ σκέλη μὲν
παχύνονται, τοὺς δὲ ὤμους λεπτύνονται, μηδ' ὥσπερ οἱ πύ-
κται τοὺς μὲν ὤμους παχύνονται, τὰ δὲ σκέλη λεπτύνονται,
ἀλλὰ παντὶ διαπονῶν τῷ σώματι, πᾶν ἰσόῤῥοπον ποιεῖν; Ἦ 18

16. *προσενόησα*] Mihi scribendum videbatur ex usu Platonico et Xenophonteo verbi *ἐννοεῖν*, quem lectori notum esse puto, *προσενενόησα*.— Etiam in Platonis Gorgia sect. 37. *λέγω δ' ἐννοήσας, ὅτι ἐγώ τε καὶ σὺ νῦν τυγχάνομεν ταὐτὸν πεπονθότες*, Basil. utraque δὲ *νοήσας* male dedit scriptum. *νοεῖν* est simpliciter *animum advertere*: *ἐννοεῖν* est *cogitare*, et significat præcipue *cogitationem ex aspectu rei cujusdam subnatam.*

οὐδὲν ἀργὸν τοῦ σώματος] Intellige *μέλος*. Athenæus i. p. 20. *τῆς δὲ* Μέμφιδος *ὀρχήσεως ἤρα καὶ Σωκράτης ὁ σοφὸς καὶ πολλάκις καταλαμβανόμενος ὀρχούμενος, ὥς φησι Ξενοφῶν, ἔλεγε τοῖς γνωρίμοις παντὸς εἶναι μέλους τὴν ὄρχησιν γυμνάσιον·* quem locum vitiosum esse, fatentur interpretes; medelam nullus excogitavit. Vocabulum Μέμφιδος, ex superiore loco repetitum, delendum plane erat.

ὥσπερ χρὴ] Placet conjectura Weiskii *ὥστε* scribentis: cum qua sequentia bene congruunt.

17. *ἢ εἰ ἥδιον—ἢ εἰ*] Ernesti prius *εἰ* deleri voluit, alterum omisit editio Castal.

μὴ ὥσπερ] Non sequitur, quod conjunctioni *μὴ* respondeat; igitur Zeune intelligebat omissum *ὥστε ἐμοὶ τὰ σκέλη παχύνεσθαι* et sic in reliquis. Weiske turbatum verborum ordinem nota *ἀνακολουθίας* figura excusat, et in fine cogitandum esse monet *ἀλλ' ὥστε παντὶ διαπονῶν* et cet. Mihi paucis in locis *ἀνακολουθίας* ista excusatio satisfacit, minime vero hoc in loco, ubi verbum aliquod desidero, et locum vitiosum puto esse.

ἰσόῤῥοπον ποιεῖν] Deinceps inserenda putabat Weiske, quæ nunc in sect. 20. leguntur: in quam opinionem eum induxisse videtur similitudo verborum *ἰσόῤῥοπα* et *ἰσοφόρα*. Ita vero dicterium Philippi ad Socratem solum spectaret, quem Weiske horum etiam membrorum (pedum et humerorum) ratione deformem fuisse narrat, nescio quo auctore. Verum ex illa paragrapho 20. prior tantum pars huc commode retrahi potest; altera a verbis inde Καὶ ὁ Καλλίας locum istum mutare nisi vi illata non posse videtur. Atque omnino transpositio ista interpellaret schema orationis sive interrogationem, quam post istam inter-

ἐπ' ἐκείνῳ γελᾶτε, ὅτι οὐ δεήσει με συγγυμναστὴν ζητεῖν, οὐδ' ἐν ὄχλῳ, πρεσβύτην ὄντα, ἀποδύεσθαι, ἀλλ' ἀρκέσει μοι οἶκος ἑπτάκλινος, ὥσπερ καὶ νῦν τῷδε τῷ παιδὶ ἤρκεσε τόδε τὸ οἴκημα ἐνιδρῶσαι. Καὶ χειμῶνος μὲν ἐν στέγῃ γυμνάσομαι,
19 ὅταν δὲ ἄγαν καῦμα ᾖ, ἐν σκιᾷ. Ἢ τόδε γελᾶτε, εἰ μείζω τοῦ καιροῦ τὴν γαστέρα ἔχων, μετριωτέραν βούλομαι ποιῆσαι αὐτήν; ἢ οὐκ ἴστε, ὅτι ἔναγχος ἕωθεν Χαρμίδης οὑτοσὶ κατέλαβέ με ὀρχούμενον; Ναὶ μὰ τὸν Δί', ἔφη ὁ Χαρμίδης· καὶ τὸ μέν γε πρῶτον ἐξεπλάγην, καὶ ἔδεισα μὴ μαίνοιο· ἐπεὶ δέ σου ἤκουσα ὅμοια οἷς νῦν λέγεις, καὶ αὐτὸς ἐλθὼν οἴκαδε ὠρχούμην μὲν οὔ, (οὐ γὰρ πώποτε τοῦτ' ἔμαθον) ἐχειρονόμουν δέ·
20 ταῦτα γὰρ ἠπιστάμην. Νὴ Δί', ἔφη ὁ Φίλιππος. Καὶ γὰρ οὖν οὕτω τὰ σκέλη τοῖς ὤμοις φαίνῃ ἰσοφόρα ἔχειν, ὥστε δοκεῖς ἐμοί, κἂν εἰ τοῖς ἀγορανόμοις ἀφιστῴης, ὥσπερ ἄρτους,

polationem recte continuari posse non puto.

18. ἐνιδρῶσαι] Plutarchus Præcept. Sanit. p. 496: ὁ μὲν γὰρ Σωκράτης ἔλεγεν, ὅτι τῷ κινοῦντι δι' ὀρχήσεως ἑαυτὸν ἑπτάκλινος οἶκος ἱκανός ἐστιν ἐγγυμνάζεσθαι. Utitur is proprio verbo. Nimius est Diogenes in Socrate hæc referens: ἔτι δὲ ὠρχεῖτο συνεχὲς τῇ τοῦ σώματος εὐεξίᾳ λυσιτελεῖν ἡγούμενος τὴν τοιαύτην γυμνασίαν, ὡς καὶ Ξενοφῶν ἐν συμποσίῳ φησίν. Cf. etiam Lucianum de Saltatione p. 138. ed Bipont.

19. γαστέρα] Hinc Socratem προγάστορα vocavit Maximus Tyrius Orat. vii. 9. et xxxix. 5.

ἐχειρονόμουν] Plato Legum viii. p. 401. ed. Bip. ἐρημίᾳ συγγυμναστῶν ἐτολμήσαμεν ἂν αὐτοὶ πρὸς ἡμᾶς αὐτοὺς σκιαμαχεῖν ὄντως; ἢ τί ποτε ἄλλο τὴν τοῦ χειρονομεῖν μελέτην ἄν τις φαίη γεγονέναι; Hesychius νεῖμον interpretatur ὄρχησαι. Idem χειρονόμος, ὀρχηστής. Antiphanes Athenæi iv. p. 27. ed. nuperæ philosophum nescio quem designans: τὸν ὀρχούμενον ταῖς χερσὶ παρὰ τὸ δεῖπνον dicit. Ad sensa animi aliis significanda adhibitum χειρονομεῖν ex Æliani V. H. xiv. 22. annotavit Weiske; ἐναγώνιον χειρονομίαν de Saltatione pantomimorum usurpat Lucianus v. p. 167. Luctationis genus aliquod fuisse patet ex Pausania vi. 10. de statua Glauci Carystii: σκιαμαχοῦντος δὲ ὁ ἀνδριὰς παρέχεται σχῆμα, ὅτι ὁ Γλαῦκος ἦν ἐπιτηδειότατος τῶν κατ' αὐτὸν χειρονομῆσαι. Hinc Suidas χειρονομεῖν, πυκτεύειν interpretatur. Hoc vero in loco a saltatione aperte ἡ χειρονομία distinguitur, et gestus, uti videtur, solus significatur. Quanquam veteres scriptores quidam ex hoc Xenophontis loco Socrati χειρονομίαν assignant, uti Quinctilianus Inst. Orat. i. 11, 17. *cum præsertim hæc chironomia, quæ est, ut nomine ipso declaratur, lex gestus, et ab illis temporibus heroicis orta sit, et a summis Græciæ viris, et ab ipsa etiam Socrate probata et a Platone quoque in parte civilium posita virtutum, et a Chrysippo in præceptis de liberorum educatione compositis non omissa:* qui chironomiam videtur cum χειρῶν νόμῳ permutasse, qua dictione Herodotus manuum consertionem in prælio solet significare.

τὰ κάτω πρὸς τὰ ἄνω, ἀζήμιος ἂν γενέσθαι. Καὶ ὁ Καλ-
λίας εἶπεν, ὦ Σώκρατες, ἐμὲ μὲν παρακάλει, ὅταν μέλλῃς
μανθάνειν ὀρχεῖσθαι, ἵνα σοι ἀντιστοιχῶ τε καὶ συμμανθάνω.
Ἄγε δὴ, ἔφη ὁ Φίλιππος, καὶ ἐμοὶ αὐλησάτω, ἵνα καὶ 21
ἐγὼ ὀρχήσωμαι. Ἐπειδὴ δ' ἀνέστη, διῆλθε μιμούμενος τήν
τε τοῦ παιδὸς καὶ τὴν τῆς παιδὸς ὄρχησιν. Καὶ πρῶτον μὲν, 22
ὅτι ἐπῄνεσαν, ὡς ὁ παῖς σὺν τοῖς σχήμασιν ἔτι καλλίων ἐφαί-
νετο, ἀνταπέδειξεν, ὅ τι κινοίη τοῦ σώματος, ἅπαν τῆς φύσεως
γελοιότερον· ὅτι δ' ἡ παῖς εἰς τοὔπισθεν καμπτομένη τροχοὺς
ἐμιμεῖτο, ἐκεῖνος ταῦτα εἰς τὸ ἔμπροσθεν ἐπικύπτων, μιμεῖ-
σθαι τροχοὺς ἐπειρᾶτο. Τέλος δ', ὅτι τὸν παῖδ' ἐπῄνουν, ὡς
ἐν τῇ ὀρχήσει ἅπαν τὸ σῶμα γυμνάζοι, κελεύσας τὴν αὐλη-
τρίδα θάττονα ῥυθμὸν ἐπάγειν, ἵει ἅμα πάντα καὶ σκέλη, καὶ
χεῖρας, καὶ κεφαλήν. Ἐπειδὴ δὲ ἀπειρήκει, κατακλινόμενος 23
εἶπε, τεκμήριον, ὦ ἄνδρες, ὅτι καλῶς γυμνάζει καὶ τὰ ἐμὰ
ὀρχήματα. Ἔγωγ' οὖν διψῶ· καὶ ὁ παῖς ἐγχεάτω μοι τὴν
μεγάλην φιάλην. Νὴ Δί', ἔφη ὁ Καλλίας, καὶ ἡμῖν γε,
ἐπεὶ καὶ ἡμεῖς διψῶμεν ἐπὶ σοὶ γελῶντες. Ὁ δ' αὖ Σω- 24

20. ἀζήμιος] Agoranomi igitur curabant, ut panes justo pondere venderentur.

ἀντιστοιχῶ] Chori series στοῖχος dicitur: Pollux iv. 108. Militaris etiam aciei series; hinc συστοιχοῦντες milites dicuntur, qui stant in eadem serie. Attici dicebant στοιχεῖν; hinc cives tabulis adscripti jurabant οὐδὲ καταλείψω τὸν παραστάτην, ᾧ ἂν στοιχῶ, teste Polluce viii. 105. Qui igitur in opposita serie stat vel saltat, ἀντιστοιχεῖ. Noster Anabas. v. 4, 12. οἱ χοροὶ ἀντιστοιχοῦντες ἀλλήλοις.

21. αὐλησάτω] Intelligitur hic ἡ αὐλητρὶς, alibi τὶς in simili imperativo.

22. καμπτομένη] Cum in Aldina scriptum καλυπτομένη—θᾶττον ἀριθμὸν reperisset Cornarius, locum ita emendavit: κυπτομένη τροχοὺς ἐῤῥιπτεῖτο—θάττονα ῥυθμὸν, et vertit: *quia puella retro inclinata trochos jaciebat, idcirco ille in anteriorem partem se inclinans trochos imitari conabatur—celeriorem rhythmum inducere*. Merito vir doctus miratus est h. l. τροχοὺς μιμεῖσθαι dici puellam, quæ supra sect. 8. saltans τροχοὺς ἀνεῤῥίπτει δινουμένους. Nullum interpretum postea difficultas ea advertit, quæ qua ratione sit tollenda, equidem non reperio. Cornarii enim ratio displicet. Denique infra cap. vii. sect. 3. Syracusius pueros vult introducere rotas inflexo corpore imitantes, quod vetat Socrates. Unde igitur ἡ παῖς ἐμιμεῖτο τροχούς?

ἐκεῖνος ταῦτα] Ernesti malebat ταὐτὰ vel ταὐτὸ, *similiter, pari modo*; Weiske αὖ, quod ipse etiam malim scriptum.

θάττονα—ἐπάγειν] Videtur esse *incitare numeros*.

κράτης εἶπεν, ἀλλὰ πίνειν μὲν, ὦ ἄνδρες, καὶ ἐμοὶ πάνυ δοκεῖ· τῷ γὰρ ὄντι ὁ οἶνος ἄρδων τὰς ψυχὰς, τὰς μὲν λύπας, ὥσπερ ὁ μανδραγόρας τοὺς ἀνθρώπους, κοιμίζει, τὰς δὲ φιλο-

24. καὶ ἐμοὶ] Ex Stobæo p. 170. ubi est πίνειν μὲν ὧδε κἀμοὶ, Zeune recepit formam κἀμοί. Ubi Codex Paris. A. a Grotio comparatus ὦ ἄνδρες addit.

τοὺς ἀνθρώπους] Athenæus p. 504. articulum omisit, Stobæus p. 370. dat ἄνδρα, Artemidorus i. 68. ἀνδρὸς, ubi Cornarius ἀνίας vel ὀδύνας vertendo reddidit. Codex Paris. A. Stobæi priore in loco dat τοῖς ἀνθρώποις.

φιλοφροσύνας, ὥσπερ ἔλαιον] Novavit quædam recens Athenæi Editor, cujus novæ editionis pars postrema, quæ librum Athenæi undecimum et duodecimum tenet, nunc demum ad me pervenit. Is igitur scripturam librorum scriptorum et Venetæ editionis τὰς δὲ (omissis verbis φιλοφροσύνας ὥσπερ ἔλαιον) φλόγας ἐγείρει restituit, et numerum pluralem φλόγας Xenophonti etiam restituendum esse suspicatur. Fateor equidem, pronunciationi verborum ita consuli, verum usus pluralem numerum φλόγας ne poetis quidem concessisse videtur, nec ejus ulla major ad significandum vis hic esse mihi videtur. Pro ἀνδρῶν Epitome scripta ἀνθρώπων dat. Deinde ὥραις διαπλοῦσθαι scriptum habent pro vulgata Xenophontis scriptura αὔραις διαπνεῖσθαι non solum omnes scripti libri Athenæi et Epitomæ, sed ipsa etiam Veneta editio; et recens Editor *etiam atque etiam videndum censet, ne unice vera hæc sit scriptura, ipsique Xenophonti restituenda; apud quem ipsi quidem non elegantissime, ut Casaubono, sed perincommode vulgo legi* ταῖς αὔραις, *in ista utique orationis connexione, videtur.* Verbum διαπλοῦσθαι videri significatum haud multo diversum habere ab eo, quem habet cognatum ἀναπλοῦσθαι, scilicet *expandi.* Ejus exemplum mire huc faciens ex Dioscoride ii. 188. positum esse a Stephano: ὅπερ κατὰ τοὺς οἰκείους καιροὺς ἀναπλούμενον βότρυς ἀνίησιν, *quod justo tempore expansum racemos emittit.* Saraceni editio cap. 189. numerat et locum vertit: *dehiscens pandensque sese.* Similitudo significationis si qua est in utroque loco, res significata etiam debet esse similis. Ibi igitur corpus minutum, milio simile, dicitur explicari et expandi in racemum grana ferentem; contra Xenophon plantam ait pluvia aqua irrigatam simul et vento modico agitatam non solum erectam surgere, sed etiam florescentem ad fructum pervenire. Egregie et vere Seneca Q. N. v. c. 18. *dedit deus ventos—ad alendos satorum atque arborum fructus: quos ad maturitatem cum aliis causis adducit ipsa jactatio, attrahens cibum in summa, et ne torpeat, movens.* Habes interpretationem verborum ταῖς αὔραις διαπνεῖσθαι. At si Athenæi librorum ταῖς ὥραις διαπλοῦσθαι probaveris, vereor ut commodam interpretationem excogitare possis. Athenæi enim Editor verbum διαπλοῦσθαι interpretatus locum Xenophontis minime omnium explicuit. Planta enim, quæ in altum jam surrexit, recte dici non potest in ramos surculosve explicari vel expandi ταῖς ὥραις. Horæ enim hæ ipsæ pluviis rigant, erigunt et in altum evocant plantam, non solum in ramos surculosque explicant. Quodsi verbum

φροσύνας, ὥσπερ ἔλαιον φλόγα, ἐγείρει. Δοκεῖ μέντοι μοι 25
καὶ τὰ τῶν ἀνδρῶν σώματα ταὐτὰ πάσχειν, ἅπερ καὶ τὰ τῶν
ἐν γῇ φυομένων. Καὶ γὰρ ἐκεῖνα, ὅταν μὲν ὁ θεὸς αὐτὰ ἄγαν
ἀθρόως ποτίζῃ, οὐ δύναται ὀρθοῦσθαι, οὐδὲ ταῖς αὔραις διαπνεῖ-
σθαι. Ὅταν δ', ὅσῳ ἥδεται, τοσοῦτο πίνῃ, καὶ μάλα ὀρθά 26
τε αὔξεται, καὶ θάλλοντα ἀφικνεῖται εἰς τὴν καρπογονίαν.
Οὕτω δὲ καὶ ἡμεῖς ἢν μὲν ἀθρόον τὸ ποτὸν ἐγχεώμεθα, ταχὺ
ἡμῖν καὶ τὰ σώματα καὶ αἱ γνῶμαι σφαλοῦνται, καὶ οὐδὲ
ἀναπνεῖν, μὴ ὅτι λέγειν τι δυνησόμεθα· ἢν δὲ ἡμῖν οἱ παῖδες

διαπλοῦσθαι, ut in loco Dioscoridis, ad fructum referre volueris, tum verba aliquot addenda erant, sine quibus notio fructificandi verbo διαπλοῦσθαι tribui vel accedere non potest. Redit deinde eadem difficultas, quod Horis vel tempestati assignatur fructificatio sola, cum iisdem debeatur omnis plantarum natura, proceritas et lætitia. Accedit, quod sequens verbum ἀναπνεῖν in homine cum plantis comparato manifesto refertur ad διαπνεῖσθαι illud de plantis usurpatum. Igitur vulgatam librorum omnium Xenophontis scripturam unice veram esse censeo.—Postea libri scripti Athenæi cum editione Veneta tenent τάχα ἡμῶν—μὴ ὅτι λέγειν (omisso τι) δυνησόμεθα. Recte eam scripturam Athenæo restituit Editor; in Xenophonte contra pariter librorum scriptorum et editorum omnium fidem tuendam mihi esse censui; quanquam τι commode abesse posse non infitior.—Quod sequitur in Xenophonte πυκνὰ ἐπιψεκάζωσι, prius vocabulum editio Veneta cum libris scriptis in μικρὰ, alterum in ἐπιψακάζωσιν mutat Codex A. utramque scripturam prætulit Athenæi Editor, comparans Mœrin: ψακὰς, Ἀττικῶς, ψεκὰς, Ἑλληνικῶς. In Athenæo vi. p. 269. ψακαζέτω ἄρτοισιν. xii. p. 600. ψακάδεσσιν habent libri scripti, non ψεκάδεσσιν. Hesychius ἐψάκασαν, ἔσταξαν habet. Equidem nunc utramque scripturam vulgatæ Xenophontis plane præfero. πυκνὰ enim contrariam sententiæ Socratis habere videtur significationem.—Denique Athenæus recens habet: ἵνα καὶ ἐγὼ Γοργείοισιν ῥήμασιν εἴπω—οὐ βιαζόμενοι μεθύειν ὑπὸ τοῦ οἴνου. Scilicet præpositionem ἐν omittunt libri scripti cum editione Veneta: Γοργείοισιν tamen minime ferendum erat novo Editori, quippe a Γοργὼ derivatum, non a Γοργίας. Itaque Γοργιείοις scribendum fuerat.

25. Δοκεῖ] Stobæus δοκεῖ γε μέντοι habet ex h. l. Sequens σώματα pro vulgato συμπόσια ex Athenæo suadente Stephano primus admisit Welsius; idem Stephanus vulgatum ταὐτὰ cum vulgari ταῦτα commutari jussit, quod fecerat antea Castalio.

τὰ τῶν ἐν γῇ] Stobæus ἐν τῇ γῇ habet, Castalio τὰ ἐν γῇ φυόμενα edidit. Deinde τοσούτῳ edd. vett. τοσοῦτον Stobæus.

διαπνεῖσθαι] Antoninus philos. vi. 16. οὔτε τὸ διαπνεῖσθαι, ὡς τὰ φυτὰ, τίμιον, οὔτε τὸ ἀναπνεῖν, ὡς τὰ βοσκήματα καὶ θηρία. Idem tamen iii. 1. διαπνεῖσθαι etiam de homine pro ἀναπνεῖν usurpavit; ubi liber Vaticanus διοπνεῖσθαι scriptum habet. In Athenæi Codd. et Excerptis scriptum ὥραις διαπλοῦσθαι testatur Casaubonus.

26. Οὕτω δὲ] Codex Paris. A. Stobæi δὲ omisit. δὴ dedit Athenæus et

μικραῖς κύλιξι πυκνὰ ἐπιψεκάζωσιν, (ἵνα καὶ ἐγὼ ἐν Γοργιείοις ῥήμασιν εἴπω) οὕτως οὐ βιαζόμενοι ὑπὸ τοῦ οἴνου μεθύειν, ἀλλ' ἀναπειθόμενοι, πρὸς τὸ παιγνιωδέστερον ἀφιξόμεθα.
27 Ἐδόκει μὲν δὴ ταῦτα πᾶσι· προσέθηκε δὲ ὁ Φίλιππος, ὡς χρὴ τοὺς οἰνοχόους μιμεῖσθαι τοὺς ἀγαθοὺς ἁρματηλάτας, θᾶττον περιελαύνοντας τὰς κύλικας. Οἱ μὲν δὴ οἰνοχόοι οὕτως ἐποίουν.

CAP. III.

1 ΕΚ δὲ τούτου συνηρμοσμένῃ τῇ λύρᾳ πρὸς τὸν αὐλὸν ἐκιθάρισεν ὁ παῖς, καὶ ᾖσεν. Ἔνθα δὴ ἐπῄνεσαν μὲν ἅπαντες· ὁ δὲ Χαρμίδης καὶ εἶπεν, ἀλλ' ἐμοὶ μὲν δοκεῖ, ὦ ἄνδρες, ὥσπερ Σωκράτης ἔφη τὸν οἶνον, οὕτω καὶ αὕτη ἡ κρᾶσις τῶν τε παίδων τῆς ὥρας καὶ τῶν φθόγγων τὰς μὲν λύπας κοιμίζειν, τὴν

mox καὶ ἡμῶν. quod posterius probabat Brodæus.

ἐπιψεκάζωσιν] Aldina Athenæi editio μικρὰ pro πυκνὰ habet, testante Stephano. Cicero Catonis c. xiv. *et pocula delectant me, sicut in Symposio Xenophontis, minuta atque rorantia.* Cf. etiam Sympos. Platonis sect. iv. Verbum ex h. l. duxit Lucianus tom. iii. p. 250: *αἰτιᾷ τὴν τύχην οὐδ' ὀλίγα σοι τῶν χαρίτων ἐπιψεκάσασαν.*

Γοργιείοις] Supra Gorgias est inter Calliæ præceptores cap. i. sect. v. Fuit Leontinus, missus Athenas, ut Atheniensium societatem Leontinis conciliaret, Olympiadis 88. anno 2. teste Diodoro xii. 52. id est post mortem Periclis, quæ accidit Olymp. 87, 4. Cum Diodoro concinit Plato in Gorgia p. 149. ed. Bip. in quo Dialogo Plato facit Socratem colloquentem cum Gorgia apud Calliclem demagogum commorante; quarto igitur anno ante mortem Hipponici, patris Calliæ, quam contigisse in pugna ad Delium Olymp. 89. anno 1. docui in Disputatione de tempore Symposii Xenophontei. Floruit Gorgias tanta ingenii facundiæque laude Athenis, ut, quod aït Olympiodorus in Commentario ad Gorgiam Platonis (excerpto in editione Lipsiensi Findeisenii p. 606.) Athenienses dies illos, quibus artem suam publice ostentabat spectandam, festos (ἑορτὰς), orationem ipsam lampades vocarent. Troilus in Prolègomenis ad Hermogenem (ibidem excerptis) cola nominavit pro oratione (κῶλα—λόγους), quia Gorgiæ oratio in membra concisa, non longo verborum circuitu seu periodis comprehensa fuisse videtur. Socrates igitur, ut Calliæ Gorgiæ auditori et admiratori gratificetur, utitur verbis aliquot Gorgiæ.

μεθύειν] Verbum omisit Stobæus. Mihi deesse videtur aliqua pars orationis, futurum verbi alicujus, quod respondeat sequenti ἀφιξόμεθα. Deinde παιδιωδέστερον habet margo Stephan. παιγνιωδέστερα edidit Castalio.

27. περιελαύνοντας] Ridiculus homo verbo aurigarum utitur, ubi vulgo dicebatur περιφέρειν, περιάγειν, περισοβεῖν, docente Berglero ad Alciphronis i. Epist. 22.

δ' ἀφροδίτην ἐγείρειν. Ἐκ τούτου δὲ πάλιν εἶπεν ὁ Σωκρά- 2
της, οὗτοι μὲν δή, ὦ ἄνδρες, ἱκανοὶ τέρπειν ἡμᾶς φαίνονται·
ἡμεῖς δὲ τούτων οἶδ' ὅτι πολὺ βελτίονες οἰόμεθα εἶναι· οὐκ
αἰσχρὸν οὖν, εἰ μηδ' ἐπιχειρήσομεν συνόντες ὠφελεῖν τι ἢ εὐ-
φραίνειν ἀλλήλους; Ἐντεῦθεν εἶπον πολλοί, σὺ τοίνυν ἡμῖν
ἐξηγοῦ, ποίων λόγων ἁπτόμενοι μάλιστ' ἂν ταῦτα ποιοῖμεν.
Ἐγὼ μὲν τοίνυν, ἔφη, ἥδιστ' ἂν ἀπολάβοιμι παρὰ Καλλίου 3
τὴν ὑπόσχεσιν. Ἔφη γάρ δήπου, εἰ συνδειπνοῖμεν, ἐπιδείξειν
τὴν αὑτοῦ σοφίαν. Καὶ ἐπιδείξω γε, ἔφη, ἐὰν καὶ ὑμεῖς
ἅπαντες εἰς μέσον φέρητε, ὅ τι ἕκαστος ἐπίστασθε ἀγαθόν.
Ἀλλ' οὐδείς σοι, ἔφη, ἀντιλέγει τὸ μὴ οὐ λέξειν, ὅ τι ἕκαστος
ἡγεῖται πλείστου ἄξιον ἐπίστασθαι. Ἐγὼ μὲν τοίνυν, ἔφη, 4
λέγω ὑμῖν, ἐφ' ᾧ μέγιστον φρονῶ. Ἀνθρώπους γὰρ οἶμαι
ἱκανὸς εἶναι βελτίους ποιεῖν. Καὶ ὁ Ἀντισθένης εἶπε, πότε-

1. *ἀφροδίτην*] Cum Moschio Lange *εὐφροσύνην* præfert, addens saltem esse castis auribus vulgata tolerabiliorem hanc lectionem. Certe hic sermo Charmidem pauperem, paupertate sua gloriantem cap. iv. 29. et strenuum Socratis discipulum minime decere videtur.

2. *οὐκ αἰσχρὸν*] Pertinet huc locus Platonis in Protagora p. 162. ed. Bip. *ὁμοιότατον τοῖς συμποσίοις τοῖς τῶν φαύλων καὶ ἀγοραίων ἀνθρώπων· καὶ γὰρ οὗτοι διὰ τὸ μὴ δύνασθαι ἀλλήλοις δι' ἑαυτῶν συνεῖναι ἐν τῷ πότῳ μηδὲ διὰ τῆς ἑαυτῶν φωνῆς καὶ τῶν λόγων τῶν ἑαυτῶν, ὑπὸ ἀπαιδευσίας τιμίας ποιοῦσι τὰς αὐλητρίδας, πολλοῦ μισθούμενοι ἀλλοτρίαν φωνὴν τὴν τῶν αὐλῶν, καὶ διὰ τῆς ἐκείνων φωνῆς ἀλλήλοις σύνεισιν· ὅπου δὲ καλοὶ κἀγαθοὶ συμπόται καὶ πεπαιδευμένοι εἰσὶν, οὐκ ἂν ἴδοις οὔτ' αὐλητρίδας οὔτ' ὀρχηστρίδας οὔτε ψαλτρίας, ἀλλὰ αὐτοὺς αὑτοῖς ἱκανοὺς ὄντας συνεῖναι ἄνευ τῶν λήρων τε καὶ παιδιῶν τούτων διὰ τῆς αὑτῶν φωνῆς λέγοντάς τε καὶ ἀκούοντας ἐν μέρει ἑαυτῶν κοσμίως, κἂν πάνυ πολὺν οἶνον πίωσιν.* Compara etiam Symposii Platonici sect. 5.

Ἐντεῦθεν εἶπον] Aldina dedit *ἐντεῦθεν εἶ παμπολλοί*, quod mirum in modum torsit Cornarium, varia tentantem p. 11. Præfationis.

3. *Ἐγὼ μὲν τοίνυν*] Stephanum secutus Weiske *μὲν* omisit, quod est in edd. vett. omnibus.

ἀπολάβοιμι] Audacter vulgatum *ἀπολαύοιμι* correxi, quod tot aliis in locis cum altero fuit permutatum. Exsolvendum erat prius Calliæ debitum ante, quam Socrates eo posset frui. Sed vitium arguit inprimis vitiosa verbi *ἀπολαύοιμι* conjunctio cum accusativo casu et *παρά*. Cyrop. v. 4, 19. *τοῦ πράγματος τούτου ἀπολαῦσαί τι ἀγαθόν.* Memor. i. 6, 2. *τἀναντία τῆς σοφίας ἀπολαύειν.* Cf. de Rep. Laced. vi. 1. Hiero vii. 9. Plato Rep. i. p. 153. Deinde diversa est significatio verbi *ἀπολαύειν*, *fructum percipere ex aliqua re*, quæ est aliena ab hoc loco, ut sequens *ἐπιδείξω* et *φέρειν εἰς μέσον* demonstrant.

ἐπίστασθε] Castalio *ἐπίσταται* edidit.

4. *πότερον*] Margo Villois. *ποτέρων* habet.

ρον τέχνην τινὰ βαναυσικὴν, ἢ καλοκἀγαθίαν διδάσκων; Ἦ καλοκἀγαθία ἐστὶν ἡ δικαιοσύνη; Νὴ Δί᾽, ἔφη ὁ Ἀντισθένης, ἥγε ἀναμφιλογωτάτη. Ἐπείτοι ἀνδρεία μὲν καὶ σοφία ἔστιν ὅτε βλαβερὰ καὶ φίλοις καὶ πόλει δοκεῖ εἶναι, ἡ δὲ δικαιοσύνη οὐδὲ καθ᾽ ἓν συμμίγνυται τῇ ἀδικίᾳ. Ἐπειδὰν τοίνυν καὶ ὑμῶν ἕκαστος εἴπῃ, ὅ τι ὠφέλιμον ἔχει, τότε κἀγὼ οὐ φθονήσω εἰπεῖν τὴν τέχνην, δι᾽ ἧς τοῦτο ἀπεργάζομαι. Ἀλλὰ σὺ αὖ, ἔφη, λέγε, ὦ Νικήρατε, ἐπὶ ποίᾳ ἐπιστήμῃ μέγα φρονεῖς. Καὶ ὃς εἶπεν, ὁ πατὴρ ὁ ἐπιμελούμενος, ὅπως ἀνὴρ ἀγαθὸς γενοίμην, ἠνάγκασέ με πάντα τὰ Ὁμήρου ἔπη μαθεῖν· καὶ νῦν δυναίμην ἂν Ἰλιάδα ὅλην καὶ Ὀδύσσειαν ἀπὸ στόμα-

Ἦ καλοκἀγαθία] Sic recte Weiske mutavit vulgarem scripturam Ἡ, quod faciendum viderat etiam Heindorfius meus. Præterea melius præmitterentur verba aliquot Calliæ orationem significantia, veluti: Ὁ δὲ Καλλίας εἶπε, recte monente Weiskio. Scilicet Ribittus vertit: *Probitatem, inquit Callius. Sed probitas estne justitia?* Is igitur scriptum legisse videbatur Zeunio, τὴν καλοκἀγαθίαν, ἔφη ὁ Καλλίας. Ἀλλ᾽ ἦ καλοκἀγαθία ἐστὶν ἡ δικ.

βλαβερὰ] In hoc ergo ἀνδρεία καὶ σοφία dici possunt ἀδικεῖν eos, qui possident et exercent eas; itaque ἀνδρεία καὶ σοφία commune aliquid interdum cum ἀδικίᾳ habere dicuntur; contra vero δικαιοσύνη nunquam ἀδικεῖ. Vides ex verbi ambiguitate et significatione impropria rationem, ut sæpe in Socraticis dialogis, concludi.

ἡ δὲ δικαιοσύνη] Lange putat, cum de καλοκἀγαθίᾳ sit sermo, non de δικαιοσύνῃ, hæc ita esse corrigenda: ἡ δὲ καλοκἀγαθία. Sed fefellit eum vulgata lectio ἡ καλοκἀγαθία pro ἦ καλ. quam Weiskio præeunte dedi.

5. καὶ ὑμῶν ἕκαστος] Sic Castal. et Ribitt. pro ἡμῶν vulgato. Sic est sect. 3. ἐὰν καὶ ὑμεῖς ἅπαντες ab eodem Callia prolatum.

ὁ πατὴρ ὁ ἐπιμελούμενος] Bachius articulum ὁ deleri voluit. Sensit igitur acute eum impedire orationem. Suspicor fuisse olim scriptum ὁ πατὴρ ὁ ἐμὸς ἐπιμελούμενος.

ἀπὸ στόματος εἰπεῖν] Grammaticus in Biblioth. Coislin. p. 481. Ἀποστομάτισις, Ξενοφῶν ἐν τῇ ἀναβάσει, Πλάτων Θεαιτήτῳ. Sed in Anabasi vocabulum non extat. Contra in Memor. iii. 6, 9. est ἀπὸ στόματος εἰπεῖν, ubi vide dicta in Indice. Ceterum Niceratus cum rhapsodis suæ ætatis certamen iniit festis diebus a Solone olim institutis, ibique aliquando victus fuit a Pratye. Testis est locus Aristotelis Rhetor. iii. 11, 13. τὸν Νικήρατον φάναι Φιλοκτήτην εἶναι δεδηγμένον ὑπὸ Πράτυος, ὥσπερ εἴκασε Θρασύμαχος ἰδὼν τὸν Νικήρατον ἡττημένον ὑπὸ Πράτυος, ῥαψῳδοῦντα, κομῶντα δὲ καὶ αὐχμηρὸν ἔτι. ubi Interpres κομῶντα vertit *coma incomta:* cum κομᾷν sit fere semper juvenis læti et gestientis signum. Ceterum ut metaphora a Thrasymacho usurpata rectius intelligatur, puto argumentum carminis recitati a Nicerato fuisse Philoctetem, cujus infortunium ab hydro morsi commemorat obiter Homerus Il. ii. 722. Fabulam exposuerat in Iliade parva Lesches. Vide annotationem Hey-

τος εἰπεῖν. Ἐκεῖνο δ', ἔφη ὁ Ἀντισθένης, λέληθέ σε, ὅτι καὶ 6
οἱ ῥαψῳδοὶ πάντες ἐπίστανται ταῦτα τὰ ἔπη; Καὶ πῶς ἄν, ἔφη, λελήθοι ἀκροώμενόν γε αὐτῶν ὀλίγου ἂν ἑκάστην ἡμέραν; Οἶσθά τι οὖν ἔθνος, ἔφη, ἠλιθιώτερον ῥαψῳδῶν; Οὐ μὰ τὸν Δί', ἔφη ὁ Νικήρατος· οὔκουν ἔμοιγε δοκεῖ. Δῆλον γάρ, ἔφη ὁ Σωκράτης, ὅτι τὰς ὑπονοίας οὐκ ἐπίστανται. Σὺ δὲ Στησιμβρότῳ τε καὶ Ἀναξιμάνδρῳ καὶ ἄλλοις πολλοῖς πολὺ δέδωκας ἀργύριον, ὥστε οὐδέν σε τῶν πολλοῦ ἀξίων λέληθε.
Τί γὰρ σύ, ἔφη, ὦ Κριτόβουλε, ἐπὶ τίνι μέγιστον φρονεῖς; 7
Ἐπὶ κάλλει, ἔφη. Ἦ οὖν καὶ σύ, ὁ Σωκράτης ἔφη, ἕξεις λέγειν, ὅτι τῷ σῷ κάλλει ἱκανὸς εἶ βελτίους ἡμᾶς ποιεῖν; Εἰ
δὲ μή, δῆλόν γε ὅτι φαῦλος φανοῦμαι. Τί γὰρ σύ, εἶπεν, 8
ἐπὶ τίνι μέγα φρονεῖς, ὦ Ἀντίσθενες; Ἐπὶ πλούτῳ, ἔφη. Ὁ μὲν δὴ Ἑρμογένης ἀνήρετο, εἰ πολὺ εἴη αὐτῷ ἀργύριον. Ὁ δὲ ἀπώμοσε μηδὲ ὀβολόν. Ἀλλὰ γῆν πολλήν, ἔφη, κέκτησαι; Ἴσως ἄν, ἔφη, Αὐτολύκῳ τούτῳ ἱκανὴ γένοιτο ἐγκονίσασθαι.
Ἀκουστέον ἂν εἴη καὶ σοῦ. Τί γὰρ σύ, ἔφη, ὦ Χαρμίδη, ἐπὶ 9

nii ad locum Homeri p. 380. Quid igitur, si statuamus inde fuisse recitatum locum de Philoctete a Nicerato? Niceratum ἐποποιὸν Thucydidi æqualem ætate memorat Marcellinus in Vita Thucydidis.

6. οὔκουν ἔμοιγε δοκεῖ] Weiskio negatio Nicerati eo pertinere videtur, ut Antistheni contradicat; quare suspicatur deesse aliquid, velut ὅπερ σοί. Contra Socratis affirmatio videtur eo ducere, ut putemus Niceratum voluisse assentiri Antistheni.

τὰς ὑπονοίας] Initia tunc jacta allegoricæ interpretationis Homeri carminum hinc egregie explicat Wolf in Prolegomenis p. clxii. Deinde ἔδωκας habet Juntina, ut paulo antea ὀλίγον pro ὀλίγου.

Στησιμβρότῳ] Thasio, interpreti Homeri, non rhapsodo, ut etiam ex h. l. et Platonico in Ione arguit Müller ad Plat. Ionem p. 12. ubi cum Glaucone memoratur, quem Teium esse puto, de quo Aristoteles Rhetor. iii. 1, 3. Stesimbrotum cum Cimone imperatore Atheniensium versatum antestatur Plutarchus in vita Cimonis cap. iv. Anaximandrum nec ipse doctissimus omnium carminum Homericorum historicus novit, quis homo fuerit. Cf. Prolegom. l. c. Weiske Milesium, historicum, intelligi putabat.

7. ὁ Σωκράτης ἔφη] Ita cum Ribitto Castalio, Stephan. secunda et Leoncl. pro vulgato antea ὦ Σώκρατες, ἔφη.

8. Τί γὰρ σύ] Juntina σὺ omisit. Ad sequens εἶπεν intellige ὁ Σωκράτης.

Ὁ μὲν δὴ] Ita Juntina et Zeuniana, ὁ δὴ Aldina et Stephan. ὁ δὲ ex Leonclaviana, Welsiana et Bachiana repetiit Weiske.

ἀπώμοσε] Index Zeunianus habet ἀπόμνυμι, *jurando affirmo seu nego*, Pessime! Est potius *abjuro*, *ejuro*. Sequitur enim semper negatio vel intelligitur apud Xenophontem et ceteros scriptores Atticos.

τίνι μέγα φρονεῖς; Ἐγὼ αὖ, ἔφη, ἐπὶ πενίᾳ μέγα φρονῶ. Νὴ Δί', ἔφη ὁ Σωκράτης, ἐπ' εὐχαρίστῳ γε πράγματι. Τοῦτο γὰρ δὴ ἥκιστα μὲν ἐπίφθονον, ἥκιστα δὲ περιμάχητον καὶ ἀφύλακτον ὂν σώζεται, καὶ ἀμελούμενον ἰσχυρότερον γίγνεται.
10 *Σὺ δὲ δὴ, ἔφη ὁ Καλλίας, ἐπὶ τίνι μέγα φρονεῖς, ὦ Σώκρατες; Καὶ ὃς, μάλα σεμνῶς ἀνασπάσας τὸ πρόσωπον, ἐπὶ μαστροπείᾳ, εἶπεν. Ἐπεὶ δὲ ἐγέλασαν ἐπ' αὐτῷ, ὑμεῖς μὲν γελᾶτε, ἔφη· ἐγὼ δὲ οἶδ' ὅτι καὶ πάνυ ἂν πολλὰ χρήματα*
11 *λαμβάνοιμι, εἰ βουλοίμην χρῆσθαι τῇ τέχνῃ. Σύ γε μὴν, δηλῶν ἔφη ὁ Λύκων τὸν Φίλιππον, ἐπὶ τῷ γελωτοποιεῖν μέγα φρονεῖς; Δικαιότερόν γ', ἔφη, οἴομαι, ἢ Καλλιππίδης ὁ ὑποκριτὴς, ὃς ὑπερσεμνύνεται, ὅτι δύναται πολλοὺς κλαίοντας*
12 *καθίζειν. Οὐκοῦν καὶ σὺ, ἔφη ὁ Ἀντισθένης, λέξεις, ὦ Λύκων, ἐπὶ τίνι μέγα φρονεῖς. Καὶ ὃς ἔφη· οὐ γὰρ ἅπαντες*

9. *Ἐγὼ αὖ*] Juntina *ἐγὼ ἂν* dedit, deinde *μεγαλοφρονῶ* Stobæus, postea *εὐχαρίτῳ* margo Steph.

Τοῦτο γὰρ δὴ] Stobæus scriptus *γὰρ* omittit.

10. *ἀνασπάσας τὸ πρόσωπον*] Ita *τὰς ὀφρῦς ἀνασπᾷν* est in Aristophanis Acharn. 1068.

ἐπ' αὐτῷ] Vulgatum *αὐτὸν* cum Abreschio in Observat. Miscellan. Belgicis III. tom. iii. p. 531. correxit Weiske, male defendit Zeune comparato loco Cyropæd. ii. 2, 6.

11. *Καλλιππίδης*] Mutavi scripturam vulgarem *Καλλιπίδης*. Est enim *Καλλιππίδης ὁ τραγῳδὸς*, qui teste Athenæo xii. p. 535. Alcibiadem in patriam redeuntem comitatus erat Olympiade 94: quem eundem Plutarchus in Alcibiade c. 32. *τὸν τῶν τραγῳδιῶν ὑποκριτὴν* vocat. Eundem in Asia commorantem Olympiadis 96. anno 4. memorat Polyænus Strateg. vi. 10. una cum Nicostrato. Cf. Xenoph. Hellenic. iv. 8, 16. In vita Sophoclis est: *Καλλιππίδην ὑποκριτὴν ἀπὸ ἐργασίας ἐξ Ὀποῦντος ἥκοντα παρὰ τὰς Χόας πέμψαι αὐτῷ σταφυλήν*. ubi de morte Sophoclis agitur. Forte eundem actorem respicit fragmentum Aristophaneum apud Pollucem x. 29. a Toupio correctum: *ὡσπερεὶ Καλλιππίδης ἐπὶ τοῦ κορήματος καθίζομαι χαμαί*. Aristoteles de Poetica xxvii. sect. 2. *ὡς λίαν γὰρ ὑπερβάλλοντα πίθηκον ὁ Μυνίσκος* (Æschyli tragœdiarum actor) *τὸν Καλλιππίδην ἐκάλει*, deinde sect. 7. *οὐδὲ κίνησις ἅπασα ἀποδοκιμάζεται, ἀλλ' ἡ φαύλων, ὅπερ καὶ Καλλιππίδῃ ἐπετιμᾶτο*. Plutarchus de Gloria Atheniensium p. 92. ed. Hutten. *Τραγικοὶ δ' αὐτοῖς ὑποκριταὶ Νικόστρατοι καὶ Καλλιππίδαι καὶ Μυνίσκοι καὶ Θεόδωροι καὶ Πῶλοι συνίτωσαν*. Diversus est Callippides, quem in proverbio nominarunt Græci, apud Suetonium Tib. xxxviii. et Ciceronem Ep. ad Attic. xiii. 12. quem cum hoc nostro permutavit G. Hermann ad Aristotelis locum supra laudatum.

κλαίοντας καθίζειν] Nullus hic est jocus ex ambiguo quæsitus, sed actor tragicus exprimit lacrimas spectatoribus sedentibus. Contra *κλαίοντα καθιστάναι* stantem dixit Euripides Androm. versu 635.

ἴστε, ἔφη, ὅτι ἐπὶ τούτῳ τῷ υἱεῖ; Οὗτός γε μὴν, ἔφη τις, δῆ-
λον, ὅτι ἐπὶ τῷ νικηφόρος εἶναι. Καὶ ὁ Αὐτόλυκος ἀνερυθριά-
σας εἶπε, μὰ Δί' οὐκ ἔγωγε. Ἐπεὶ δὲ ἅπαντες ἡσθέντες, 13
ὅτι ἤκουσαν αὐτοῦ φωνήσαντος, προσέβλεψαν, ἤρετό τις αὐτὸν,
ἀλλ' ἐπὶ τῷ μὴν, ὦ Αὐτόλυκε; Ὁ δ' εἶπεν, ἐπὶ τῷ πατρί.
Καὶ ἅμα ἐνεκλίθη αὐτῷ. Καὶ ὁ Καλλίας ἰδὼν, ἆρ' οἶσθα,
ἔφη, ὦ Λύκων, ὅτι πλουσιώτατος εἶ ἀνθρώπων; Μὰ Δί', ἔφη,
τοῦτο μέντοι ἐγὼ οὐκ οἶδα. Ἀλλὰ λανθάνει σε, ὅτι οὐκ ἂν
δέξαιο τὰ βασιλέως χρήματα ἀντὶ τοῦ υἱοῦ; Ἐπ' αὐτοφώρῳ
εἴλημμαι, ἔφη, πλουσιώτατος, ὡς ἔοικεν, ἀνθρώπων ὤν. Σὺ 14
δὲ, ἔφη ὁ Νικήρατος, ὦ Ἑρμόγενες, ἐπὶ τίνι μάλιστα ἀγάλ-
λῃ; Καὶ ὃς, ἐπὶ φίλων, ἔφη, ἀρετῇ καὶ δυνάμει, καὶ ὅτι τοι-
οῦτοι ὄντες ἐμοῦ ἐπιμέλονται. Ἐνταῦθα τοίνυν πάντες προσ-
έβλεψαν αὐτῷ, καὶ πολλοὶ ἅμα ἤροντο, εἰ καὶ σφίσι δηλώ-
σοι αὐτούς. Ὁ δὲ εἶπεν, ὅτι οὐ φθονήσει.

CAP. IV.

ΕΚ τούτου ἔλεξεν ὁ Σωκράτης, οὐκοῦν λοιπὸν ἂν εἴη ἡμῖν, 1
ἃ ἕκαστος ὑπέσχετο, ἀποδεικνύναι, ὡς πολλοῦ ἄξιά ἐστιν.
Ἀκούοιτ' ἂν, ἔφη ὁ Καλλίας, ἐμοῦ πρῶτον. Ἐγὼ γὰρ ἐν
τῷ χρόνῳ, ᾧ ὑμῶν ἀκούω ἀπορούντων, τί τὸ δίκαιον, ἐν τούτῳ
δικαιοτέρους τοὺς ἀνθρώπους ποιῶ. Καὶ ὁ Σωκράτης, πῶς, 2
ὦ λῷστε; ἔφη. Διδοὺς νὴ Δί' ἀργύριον. Καὶ ὁ Ἀντισθένης
ἐπαναστὰς μάλα ἐλεγκτικῶς αὐτὸν ἐπήρετο, οἱ δὲ ἄνθρωποι,
ὦ Καλλία, πότερον ἐν ταῖς ψυχαῖς, ἢ ἐν τῷ βαλαντίῳ τὸ
δίκαιόν σοι δοκοῦσιν ἔχειν; Ἐν ταῖς ψυχαῖς, ἔφη. Κἄπειτα
σὺ εἰς τὸ βαλάντιον διδοὺς ἀργύριον, τὰς ψυχὰς δικαιοτέρας
ποιεῖς; Μάλιστα. Πῶς; Ὅτι διὰ τὸ εἰδέναι, ὡς ἔστιν ὅτου
πριάμενοι τὰ ἐπιτήδεια ἕξουσιν, οὐκ ἐθέλουσι κακουργοῦντες
κινδυνεύειν. Ἦ καὶ σοὶ, ἔφη, ἀποδιδόασιν, ὅ τι ἂν λάβωσι; 3

12. ὅτι ἐπὶ] Edd. vett. ὅτι omittunt. Ita sect. 13. sola Juntina ὅτι ἐπὶ τῷ πατρὶ dat, ceteræ ὅτι omittunt.

13. ἐνεκλίθη] Juntina ἀνεκλίθη, Castalio ἐπ' αὐτῷ dedit. Weiskio gestus Autolyci puerilis videtur, et is simul additum aliquid laudis paternæ desiderat.

2. ψυχαῖς, ἔφη] Juntina sola ἔφη habet, ceteræ edd. omittunt.

Μὰ τὸν Δί', ἔφη, οὐ μὲν δή. Τί δὲ ἀντὶ τοῦ ἀργυρίου; χά-
ριτας; Οὐ μὰ τὸν Δί', ἔφη, οὐδὲ τοῦτο· ἀλλ' ἔνιοι καὶ ἐχθι-
όνως ἔχουσιν, ἢ πρὶν λαβεῖν. Θαυμαστά γ', ἔφη ὁ Ἀντισθέ-
νης, ἅμα εἰσβλέπων, ὡς ἐλέγχων αὐτὸν, εἰ μὲν πρὸς τοὺς ἄλ-
λους δύνασαι δικαίους ἂν ποιεῖν αὐτοὺς, πρὸς δὲ σαυτὸν οὔ.
4 Καὶ τί τοῦτ', ἔφη ὁ Καλλίας, θαυμαστόν; οὐ καὶ τέκτονάς
τε καὶ οἰκοδόμους πολλοὺς ὁρᾷς, οἳ ἄλλοις μὲν πολλοῖς ποι-
οῦσιν οἰκίας, ἑαυτοῖς δὲ οὐ δύνανται ποιῆσαι, ἀλλ' ἐν μισθῷ
αὐτοὶ οἰκοῦσι; καὶ ἀνάσχου μέντοι, ὦ σοφιστὰ, ἐλεγχόμενος.
5 Νὴ Δί', ἔφη ὁ Σωκράτης, ἀνεχέσθω μέντοι· ἐπεὶ καὶ οἱ μάν-
τεις λέγονται δήπου ἄλλοις μὲν προαγορεύειν τὸ μέλλον, ἑαυ-
6 τοῖς δὲ μὴ προορᾷν τὸ ἐπιόν. Οὗτος μὲν δὴ ὁ λόγος ἐνταῦθα
ἔληξεν. Ἐκ τούτου δὲ ὁ Νικήρατος, ἀκούοιτ' ἂν, ἔφη, καὶ ἐμοῦ, ἃ ἔσεσθε βελτίονες, ἢν ἐμοὶ συνῆτε. Ἴστε γὰρ δήπου, ὅτι ὁ Ὅμηρος ὁ σοφώτατος πεποίηκε σχεδὸν περὶ πάντων τῶν ἀνθρωπίνων. Ὅστις ἂν οὖν ὑμῶν βούληται ἢ οἰκονομικὸς ἢ δημηγορικὸς ἢ στρατηγικὸς γενέσθαι, ἢ ὅμοιος Ἀχιλλεῖ ἢ Αἴαντι ἢ Νέστορι ἢ Ὀδυσσεῖ, ἐμὲ θεραπευέτω. Ἐγὼ γὰρ ταῦτα πάντα ἐπίσταμαι. Ἦ καὶ βασιλεύειν, ἔφη ὁ Ἀντισθένης, ἐπίστασαι; ὅτι οἶσθα ἐπαινέσαντα αὐτὸν τὸν Ἀγαμέμνονα, ὡς βασιλεύς τε εἴη ἀγαθὸς κρατερός τ' αἰχμητής. Καὶ ναὶ

3. δικαίους ἂν ποιεῖν] Stephano obsecutus Welsius delevit ἂν, quæ particula dubitationem habet de effectu, quem prædicabat Callias.

4. ἐν μισθῷ αὐτοὶ] Vulgatum αὐταῖς ita correxit Ernesti; ἐν αὐταῖς μισθῷ Castalio dedit, Stephanus ἐμμίσθους αὐτὰς, vel μισθῷ αὐτὰς, vel μισθῷ ἐν αὐταῖς, vel μισθῷ αὐταῖς ἐνοικοῦσι, Æm. Portus ἐν μισθωταῖς conjecit, Bachius αὐταῖς deleri voluit. In Theophrasti Charactere xx. (vulgo xxiii.) 5. ἐν μισθωτῇ οἰκίᾳ οἰκῶν libri scripti alii ἐν μισθῷ τὴν οἰκίαν οἰκῶν habent.

ἀνάσχου] Castalio ἀνέχου edidit; contra Ernesti sequens verbum mutat in ἀνασχέσθω.

5. προαγορεύειν] Hoc primus Castalio dedit pro vulgato antea προσαγ. Ceterum Weiskio in dictis Calliæ et in toto hoc loco non videtur multum salis inesse; itaque putabat aliquid in eo latere, quod respiciat ad facta illius temporis nobis ignota. Quæ de ambiguo sensu verbi ἀνέχου et ἀνεχέσθω addit, diverse usurpati a Callia et Socrate, equidem non intelligo.

6. Ὅστις ἂν οὖν] Juntina ἂν omisit.

βασιλεύειν] Jocosa vel potius invidiosa quæstio; uterque enim in civitate libera vivebat tyrannis et regibus infensa. Hinc invidiosæ quæstioni nihil respondet Niceratus, sed subjicit aliam responsionem.

μὰ Δί', ἔφη, ἔγωγε, ὅτι ἁρματηλατοῦντα δεῖ ἐγγὺς μὲν τῆς στήλης κάμψαι.

Αὐτὸν δὲ κλινθῆναι ἐϋξέστου ἐπὶ δίφρου
Ἦκ' ἐπ' ἀριστερὰ τοῖιν, ἀτὰρ τὸν δεξιὸν ἵππον
Κένσαι ὁμοκλήσαντ', εἶξαί τέ οἱ ἡνία χερσί.

Καὶ πρὸς τούτοις γε ἄλλο οἶδα, καὶ ὑμῖν αὐτίκα μάλ' ἔξεστι 7
πειρᾶσθαι. Εἶπε γάρ που Ὅμηρος, ἐπὶ δὲ κρόμυον ποτῷ
ὄψον. Ἐὰν οὖν ἐνέγκῃ τις κρόμυον, αὐτίκα μάλα τοῦτό γε
ὠφελημένοι ἔσεσθε· ἥδιον γὰρ πιεῖσθε. Καὶ ὁ Χαρμίδης εἶ- 8
πεν, ὦ ἄνδρες, ὁ Νικήρατος κρομύων ὄζων ἐπιθυμεῖ οἴκαδε
ἐλθεῖν, ἵν' ἡ γυνὴ αὐτοῦ πιστεύῃ, μὴ διανοηθῆναι μηδένα ἂν φι-
λῆσαι αὐτόν. Νὴ Δί', ἔφη ὁ Σωκράτης. Ἀλλ' ἄλλην που
δόξαν γελοίαν κίνδυνος ἡμῖν προσλαβεῖν. Ὄψον μὲν γὰρ δὴ
οὕτως ἔοικεν εἶναι τὸ κρόμυον, ὥστε οὐ μόνον ποτὸν ἀλλὰ καὶ
σῖτον ἡδύνειν. Εἰ δὲ δὴ τοῦτο καὶ μετὰ δεῖπνον τρωξόμεθα,
ὅπως μὴ φήσῃ τις, ἡμᾶς πρὸς Καλλίαν ἐλθόντας ἡδυπαθεῖν.
Μηδαμῶς, ἔφη, ὦ Σώκρατες. Εἰς μὲν γὰρ μάχην ὁρμωμένῳ 9

στήλης] Locus est Iliad. xxiii. 335. quem expressit imitatione Sophocles Electræ versu 720. κεῖνος δ' ὑπ' αὐτὴν ἐσχάτην στήλην ἔχων ἔχριμπτ' ἀεὶ σύριγγα· δεξιόν τ' ἀνεὶς σειραῖον ἵππον εἶργε τὸν προσκείμενον. Scripturæ varietatem in loco Homerico obviam enarravit egregius Heyne p. 424. Ceterum Lange Niceratum tam ineptum facit, ut hæc ipsa verba Homeri ab eo tracta putet ad artem imperandi demonstrandam ex poesi Homerica, quasi imperator cum auriga fuerit ab eo comparatus.

7. αὐτίκα μάλ'] Vulgatum αὐτίκα μὰ Δί', cum Wyttenbachio ad Plutarchum de Sera N. V. p. 13. correxit Weiske.

γάρ που] Iliadis Λ. 629.

8. φιλῆσαι] Hinc Comicus Athenæi xiii. p. 572.

διὰ τοῦθ' ὁ πόρνος οὗτος οὐδὲ τῶν πράσων
ἑκάστοθ' ἐπιδειπνεῖ μεθ' ἡμῶν· τοῦτο δ' ἦν,
ἵνα μή τι λυπήσειε τὸν ἐραστὴν φιλῶν.

προσλαβεῖν] *Ne aliam ridiculam de nobis opinionem excitemus*, vertit Weiske. recte.

εἶναι τὸ κρόμυον, ὥστε—ἡδύνειν] Vulgatam lectionem εἶναι, ὡς κρόμυόν γε οὐ—ἡδύνει vitiosam et turbatam esse recte vidit Weiske; itaque κρόμυον retrahendum ex altero membro censuit. At ita remanet γε ad sententiam ineptum. Itaque paulo audacius locum correxi. Nam ipsum etiam ποτὸν cum σῖτον transposita fuerunt a librariis, quod video etiam Langium cum Moschio admonuisse. Homerus enim potum esu cepæ condiebat; Socrates autem cepa etiam cibi cupiditatem acui monet. Cyrop. vi. 1, 31. ὄψα ὀξέα καὶ δριμέα καὶ ἁλμυρά· ταῦτα γὰρ ἐπὶ σῖτόν τε ἄγει καὶ ἐπὶ πλεῖστον ἀρκεῖ.

9. ἔφη, ὦ Σώκρατες] Juntina dedit ἔφη ὁ Σωκράτης. Sequens ὑποτρώγειν est *antea gustare* vel *edere*.

καλῶς ἔχει κρόμυον ὑποτρώγειν, ὥσπερ ἔνιοι τοὺς ἀλεκτρυόνας σκόροδα σιτίσαντες συμβάλλουσι. Ἡμεῖς δὲ ἴσως βουλευ-
10 όμεθα, ὅπως φιλήσομέν τινα μᾶλλον, ἢ μαχούμεθα. Καὶ οὗτος μὲν δὴ ὁ λόγος οὕτω πως ἐπαύσατο. Ὁ δὲ Κριτόβουλος, οὐκοῦν αὖ ἐγὼ λέξω, ἔφη, ἐξ ὧν ἐπὶ τῷ κάλλει μέγα φρονῶ. Λέγε, ἔφασαν. Εἰ μὲν τοίνυν μὴ καλός εἰμι, ὡς οἴομαι, ὑμεῖς ἂν δικαίως ἀπάτης δίκην ὑπέχοιτε· οὐδενὸς γὰρ ὁρκίζοντος, ἀεὶ ὀμνύοντες καλόν με φατὲ εἶναι. Κἀγὼ μέντοι
11 πιστεύω. Καλοὺς γὰρ καὶ ἀγαθοὺς ὑμᾶς ἄνδρας νομίζω. Εἰ δ' εἰμί τε τῷ ὄντι καλὸς, καὶ ὑμεῖς τὰ αὐτὰ πρὸς ἐμὲ πάσχετε, οἷάπερ ἐγὼ πρὸς τὸν ἐμοὶ δοκοῦντα καλὸν εἶναι, ὄμνυμι πάντας θεοὺς, μὴ ἑλέσθαι ἂν τὴν βασιλέως ἀρχὴν ἀντὶ τοῦ
12 καλὸς εἶναι. Νῦν γὰρ ἐγὼ Κλεινίαν ἥδιον μὲν θεῶμαι, ἢ τἄλλα πάντα τὰ ἐν ἀνθρώποις καλά· τυφλὸς δὲ τῶν ἄλλων ἁπάντων μᾶλλον ἂν δεξαίμην εἶναι, ἢ Κλεινίου ἑνὸς ὄντος· ἄχθομαι δὲ καὶ νυκτὶ καὶ ὕπνῳ, ὅτι ἐκεῖνον οὐχ ὁρῶ. Ἡμέρᾳ δὲ καὶ ἡλίῳ τὴν μεγίστην χάριν οἶδα, ὅτι μοι Κλεινίαν ἀνα-
13 φαίνουσιν. Ἄξιόν γε μὴν ἡμῖν τοῖς καλοῖς, καὶ ἐπὶ τοῖσδε μέγα φρονεῖν, ὅτι τὸν μὲν ἰσχυρὸν πονοῦντα δεῖ κτᾶσθαι τἀγαθὰ, καὶ τὸν ἀνδρεῖον, κινδυνεύοντα, τὸν δέ γε σοφὸν, λέγοντα·
14 ὁ δὲ καλὸς, καὶ ἡσυχίαν ἔχων, πάντ' ἂν διαπράξαιτο. Ἔγωγ' οὖν, καίπερ εἰδὼς, ὅτι χρήματα ἡδὺ κτῆμα, ἥδιον μὲν ἂν τὰ ὄντα Κλεινίᾳ διδοίην, ἢ ἕτερα παρ' ἄλλου λαμβάνοιμι· ἥδιον δ' ἂν δουλεύοιμι, ἢ ἐλεύθερος εἴην, εἴ μου Κλεινίας ἄρχειν ἐθέλοι. Καὶ γὰρ πονοίην ἂν ῥᾷον ἐκείνῳ, ἢ ἀναπαυοίμην, καὶ κινδυνεύοιμ' ἂν πρὸ ἐκείνου ἥδιον, ἢ ἀκίνδυνος ζῴην.

σκόροδα σιτίσαντες] Vide annotationem Valesii editam a Weiskio p. 339.

10. ἐξ ὧν] Juntina ἐξ οὗ. Sequens ὑπέχωτε pessime cum Juntina Zeune in ὑπέσχοιτε mutavit.

12. ἁπάντων μᾶλλον] Diogenes Laertius in Vita Xenophontis refert Aristippi sententiam, hunc ipsum locum ad Xenophontem referentis, a quo Cliniam amatum fuisse tradiderat. Ex eo loco Zeune vulgatam scripturam in sequenti membro ἢ κείνου ἑνὸς ὄντος mutavit in Κλεινίου. Leonclavius ἐκείνου conjecerat. Sed ibidem præterea scriptum extat πάντων δεξαίμην ἂν ἢ Κλεινίου ἑνὸς ὄντος γενέσθαι. quæ lectio mihi quidem multo videtur esse numerosior. Clinias fuit Alcibiadis frater, quem hic ipse in Platonico Alcibiade i. sect. 14. μαινόμενον vocat.

ἄχθομαι δὲ] Ex Diogene pro vulgato τε adscivit Zeune. In verbis sect. 13. τὸν δέ γε Juntina γε omisit.

14. πρὸ ἐκείνου] Vulgatum πρὸς in-

Ὥστε εἰ σὺ, ὦ Καλλία, μέγα φρονεῖς, ὅτι δικαιοτέρους δύνα- 15
σαι ποιεῖν, ἐγὼ πρὸς πᾶσαν ἀρετὴν δικαιότερός σου εἰμὶ ἄγων
ἀνθρώπους. Διὰ γὰρ τὸ ἐμπνεῖν τι ἡμᾶς τοὺς καλοὺς τοῖς
ἐρωτικοῖς, ἐλευθεριωτέρους μὲν αὐτοὺς ποιοῦμεν εἰς χρήματα,
φιλοπονωτέρους δὲ καὶ φιλοκαλωτέρους ἐν τοῖς κινδύνοις,
καὶ μὴν αἰδημονεστέρους τε καὶ ἐγκρατεστέρους, οἵγε καὶ,
ὧν δέονται μάλιστα, ταῦτ' αἰσχύνονται. Μαίνονται δὲ καὶ 16
οἱ μὴ τοὺς καλοὺς στρατηγοὺς αἱρούμενοι. Ἐγὼ οὖν μετὰ
Κλεινίου κἂν διὰ πυρὸς ἰοίην· οἶδα δ' ὅτι καὶ ὑμεῖς μετ' ἐμοῦ.
Ὥστε μηκέτι ἀπόρει, ὦ Σώκρατες, εἴτι τοὐμὸν κάλλος ἀνθρώ-
ποις ὠφελήσει. Ἀλλ' οὐδὲ μέντοι ταύτῃ γε ἀτιμαστέον τὸ 17
κάλλος, ὡς ταχὺ παρακμάζον. Ἐπεὶ ὥσπερ γε παῖς γί-
γνεται καλὸς, οὕτω καὶ μειράκιον, καὶ ἀνὴρ, καὶ πρεσβύτης.
Τεκμήριον δὲ, θαλλοφόρους γὰρ τῇ Ἀθηνᾷ τοὺς καλοὺς γέρον-

terpretatur Zeune *pro salute ejus*, et comparat θύειν πρὸς τῆς πόλεως de Laced. Republ. xv. 2. Contra Weiske frequentiorem usum ait præpositionis πρὸς cum genitivo pro ἐξ, ut ἀδοξοῦνται πρὸς τῶν πόλεων Œconom. iv. 2. Ibid. vi. 10. ἐνδοξοτάτη πρὸς τῶν πόλεων εἶναι. sect. 17. πρὸς πάντων ἐπονομαζόμενον. Igitur h. l. vertit: *pericula ejus jussu, eo auctore, libentius subirem.* Hanc ait sententiam probabiliorem et amanti etiam convenientiorem esse. Quod ad amoris sensum attinet, certus sum amantes negaturos esse; quod ad usum sermonis, πρὸς ita uspiam usurpatum legi, fere negaverim; hinc sine dubitatione πρὸ scripsi; eodem modo locum de Laced. Rep. corrigendum censeo.

15. δικαιότερός σου εἰμὶ ἄγων] Mosche ἱκανώτερος malebat scriptum: quam conjecturam rejicit Lange, *cum* δικαιότερος *verborum lusum efficiat haud inficetum.* At lusus hic locum non habet; de sententia quæritur, quam nullam præstat lectio vulgaris, ut bene sensisse videtur Mosche. Hanc igitur levi mutatione restitui, vulgato ἄγειν mutato in ἄγων. Ad verba δικαιότερός σου εἰμὶ intellige μέγα φρονεῖν.

ἐμπνεῖν τι] Æliani V. H. iii. 12. Λακεδαιμόνιοι δέονται τῶν ἐραστῶν εἰσπνεῖν αὐτοῖς. Λακεδαιμονίων δέ ἐστιν αὕτη ἡ φωνὴ, ἐρᾷν δεῖν λέγουσα. Hinc εἴσπνηλος Theocriti xii. 13. ὁ μὲν εἴσπνηλος, φαίη χ' ὡμυκλαΐσδων, τὸν δ' ἕτερον πάλιν, ὥς κεν ὁ Θεσσαλὸς εἶπεν, ἀΐταν. Eodem sensu Plutarchus in Cleomene utitur verbo ἐμπνεῖν.

καὶ μὴν] *Simul tamen*; ita ut sententia hæc opponatur antecedenti ἐν κινδύνοις φιλοκαλωτέρους. Significatio hæc particularum καὶ μὴν in media oratione non frequens.

οἵγε καὶ] Ribittus verterat: *qui quidem vel ea, quæ maxime desiderant, eloqui verentur;* Weiske contra: *qui quidem fructu voluptatum, quas m. d. pudore deterriti abstinent.*

16. Ἐγὼ οὖν] An fuit olim scriptum Ἐγὼ μὲν οὖν? Sequens εἴτι truncatum altera voce est in Juntina et margine Steph.

17. θαλλοφόρους γὰρ] Ita vulgatum δὲ cum Castal. correxit Zeune ex usu constanti scriptorum post σημεῖον δὲ, τεκμήριον δὲ semper γὰρ in-

τας ἐκλέγονται, ὡς συμπαρομαρτοῦντος πάσῃ ἡλικίᾳ τοῦ κάλ-
18 λους. Εἰ δὲ ἡδὺ τὸ παρ' ἑκόντων διαπράττεσθαι, ὧν τις δέοι-
το, εὖ οἶδ' ὅτι καὶ νυνὶ θᾶττον ἂν ἐγὼ καὶ σιωπῶν πείσαιμι
τὸν παῖδα τόνδε καὶ τὴν παῖδα φιλῆσαί με, ἢ σὺ, ὦ Σώκρα-
19 τες, εἰ καὶ πάνυ πολλὰ καὶ σοφὰ λέγοις. Τί τοῦτο; ἔφη
ὁ Σωκράτης· ὡς γὰρ καὶ ἐμοῦ καλλίων ὢν ταῦτα κομπά-
ζεις; Νὴ Δί', ἔφη ὁ Κριτόβουλος, ἢ πάντων Σειληνῶν τῶν ἐν
τοῖς σατυρικοῖς αἴσχιστος ἂν εἴην. Ὁ δὲ Σωκράτης καὶ ἐτύγ-
20 χανε προσεμφερὴς τούτοις ὤν. Ἄγε νῦν, ἔφη ὁ Σωκράτης,
ὅπως μεμνήσῃ διακριθῆναι περὶ τοῦ κάλλους, ἐπειδὰν οἱ προ-
κείμενοι λόγοι περιέλθωσι. Κρινάτω δ' ἡμᾶς μὴ Ἀλέξανδρος
ὁ Πριάμου, ἀλλ' αὐτοὶ οὗτοι, οὕσπερ σὺ οἴει ἐπιθυμεῖν σε φιλῆ-
21 σαι. Κλεινίᾳ δ', ἔφη, ὦ Σώκρατες, οὐκ ἂν ἐπιτρέψαις; Καὶ
ὃς εἶπεν· οὐ γὰρ αὖ παύσῃ σὺ Κλεινίου μεμνημένος; Ἢν δὲ
μὴ ὀνομάζω, ἧττόν τι με οἴει μεμνῆσθαι αὐτοῦ; οὐκ οἶσθα, ὅτι
οὕτω σαφῶς ἔχω εἴδωλον αὐτοῦ ἐν τῇ ψυχῇ, ὡς εἰ πλαστικὸς
ἢ ζωγραφικὸς ἦν, οὐδὲν ἂν ἧττον ἐκ τοῦ εἰδώλου, ἢ πρὸς αὐτὸν
22 ὁρῶν, ὅμοιον αὐτῷ ἀπειργασάμην; Καὶ ὁ Σωκράτης ὑπέλαβε,
τί δῆτα, οὕτως ὅμοιον εἴδωλον ἔχων, πράγματά μοι παρέχεις,
ἄγεις τε αὐτὸν ὅπου ὄψει; Ὅτι, ὦ Σώκρατες, ἡ μὲν αὐτοῦ

ferentium in altero membro. Juncus Stobæi p. 588. ὅ τε νόμος αὐτοὺς τοὺς γέροντας χειροτονεῖ Ἀθηνᾷ, ὥς φησι Ξενοφῶν ὁ φιλόσοφος, θαλλοφόρους. Pertinet huc etiam ἀγὼν εὐανδρίας apud Athenienses, de quo ad Memor. iii. 3, 12. dictum.—Deinde edd. vett. συμπαρομαρτοῦντες dant.

18. εὖ οἶδ' ὅτι καὶ νυνὶ] Repetendum cogitatione *bene scio, me maximam voluptatem percepturum esse, quum ego vel silens puero huic et puellæ persuasero* et cet. Sequens λέγοις Juntina mutat in λέγεις.

19. κομπάζεις;] Signum interrogationis addidi, quod vulgo deest. Monuit tamen in Addendis Weiske.

σατυρικοῖς] Intellige δράμασι, ut monuit Casaubonus de Poesi Satyrica i. 1. Faber ad h. l. et Hemsterh. ad Luciani tom. i. p. 417. Ceterum similitudinem Silenorum spectavit etiam Aristophanes Nubium versu 224. ad quem Scholia: ἐλέγετο δὲ ὁ Σωκράτης τὴν ὄψιν Σειληνῷ παρεμφαίνειν· σιμός τε γὰρ καὶ φαλακρὸς ἦν. Plato Symposii xxxii. Alcibiadem facit dicentem: φημὶ γὰρ δὴ ὁμοιότατον αὐτὸν εἶναι τοῖς Σειληνοῖς τούτοις τοῖς ἐν τοῖς ἑρμογλυφείοις καθημένοις, οὕστινας ἐργάζονται οἱ δημιουργοὶ σύριγγας ἢ αὐλοὺς ἔχοντας. Similes illis Silenis clausilibus Hermas fecisse artifices Græcos testatur Scholion Dionysii in Etymol. M. v. Ἀρμάριον.

20. αὐτοὶ οὗτοι] Puer cum puella Syracusii hominis. Cf. cap. vi. 1.

21. σαφῶς ἔχω εἴδωλον] Debebat esse τὸ εἴδωλον aut σαφές· posterius malim, quod ipse Socrates deinde ὅμοιον εἴδωλον interpretari videtur.

22. αὐτὸν ὅπου] Male Weiske post αὐτὸν incisum posuit; pertinet enim pronomen illud ad sequens ὄψει:

ὄψις εὐφραίνειν δύναται, ἡ δὲ τοῦ εἰδώλου, τέρψιν μὲν οὐ πα ἔχει, πόθον δὲ ἐμποιεῖ. Καὶ ὁ Ἑρμογένης εἶπεν, ἀλλ' ἐγὼ, Σώκρατες, οὐδὲ πρὸς σοῦ ποιῶ τὸ περιϊδεῖν Κριτόβουλον οὕτω ὑπὸ τοῦ ἔρωτος ἐκπλαγέντα. Δοκεῖς γὰρ, ἔφη ὁ Σωκράτη ἐξ οὗ ἐμοὶ σύνεστιν, οὕτω διατεθῆναι αὐτόν; Ἀλλὰ πότε μή Οὐχ ὁρᾷς, ὅτι τούτῳ μὲν παρὰ τὰ ὦτα ἄρτι ἴουλος καθέρπε Κλεινίᾳ δὲ πρὸς τὸ ὄπισθεν ἤδη ἀναβαίνει; οὗτος οὖν συμφο τῶν εἰς ταὐτὰ διδασκαλεῖα ἐκείνῳ, τότε ἰσχυρῶς προσεκαύθ Ἃ δὴ αἰσθόμενος ὁ πατὴρ παρέδωκέ μοι αὐτὸν, εἴτι δυναίμ ὠφελῆσαι. Καὶ μέντοι πολὺ βέλτιον ἤδη ἔχει. Πρόσθεν μ γὰρ, ὥσπερ οἱ τὰς Γοργόνας θεώμενοι, λιθίνως ἔβλεπε πρ αὐτὸν, καὶ λίθινος οὐδαμοῦ ἀπῄει ἀπ' αὐτοῦ· νῦν δὲ ἤδη εἶδ αὐτὸν καὶ σκαρδαμύξαντα. Καί τοι νὴ τοὺς θεοὺς, ὦ ἄνδρε δοκεῖ μοι γε, ἔφη, ὡς ἐν ὑμῖν αὐτοῖς εἰρῆσθαι, οὗτος καὶ πεφ ληκέναι τὸν Κλεινίαν· οὗ ἔρωτος οὐδέν ἐστι δεινότερον ὑπέκ

hoc ipsum tamen admonitus a versione Ribitti agnovit in Addendis, et comma post ἄγεις τε poni jussit.

23. οὐδὲ πρὸς σοῦ ποιῶ] Judico te indignum esse, puto tibi non convenire, Critobulum disciplina tua utentem tam insano amore captum esse.

πρὸς τὸ ὄπισθεν ἤδη ἀναβαίνει] Hæc vitiosa esse recte monuit Weiske, et mentionem potius τῆς ὑπήνης requiri. Critobulus amator ætate superabat amasium Cliniam. Hic adolescens lanuginem in ὑπήνῃ primum erumpentem gerebat, ille barbam utrinque versus aures ad posteriorem capitis partem evagantem ostendebat. Recte Pollux ii. 10. ubi ipsum hunc locum respicere videtur, παρὰ τὰ ὦτα καθέρποντα τὸν ἴουλον ἔχων; hic est Critobulus. Sic Diodorus in Excerptis tom. ii. p. 596. νεανίσκον—τὸν μὲν ἴουλον κατάγοντα, τὴν δὲ ὑπογραφὴν ἄρτι λαμβάνοντα ταύτης τῆς ἀκμῆς. Statim subjungit Pollux, ut videtur, ex hoc nostro loco: ἢ περὶ τὴν ὑπήνην ἀνέρποντα. Unde scribendum suspicor: τούτῳ μὲν ἤδη πρὸς τὸ ὄπισθεν παρὰ τὰ ὦτα ἴουλος κα θέρπει, Κλεινίᾳ δὲ ἄρτι περὶ τὴν ὑπήν ἀναβαίνει;

οὗτος οὖν] Vulgatum οὕτως ita co rexit Brodæus, Castalio, Ribitti.

24. λιθίνως ἔβλεπε] Aldina λιθίνη deinde eadem λιθίνος dedit, pro vu gato λιθίνως, unde suadente Steph no λίθινος effecit Zeune. Cont Valckenær ad Eurip. Phœn. p. 16 malebat ἅτε λίθινος. Ernestio alt rum hoc λίθινος plane delendum v debatur, mihi etiam sine adjec aliqua particula, velut ὡς, καθάπε durum visum. Weiske adjectum d siderabat aliquid, velut ἐχόμενος αι τοῦ.

νῦν δὲ ἤδη] Ex Juntina et margin Steph. ἤδη inserui, quod tempus a tecedens rectius signat. Clinias e nim convivio huic non intererat.

25. ὡς ἐν ὑμῖν αὐτοῖς] Leoncl vii conjectura ἡμῖν probare videt Weiske. Sequens οὗτος pro vulgat οὕτως jam olim ante Leoncl. deder Castalio.

τὸν Κλεινίαν] In Memorab. i. 3, ἀλλὰ καὶ Κριτόβουλόν ποτε τὸν Κρίτ

καυμα. Καὶ γὰρ ἄπληστον ὂν καὶ ἐλπίδας τινὰς γλυκείας
26 παρέχει. Ἴσως δὲ καὶ, διὰ τὸ μόνον πάντων ἔργων τὸ τοῖς
σώμασι συμψαύειν ὁμώνυμον εἶναι τῷ ταῖς ψυχαῖς φιλεῖσθαι,
ἐντιμότερόν ἐστιν. Οὗ ἕνεκα ἀφεκτέον ἐγώ φημι εἶναι φιλη-
27 μάτων ὡραίων τῷ σωφρονεῖν δυνησομένῳ. Καὶ ὁ Χαρμίδης εἶ-
πεν, ἀλλὰ τί δή ποτε, ὦ Σώκρατες, ἡμᾶς μὲν οὕτω τοὺς φί-
λους μορμολύττῃ ἀπὸ τῶν καλῶν, αὐτὸν δέ σε, ἔφη, ἐγὼ εἶδον
ναὶ μὰ τὸν Ἀπόλλω, ὅτε παρὰ τῷ γραμματιστῇ ἐν τῷ αὐτῷ
βιβλίῳ ἀμφότεροι ἐμβατεύετέ τι, τὴν κεφαλὴν πρὸς τῇ κε-

νος, πυθόμενος, ὅτι ἐφίλησε τὸν Ἀλκιβιάδου υἱὸν καλὸν ὄντα. et sect. 10. οὐ γὰρ οὗτος ἐτόλμησε τὸν Ἀλκιβιάδου υἱὸν φιλῆσαι ὄντα εὐπροσωπότατον καὶ ὡραιότατον. de quo loco cum hoc nostro comparato disputavi in Addendis ad Memorab. p. 296. ubi quod posui Alcibiadem unum memorasse hujus ævi historiam, falsum esse video. Ipse enim Hellenicorum i. 2, 13. Ἀλκιβιάδην Ἀλκιβιάδου ἀνεψιὸν καὶ ξυμφυγάδα memorat. Deinde illud etiam falsum, quod Alcibiadis notissimi et pulcherrimi Atheniensium filium ullum fuisse negavi; Isocratis enim oratio περὶ ζεύγους filium Alcibiadis memorat, nomen tamen non edit; de quo monuit me doctissimus medicus Coray. Denique in loco Memorabilium maxime illud memorabile mihi videtur, quod Xenophonti Socrates præsente Critobulo ipso narrat de osculo dato Cliniæ a Critobulo, cujus periculum ignorans Xenophon juvenis respondet: κἂν ἐγὼ δοκῶ μοὶ τὸν κίνδυνον τοῦτον ὑπομεῖναι. Appàret inde, sermonem istum Socratis et tempus osculi dati Cliniæ antecessisse tempus, quo Convivium apud Calliam habitum fuit, i. e. Olympiadis 89. annum 4. Deinde fit ex eo manifestum, Critobulo fere parem ætate fuisse tum Xenophontem et Socratis item disciplina usum. Itaque uterque ex ephebis tum excesserat. Sic firmatur ipso Xenophontis testimonio ratio ea, quam posui in Disputatione de tempore Convivii Xenophontei collectam ex narratione Strabonis et Diogenis Laertii, Xenophontem tum, cum Calliæ convivio interesset cum Socrate, Critobulo, Antisthene, Hermogene et Charmide, fuisse natum annos fere viginti tres, contra ac visum fuit Casaubono, qui Xenophontem tum annos decem natum fuisse putabat.

ἄπληστον ὂν] Weiskii conjecturam ὂν, quod vulgo abest, probans tamen in altero membro deesse aliquid etiam suspicor, velut ἀεὶ παρέχει.

26. ἔργων] Ita Aldina et Leoncl. ἔργον Juntina et Steph. Sequens verbum in στόμασι mutatum voluit Wyttenbach probante Villoisono ad Longum p. 104. negat tamen Zeune ita sequens ψυχαῖς convenire.

δυνησομένῳ] Est pro βουλομένῳ dictum.

27. ἐμβατεύετε] Castalio ἐνεβατεύετε correxit, Reiske ἐματεύετε, Zeune ἐμαστεύετε; hic quidem ἐμβατεύειν sensu quærendi non esse dignum verbum bono scriptore, nedum Xenophonte, affirmavit, assentiente Weiskio. Hesychius tamen ἐμβατεῦσαι interpretatur ζητῆσαι. Nemesius de natura hominis p. 64. ed. Matthæi: οὐρανὸν ἐμβατεύει τῇ θεωρίᾳ paulo diverso sensu dixit. Ceterum nescio an huc pertineat locus Memorab. i. 7, 14. ubi Socrates ait:

φαλῇ, καὶ τὸν ὦμον γυμνὸν πρὸς γυμνῷ τῷ Κριτοβούλου ὤμῳ
ἔχοντα. Καὶ ὁ Σωκράτης, φεῦ, ἔφη· ταῦτ᾽ ἄρα, ἔφη, ἐγὼ
ὥσπερ ὑπὸ θηρίου τινὸς δεδηγμένος, τόν τε ὦμον πλεῖον, ἢ πέντε
ἡμέρας ὤδαξον, καὶ ἐν τῇ καρδίᾳ ὥσπερ κνῆσμά τι ἐδόκουν
ἔχειν. Ἀλλὰ νῦν τοι σοὶ, ἔφη, ὦ Κριτόβουλε, ἐναντίον τοσού- 28
των μαρτύρων προαγορεύω μὴ ἅπτεσθαί μου, πρὶν ἂν τὸ γένειον
τῇ κεφαλῇ ὁμοίως κομήσῃς. Καὶ οὗτοι μὲν δὴ οὕτως ἀναμὶξ
ἔσκωψάν τε καὶ ἐσπούδασαν. Ὁ δὲ Καλλίας, σὸν μέρος, 29
ἔφη, λέγειν, ὦ Χαρμίδη, διότι ἐπὶ πενίᾳ μέγα φρονεῖς. Οὐκ-
οῦν τόδε μὲν, ἔφη, ὁμολογεῖται, κρεῖττον εἶναι θαῤῥεῖν, ἢ φοβεῖ-
σθαι, καὶ ἐλεύθερον εἶναι μᾶλλον, ἢ δουλεύειν, καὶ θεραπεύεσθαι
μᾶλλον, ἢ θεραπεύειν, καὶ πιστεύεσθαι ὑπὸ τῆς πατρίδος
μᾶλλον, ἢ ἀπιστεῖσθαι. Ἐγὼ τοίνυν ἐν τῇδε τῇ πόλει, ὅτε 30
μὲν πλούσιος ἦν, πρῶτον μὲν ἐφοβούμην, μή τις μου τὴν οἰκίαν
διορύξας καὶ τὰ χρήματα λάβοι, καὶ αὐτόν τι με κακὸν ἐρ-
γάσαιτο· ἔπειτα δὲ καὶ τοὺς συκοφάντας ἐθεράπευον, εἰδὼς,
ὅτι παθεῖν μᾶλλον κακῶς ἱκανὸς εἴην ἢ ποιῆσαι ἐκείνους. Καὶ
γὰρ δὴ καὶ προσετάττετο μὲν ἀεί τι μοὶ δαπανᾶν ὑπὸ τῆς πό-
λεως, ἀποδημῆσαι δὲ οὐδαμοῦ ἐξῆν. Νῦν δ᾽ ἐπειδὴ τῶν ὑπερο- 31
ρίων στέρομαι, καὶ τὰ ἔγγαια οὐ καρποῦμαι, καὶ τὰ ἐκ τῆς
οἰκίας πέπραται, ἡδέως μὲν καθεύδω ἐκτεταμένος, πιστὸς δὲ
τῇ πόλει γεγένημαι, οὐκ ἔτι δὲ ἀπειλοῦμαι, ἀλλ᾽ ἤδη ἀπειλῶ
ἄλλοις, ὡς ἐλευθέρῳ τε ἔξεστί μοι καὶ ἀποδημεῖν καὶ ἐπιδη-
μεῖν· ὑπανίστανται δέ μοι ἤδη καὶ θάκων, καὶ ὁδῶν ἐξίστανται
οἱ πλούσιοι. Καὶ εἰμὶ νῦν μὲν τυράννῳ ἐοικὼς, τότε δὲ σαφῶς 32

καὶ τοὺς θησαυροὺς τῶν πάλαι σοφῶν ἀνδρῶν, οὓς ἐκεῖνοι κατέλιπον ἐν βιβλίοις γράψαντες, ἀνελίττων κοινῇ σὺν τοῖς φίλοις διέρχομαι.

τὴν κεφαλὴν] Edd. vett. τῇ κεφαλῇ πρὸς τὴν κεφαλὴν dant.

28. ταῦτ᾽ ἄρα] Intellige διά. Cf. Gregorius de Dial. Attica sect. 6.

τόν τε] Castalio τόνδε dedit.

κνῆσμα] Est hoc *ramentum*; igitur scribendum censeo κνίσμα. De forma ὤδαξον etiam dubito. θηρίον dicitur etiam bestia venenata et serpens.

Ἀλλὰ νῦν τοι] Sic vulgatum νῦν τι correxit Weiske; νῦν δὴ malebat Zeune, νῦν τοῦτο Heindorf.

30. δαπανᾷν] Cf. Œconomici ii. 6. de Republ. Atheniensi i. 3. Eadem munera et λειτουργίαι a cive præstanda impediebant, quo minus Charmides peregre abire posset.

31. τῶν ὑπερορίων στέρομαι] Agri extra Atticam in insulis vel in Thracia alicubi culti a Charmide, quibus per bellum Peloponnesiacum privatus et exclusus fuerat: quibus opponuntur τὰ ἔγγαια, intra Atticam siti agri et possessiones.

δοῦλος ἦν· καὶ τότε μὲν ἐγὼ φόρον ἀπέφερον τῷ δήμῳ, νῦν δὲ
ἡ πόλις τέλος φέρουσα τρέφει με. Ἀλλὰ καὶ Σωκράτει, ὅτε
μὲν πλούσιος ἦν, ἐλοιδόρουν με, ὅτι συνῆν· νῦν δ' ἐπεὶ πένης γε-
γένημαι, οὐκέτι οὐδὲν μέλει οὐδενί. Καὶ μὴν ὅτε μέν γε πολλὰ
εἶχον, ἀεί τι ἀπέβαλλον ἢ ὑπὸ τῆς πόλεως ἢ ὑπὸ τῆς τύχης·
νῦν δὲ ἀποβάλλω μὲν οὐδὲν, (οὐδὲν γὰρ ἔχω) ἀεὶ δέ τι λήψε-
33 σθαι ἐλπίζω. Οὐκοῦν, ἔφη ὁ Καλλίας, καὶ εὔχῃ μηδέποτε
πλουτεῖν, καὶ ἐάν τι ὄναρ ἀγαθὸν ἴδῃς, τοῖς ἀποτροπαίοις θύ-
οις; Μὰ Δία τοῦτο μέν τοι, ἔφη, ἐγὼ οὐ ποιῶ, ἀλλὰ μάλα
34 φιλοκινδύνως ὑπομένω, ἤν ποθέν τι ἐλπίζω λήψεσθαι. Ἀλλ',
ἄγε δή, ἔφη ὁ Σωκράτης, σὺ αὖ λέγε ἡμῖν, ὦ Ἀντίσθενες, πῶς
οὕτω βραχέα ἔχων μέγα φρονεῖς ἐπὶ πλούτῳ. Ὅτι νομίζω,
ὦ ἄνδρες, τοὺς ἀνθρώπους οὐκ ἐν τῷ οἴκῳ τὸν πλοῦτον καὶ τὴν
35 πενίαν ἔχειν ἀλλ' ἐν ταῖς ψυχαῖς. Ὁρῶ γὰρ πολλοὺς μὲν
ἰδιώτας, οἳ πάνυ πολλὰ ἔχοντες χρήματα οὕτω πένεσθαι
ἡγοῦνται, ὥστε πάντα μὲν πόνον πάντα δὲ κίνδυνον ὑποδύονται,
ἐφ' ᾧ πλείονα κτήσονται· οἶδα δὲ καὶ ἀδελφοὺς, οἳ τὰ ἴσα
λαχόντες, ὁ μὲν αὐτῶν τἀρκοῦντα ἔχει καὶ περισσεύοντα τὰ
36 τῆς δαπάνης, ὁ δὲ τοῦ παντὸς ἐνδεῖται. Αἰσθάνομαι δὲ καὶ
τυράννους τινὰς, οἳ οὕτως αὖ πεινῶσι χρημάτων, ὥστε ποιοῦσι
πολὺ δεινότερα τῶν ἀπορωτέρων· δι' ἔνδειαν μὲν γὰρ δήπου οἱ
μὲν κλέπτουσιν, οἱ δὲ τοιχωρυχοῦσιν, οἱ δὲ ἀνδραποδίζονται·
τύραννοι δ' εἰσί τινες, οἳ ὅλους μὲν οἴκους ἀναιροῦσιν, ἀθρόους δ'
ἀποκτείνουσιν, πολλάκις δὲ καὶ ὅλας πόλεις χρημάτων ἕνεκα
37 ἐξανδραποδίζονται. Τούτους μὲν οὖν ἔγωγε καὶ πάνυ οἰκτείρω
τῆς ἄγαν χαλεπῆς νόσου. Ὅμοια γάρ μοι δοκοῦσι πάσχειν,

32. τρέφει με] Compara locum de Civitate Atheniensium i. 3, 13.

οὐδὲν μέλει] Ita cum Hemsterhusio ad Luciani tom. i. p. 425. scripsi; contra vulgatum οὐδὲ vertendum censuit Weiske: *ne curat quidem quisquam, nedum ut mihi maledicant.*

οὐδὲν γὰρ ἔχω] Cum Heindorfio meo vulgatum οὐδὲ correxi, ad quod Weiske intelligebat ἀποβάλλειν, *non habeo, quod amittam.*

33. θύοις] Antecedens εὔχῃ videtur postulare, ut θύεις scribamus. Idem sequens οὐ ποιῶ suadere videtur.

35. περισσεύοντα τὰ τῆς δαπάνης] Cyrop. viii. 2, 2. ἐπειδὰν τῶν ἀρκούντων περιττὰ κτήσωνται.—ἃ ἂν ἴδω περιττὰ ὄντα τῶν ἐμοὶ ἀρκούντων. Unde h. l. malim articulum ante περισσεύοντα positum vel potius περισσὰ ὄντα τῆς δαπάνης scriptum.

ὥσπερ εἴ τις πολλὰ ἔχων καὶ πολλὰ ἐσθίων μηδέποτε ἐμπίπλαιτο. Ἐγὼ δὲ οὕτω μὲν πολλὰ ἔχω, ὡς μόλις αὐτὰ καὶ ἐγὼ ἂν αὐτὸς εὑρίσκω· ὅμως δὲ περίεστί μοι, καὶ ἐσθίοντι ἄχρι τοῦ μὴ πεινῆν ἀφικέσθαι, καὶ πίνοντι μέχρι τοῦ μὴ διψῆν, καὶ ἀμφιέννυσθαι, ὥστε ἔξω μὲν μηδὲν μᾶλλον Καλλίου τούτου τοῦ 38
πλουσιωτάτου ῥιγοῦν· ἐπειδάν γε μὴν ἐν τῇ οἰκίᾳ γένωμαι, πάνυ μὲν ἀλεεινοὶ χιτῶνες οἱ τοῖχοί μοι δοκοῦσιν εἶναι, πάνυ δὲ παχεῖαι ἐφεστρίδες οἱ ὄροφοι. Στρωμνήν γε μὴν οὕτως ἀρκοῦσαν ἔχω, ὥστ' ἔργον ἐμέ γ' ἐστι καὶ ἀνεγεῖραι. Ἢν δέ ποτε καὶ ἀφροδισιάσαι τὸ σῶμά μου δεηθῇ, οὕτω μοι τὸ παρὸν ἀρκεῖ, ὥστε αἷς ἂν προσέλθω, ὑπερασπάζονταί με, διὰ τὸ μηδένα ἄλλον αὐταῖς ἐθέλειν προσιέναι. Καὶ πάντα τοίνυν 39
ταῦτα οὕτως ἡδέα μοι δοκεῖ εἶναι, ὡς μᾶλλον μὲν ἥδεσθαι ποιῶν ἕκαστα αὐτῶν οὐκ ἂν εὐξαίμην, ἧττον δέ· οὕτω μοι δοκεῖ ἔνια αὐτῶν ἡδίω εἶναι τοῦ συμφέροντος. Πλείστου δ' ἄξιον 40
κτῆμα ἐν τῷ ἐμῷ πλούτῳ λογίζομαι εἶναι ἐκεῖνο, ὅτι, εἴ μου τις καὶ τὰ νῦν ὄντα παρέλοιτο, οὐδὲν οὕτως ὁρῶ φαῦλον ἔργον,

37. πολλὰ ἔχων] Recte Lange cum Moschio πίνων corrigere videtur.

38. ἐφεστρίδες] *Pallium, vestem exteriorem*, interpretatur Index Zeunianus. *Lacernæ* potius sunt, docente Hemsterhusio ad Luciani ii. p. 447. ed. Bip. *Paludamentum purpureum* ἐφεστρίδα vocat Id. iii. p. 50. et vi. p. 327. sed *lacernulam tenuem* ἐφεστρίδιον ἄθλιον p. 260. tom. iii. Mihi h. l. videntur esse χλαῖναι illæ οὖλαι, καθύπερθεν ἕσασθαι, quas lecto imponunt parato Ulyssi in domo Alcinoi servæ, Odysseæ vii. 338. Easdem χλαίνας memorat Odyssea iii. 349. De lecto enim Antisthenis et somno Xenophontem loqui voluisse puto. Itaque ἀρκοῦσαν στρωμνὴν vitiosam esse suspicor, et μαλακὴν vel simile aliquod vocabulum scriptum fuisse a Xenophonte.

ἔργον ἐμέ γ' ἐστι] Vulgatum μέτεστι correxit Castalio ita ut scriberet ἔργων; Stephani μέ ἐστι recepit Zeune; Leonclavius malebat ἔργον ἐμέ γ' ἐστι. Bachii rationem probavit Weiske, ego Leonclavianam; ita enim ambiguitas vitatur, ne μέ γ' ἐστι permutetur cum μέγα ἐστί.

οὕτω μοι τὸ παρὸν] En Cynicæ sectæ auctorem. Socrates Memorabil. i. 3, 14. iis, qui continere libidinis sensum non possent, consilium idem dat.

39. ἧττον δέ· οὕτω] Vulgatum ἧττον δέ· τούτων vitiosum esse jam olim vidit et correxit Leoncl. scribens ἧττον δὲ, ὅτι omisso τούτων. Propius a vulgata scriptura abesse sibi videbatur Zeune scribens ἥττονι δὲ τούτων: quam conjecturam recepit Weiske. Equidem sequor egregiam conjecturam excogitatam ab Heindorfio meo, et propositam a Langio, quæ minorem vim lectioni vulgatæ facit, quam Leonclaviana, quam Zeune ad nugas referebat, ipse nugator strenuus.

41 ὁποῖον οὐκ ἀρκοῦσαν ἂν τροφὴν ἐμοὶ παρέχοι. Καὶ γὰρ ὅταν
ἡδυπαθῆσαι βουληθῶ, οὐκ ἐκ τῆς ἀγορᾶς τὰ τίμια ὠνοῦμαι,
(πολυτελῆ γὰρ γίνεται) ἀλλ' ἐκ τῆς ψυχῆς ταμιεύομαι. Καὶ
πολὺ πλεῖον διαφέρει πρὸς ἡδονήν, ὅταν ἀναμείνας τὸ δεηθῆναι
προσφέρωμαι, ἢ ὅταν τινὶ τῶν τιμίων χρῶμαι· ὥσπερ καὶ νῦν
42 τῷδε τῷ Θασίῳ οἴνῳ ἐντυχών, οὐ διψῶν πίνω αὐτόν. Ἀλλὰ
μὴν καὶ πολὺ δικαιοτέρους γε εἰκὸς εἶναι τοὺς εὐτέλειαν μᾶλ-
λον, ἢ πολυχρηματίαν σκοποῦντας. Οἷς γὰρ μάλιστα τὰ
43 παρόντα ἀρκεῖ, ἥκιστα τῶν ἀλλοτρίων ὀρέγονται. Ἄξιον δ'
ἐννοῆσαι, ὡς καὶ ἐλευθερίους ὁ τοιοῦτος πλοῦτος παρέχεται.
Σωκράτης τε γὰρ οὗτος, παρ' οὗ ἐγὼ τοῦτον ἐκτησάμην, οὔτ'
ἀριθμῷ οὔτε σταθμῷ ἐπήρκει μοι, ἀλλ' ὁπόσον ἐδυνάμην φέ-
ρεσθαι, τοσοῦτόν μοι παρεδίδου· ἐγώ τε νυνὶ οὐδενὶ φθονῶ, ἀλλὰ
πᾶσι τοῖς φίλοις καὶ ἐπιδεικνύω τὴν ἀφθονίαν, καὶ μεταδίδωμι
44 τῷ βουλομένῳ τοῦ ἐν τῇ ἐμῇ ψυχῇ πλούτου. Καὶ μὴν καὶ τὸ
ἁβρότατόν γε κτῆμα, τὴν σχολὴν ἀεὶ ὁρᾶτέ μοι παροῦσαν,
ὥστε καὶ θεάσασθαι τὰ ἀξιοθέατα, καὶ ἀκούειν τὰ ἀξιάκουστα,
καὶ ὃ πλείστου ἐγὼ τιμῶμαι, Σωκράτει σχολάζων συνδιημε-
ρεύειν. Καὶ οὗτος δὲ οὐ τοὺς πλεῖστον ἀριθμοῦντας χρυσίον
θαυμάζει, ἀλλ' οἳ ἂν αὐτῷ ἀρέσκωσι, τούτοις συνὼν διατελεῖ.
45 Οὗτος μὲν οὖν οὕτως εἶπεν. Ὁ δὲ Καλλίας, νὴ τὴν Ἥραν,
ἔφη, τά τε ἄλλα ζηλῶ σε τοῦ πλούτου, καὶ ὅτι οὔτε ἡ πόλις
σοι ἐπιτάττουσα ὡς δούλῳ χρῆται, οὔτε οἱ ἄνθρωποι, ἢν μὴ δα-
νείσῃς, ὀργίζονται. Ἀλλὰ μὰ Δί', ἔφη ὁ Νικήρατος, μὴ ζή-
λου· ἐγὼ γὰρ ἥξω παρ' αὐτοῦ δανεισόμενος τὸ μηδενὸς προσ-
δεῖσθαι, οὕτω πεπαιδευμένος ὑπὸ Ὁμήρου ἀριθμεῖν,

41. ἐκ τῆς ψυχῆς] *Ex mente* Lange interpretatur, *animum* nominavit Weiske; uterquè male. Est, ut sæpe in Xenophontis scriptis, desiderium et cupiditas edendi et bibendi. Recte igitur Zeune *famem sitimque* interpretatur.

43. τοῦτον ἐκτησάμην] Stephanianæ prioris τοῦτο repetiit Bachiana; in Leonclaviana tertia plane deest pronomen.

44. συνδιημερεύειν] Memorab. iii. 11, 17. διὰ τί οἴει—τόνδε καὶ Ἀντισθένην οὐδέποτέ μου ἀπολείπεσθαι. Hinc Antisthenes ὁ Σωκρατικὸς audiebat, cujus Dialogos recenset Athenæus v. p. 220. Ceterum vulgatum οὐ πλείστου correxit Stephanus.

45. δανεισόμενος] Leonclavii correctionem dedi pro δανεισάμενος, male defenso a Zeunio. τὸ μηδενὸς πρ. Nicerato est: *nihil amplius indigere*.

οὕτω πεπαιδευμένος] Leoncl. ὅτι οὕτω malebat scriptum. Weiskio etiam hæc aut similis particula hic aut ante σταθμῷ desiderari videba-

Ἑπτ' ἀπύρους τρίποδας, δέκα δὲ χρυσοῖο τάλαντα,
Αἴθωνας δὲ λέβητας ἐείκοσι, δώδεκα δ' ἵππους.

σταθμῷ καὶ ἀριθμῷ ὡς πλείστου πλούτου ἐπιθυμῶν οὐ παύομαι· ἐξ ὧν ἴσως καὶ φιλοχρηματώτερός τισι δοκῶ εἶναι. Ἔνθα δὴ ἀνεγέλασαν ἅπαντες, νομίζοντες τὰ ὄντα εἰρηκέναι αὐτόν. Ἐκ τούτου εἶπέ τις, σὸν ἔργον, ὦ Ἑρμόγενες, λέγειν τε τοὺς 46 φίλους, οἵτινές εἰσι, καὶ ἐπιδεικνύναι, ὡς μέγα τε δύνανται καὶ σοῦ ἐπιμέλονται, ἵνα δοκῇς δικαίως ἐπ' αὐτοῖς μέγα φρονεῖν. Οὐκοῦν ὡς μὲν καὶ Ἕλληνες καὶ βάρβαροι τοὺς θεοὺς 47 ἡγοῦνται πάντα εἰδέναι τά τε ὄντα καὶ τὰ μέλλοντα, εὔδηλον. Πᾶσαι γοῦν αἱ πόλεις καὶ πάντα τὰ ἔθνη διὰ μαντικῆς ἐπερωτῶσι τοὺς θεούς, τί τε χρὴ καὶ τί οὐ χρὴ ποιεῖν. Καὶ μὴν ὅτι νομίζομέν γε δύνασθαι αὐτοὺς καὶ εὖ καὶ κακῶς ποιεῖν, καὶ τοῦτο σαφές. Πάντες γοῦν αἰτοῦνται τοὺς θεοὺς τὰ μὲν φαῦλα ἀποτρέπειν, τἀγαθὰ δὲ διδόναι. Οὗτοι τοίνυν οἱ πάντα 48 μὲν εἰδότες, πάντα δὲ δυνάμενοι θεοὶ, οὕτω μοι φίλοι εἰσὶν, ὥστε διὰ τὸ ἐπιμελεῖσθαί μου, οὔποτε λήθω αὐτοὺς οὔτε νυκτὸς, οὔθ' ἡμέρας, οὔθ' ὅποι ἂν ὁρμῶμαι, οὔθ' ὅ τι ἂν μέλλω πράττειν. Διὰ δὲ τὸ προειδέναι, καὶ ὅ τι ἐξ ἑκάστου ἀποβήσεται,

tur. Mihi quidem deesse nihil videtur, sed verba σταθμῷ καὶ ἀριθμῷ transponenda et locanda post verbum προσδεῖσθαι. Antisthenes gloriabatur antea divitiis a Socrate acceptis, οὔτ' ἀριθμῷ οὔτε σταθμῷ ἐπήρκει μοι sect. 43. Huc respiciens Niceratus ridicule sibi petit Antisthenis abundantiam (τὸ μηδενὸς προσδεῖσθαι) et quidem non omnem omnino nec sine mensura, sed σταθμῷ καὶ ἀριθμῷ, ita ut mensuram et numerum edicto Homerico Iliadis ix. 122. et 264. finiat. Sic demum recte addit οὕτω πεπαιδευμένος et reliqua; ita verba ὡς πλείστου—παύομαι recte procedunt, cum σταθμῷ καὶ ἀριθμῷ nullo modo congruentia.

46. Ἐκ τούτου] Juntina ἐκ τούτων.

47. τί τε χρὴ—αἰτοῦνται τοὺς θεούς. Totus hic locus in Juntina excidit, propter similitudinem membri extremi.

48. θεοὶ] Castalio omisit.

ὥστε] Plutarchus tom. x. p. 538. ed. Reisk. ὡς, deinde σημαίνουσι omisso μοι posuit ex h. l.

οὔποτε λήθω] Manifestum esse puto respici ad Iliadis x. versum 278. ubi Ulysses ad Minervam: Κλῦθί μοι—ἥτε μοι αἰεὶ ἐν πάντεσσι πόνοισι παρίστασαι, οὐδέ σε λήθω κινύμενος. Nostrum locum respexit Arrianus Dissert. Epict. i. 12, 3. ubi est de providentia divina: τέταρτοι δὲ καὶ τῶν ἐπὶ γῆς καὶ τῶν ἀνθρωπίνων, (sic enim recte Stobæus Eclog. Physic. p. 100. habet scriptum pro vulgato οὐρανίων) εἰς κοινὸν δὲ μόνον καὶ οὐχὶ κατ' ἰδίαν ἑκάστου· πέμπτοι δὲ, ὧν ἦν καὶ Ὀδυσσεὺς καὶ Σωκράτης, οἱ λέγοντες ὅτι οὐδέ σε λήθω κινύμενος. Cf. Heyne ad Homerum tom. vi. p. 60.

σημαίνουσί μοι, πέμποντες ἀγγέλους φήμας, καὶ ἐνύπνια καὶ
οἰωνούς, ἅ τε δεῖ, καὶ ἃ οὐ χρὴ ποιεῖν. Οἷς ἐγὼ ὅταν μὲν πεί-
θωμαι, οὐδέ ποτέ μοι μεταμέλει· ἤδη δέ ποτε καὶ ἀπιστήσας
49 ἐκολάσθην. Καὶ ὁ Σωκράτης εἶπεν, ἀλλὰ τούτων μὲν οὐδὲν
ἄπιστον. Ἐκεῖνο μέντοι ἔγωγε ἡδέως ἂν πυθοίμην, πῶς αὐτοὺς
θεραπεύων οὕτω φίλους ἔχεις. Ναὶ μὰ τὸν Δία, ἔφη ὁ Ἑρ-
μογένης, καὶ μάλα εὐτελῶς. Ἐπαινῶ τε γὰρ αὐτοὺς οὐδὲν
δαπανῶν, ὧν τε διδόασιν ἀεὶ αὖ παρέχομαι, εὐφημῶ τε, ὅσα
ἂν δύνωμαι, καὶ ἐφ' οἷς ἂν αὐτοὺς μάρτυρας ποιήσωμαι, ἑκὼν
οὐδὲν ψεύδομαι. Νὴ Δί', ἔφη ὁ Σωκράτης, εἰ ἄρα τοιοῦτος
ὢν φίλους αὐτοὺς ἔχεις, καὶ οἱ θεοί, ὡς ἔοικε, καλοκἀγαθίᾳ
50 ἥδονται. Οὗτος μὲν δὴ ὁ λόγος οὕτως ἐσπουδαιολογήθη.
Ἐπειδὴ δὲ εἰς τὸν Φίλιππον ἧκον, ἠρώτων αὐτόν, τί ὁρῶν ἐν τῇ
γελωτοποιίᾳ, μέγα ἐπ' αὐτῇ φρονοίη. Οὐ γὰρ ἄξιον, ἔφη,
ὁπότε γε πάντες εἰδότες ὅτι γελωτοποιός εἰμι, ὅταν μέν τι
ἀγαθὸν ἔχωσι, παρακαλοῦσί με ἐπὶ ταῦτα προθύμως· ὅταν δέ
τι κακὸν λάβωσι, φεύγουσιν ἀμεταστρεπτί, φοβούμενοι, μὴ
51 καὶ ἄκοντες γελάσωσι; Καὶ ὁ Νικήρατος εἶπε, νὴ Δία σὺ τοί-
νυν δικαίως μέγα φρονεῖς. Ἐμοὶ γὰρ αὖ τῶν φίλων οἱ μὲν εὖ
πράττοντες ἐκ ποδῶν ἀπέρχονται, οἳ δ' ἂν κακόν τι λάβωσι,
γενεαλογοῦσι τὴν συγγένειαν, καὶ οὐδέποτέ μου ἀπολείπονται.
52 Εἶεν· σὺ δὲ δή, ἔφη ὁ Χαρμίδης, ὦ Συρακόσιε, ἐπὶ τῷ μέγα
φρονεῖς; ἢ δῆλον, ὅτι ἐπὶ τῷ παιδί. Μὰ τὸν Δί', ἔφη, οὐ

ἀπιστήσας] Leonclav. ἀπειστήσας maluit scriptum. Cf. ad Cyrop. i. 2, 12. ii. 4, 17.

49. αὖ παρέχομαι] Weiske putabat esse *aliis suppedito*. De sacrificiis enim non posse intelligi, docere ait antecedens οὐδὲν δαπανῶν. Sed hæc ipsa verba, isto quidem loco et ordine collocata, plane inepta mihi videntur esse. Ad laudem enim deorum quid opus erat sumtu? Deinde παρέχομαι nullibi significat *suppedito*, sed *præsto, quod a me postulatur*. Igitur censeo locum sic esse ordinandum: Ἐπαινῶ τε γὰρ αὐτούς, ὧν τε διδόασιν ἀεί, αὖ παρέχομαι, οὐδὲν δαπανῶν, εὐφημῶ τε et cet. Intelligit Hermogenes animum sanum, pium et gratum in deos, quem munere deorum obtigisse sibi gloriatur, quemque invicem ipsis precibus, laude et gratiarum actione præstat et quasi retribuit. In margine Villois. libri ἀεὶ ἂν annotatur, quod quo spectet, ignoro.

ἑκὼν] Edd. vett. omittunt, ἐγὼ dedit Castalio.

50. ἄξιον] Intellige τοῦ μέγα φρονεῖν. Deinde ὅταν δὲ κακὸν dat Juntina.

51. γενεαλογοῦσι] Eadem sententia est in Luciani Timone sect. 49. et Terentii Phormione ii. 2, 45.

μὲν δή· ἀλλὰ καὶ δέδοικα περὶ αὐτοῦ ἰσχυρῶς. Αἰσθάνομαι
γάρ τινας ἐπιβουλεύοντας διαφθεῖραι αὐτόν. Καὶ ὁ Σωκράτης 53
ἀκούσας, Ἡράκλεις, ἔφη, τί τοσοῦτον νομίζοντες ἠδικῆσθαι
ὑπὸ τοῦ σοῦ παιδὸς, ὥστε ἀποκτεῖναι αὐτὸν βούλεσθαι; Ἀλλ'
οὔτοι, ἔφη, ἀποκτεῖναι βούλονται, ἀλλὰ πεῖσαι αὐτὸν συγκα-
θεύδειν αὐτοῖς. Σὺ δ', ὡς ἔοικας, εἰ τοῦτο γένοιτο, νομίζεις ἂν
διαφθαρῆναι αὐτόν; Ναὶ μὰ Δί', ἔφη, παντάπασί γε. Οὐδ' 54
αὐτὸς ἄρ', ἔφη, συγκαθεύδεις αὐτῷ; Νὴ Δί' ὅλας γε καὶ πά-
σας τὰς νύκτας. Νὴ τὴν Ἥραν, ἔφη ὁ Σωκράτης, εὐτύχημά
γέ σου μέγα τὸ τὸν χρῶτα τοιοῦτον φῦναι ἔχοντα, ὥστε μόνον
μὴ διαφθείρειν τοὺς συγκαθεύδοντας. Ὥστε σοί γε, εἰ μὴ ἐπ'
ἄλλῳ, ἀλλ' ἐπὶ τῷ χρωτὶ ἄξιον μέγα φρονεῖν. Ἀλλὰ μὰ 55
Δί', ἔφη, οὐκ ἐπὶ τούτῳ μέγα φρονῶ. Ἀλλ' ἐπὶ τῷ μήν;
Ἐπὶ νὴ Δία τοῖς ἄφροσιν. Οὗτοι γὰρ τὰ ἐμὰ νευρόσπαστα
θεώμενοι τρέφουσί με. Ταῦτα γάρ, ἔφη ὁ Φίλιππος, καὶ
πρώην ἐγώ σου ἤκουον εὐχομένου πρὸς τοὺς θεοὺς, ὅπου ἂν ᾖς,
διδόναι καρποῦ μὲν ἀφθονίαν, φρενῶν δὲ ἀφορίαν. Εἶεν, ἔφη ὁ 56
Καλλίας. Σὺ δὲ δή, ὦ Σώκρατες, τί ἔχεις εἰπεῖν, ὡς ἄξιόν
σοι ἐστὶ μέγα φρονεῖν, ἐφ' ᾗ εἶπας, οὕτως ἀδόξῳ οὔσῃ τέχνῃ;
Καὶ ὃς εἶπεν, ὁμολογησώμεθα πρῶτον, ποῖά ἐστιν ἔργα τοῦ
μαστροποῦ· καὶ ὅσα ἂν ἐρωτῶ, μὴ ὀκνεῖτε ἀποκρίνεσθαι· ἵνα
εἰδῶμεν, ὅσα ἂν συνομολογῶμεν. Καὶ ὑμῖν οὕτω δοκεῖ; ἔφη.
Πάνυ μὲν οὖν, ἔφασαν. Ὡς δ' ἅπαξ εἶπον Πάνυ μὲν οὖν,
τοῦτο πάντες ἐκ τοῦ λοιποῦ ἀπεκρίναντο. Οὐκοῦν ἀγαθοῦ μὲν, 57
ἔφη, ὑμῖν δοκεῖ μαστροποῦ ἔργον εἶναι, ἣν ἂν ἢ ὃν ἂν μαστρο-
πεύῃ, ἀρέσκοντα τοῦτον ἀποδεικνύναι, οἷς ἂν συνῇ; Πάνυ μὲν
οὖν, ἔφασαν. Οὐκοῦν ἓν μέν τι ἐστὶν εἰς τὸ ἀρέσκειν ἐκ τοῦ

53. νομίζοντες] Intellige ἐπιβουλεύουσι. Stephanus tamen νομίζουσι malebat scriptum. Ceterum ludit Socrates in ambiguitate verbi διαφθείρειν, et paulo post in verbo συγκαθεύδειν.

55. ἄφροσιν] *Ergo et hi convivæ ἄφρονες.* Sic ad h. l. Weiske. Sed νευρόσπαστα convivis nulla ostenderat Syracusanus.

Ταῦτα γὰρ] Intellige διὰ ταῦτα. *Verum dicis; hanc enim, puto, ob causam nuper audivi te deos precantem* et cet. Malim tamen ταῦτ' ἄρα.

56. τοῦ μαστροποῦ] Margo Steph. ἀγαθοῦ μαστροποῦ.

57. οἷς ἂν συνῇ] Cum quibus ipse μαστροπὸς versetur? Vix credo voluisse Socratem hoc dicere, contra suspicor fuisse olim scriptum συνιστῇ, quibus eum commendare voluerit. Ceterum τοῦτον ἢ ταύτην scribi maluerunt Leoncl. et Stephanus.

ἐκ τοῦ πρέπουσαν] Verba ἐκ τοῦ su-

πρέπουσαν ἔχειν σχέσιν καὶ τριχῶν καὶ ἐσθῆτος; Πάνυ μὲν
58 οὖν, ἔφασαν. Οὐκοῦν καὶ τόδε ἐπιστάμεθα, ὅτι ἐστὶ ἀνθρώπῳ τοῖς αὐτοῖς ὄμμασι καὶ φιλικῶς καὶ ἐχθρῶς πρός τινας βλέπειν; Πάνυ μὲν οὖν. Τί δὲ, τῇ αὐτῇ φωνῇ ἔστι καὶ αἰδημόνως καὶ θρασέως φθέγγεσθαι; Πάνυ μὲν οὖν. Τί δὲ, λόγοι οὐκ εἰσὶ μέν τινες ἀπεχθανόμενοι, εἰσὶ δέ τινες, οἳ πρὸς φιλίαν
59 ἄγουσιν; Πάνυ μὲν οὖν. Οὐκοῦν τούτων ὁ ἀγαθὸς μαστροπὸς τὰ συμφέροντα εἰς τὸ ἀρέσκειν διδάσκοι ἄν; Πάνυ μὲν οὖν. Ἀμείνων δ' ἂν εἴη, ἔφη, ὁ ἑνὶ δυνάμενος ἀρεστοὺς ποιεῖν, ἢ ὅστις καὶ πολλοῖς; Ἐνταῦθα μέντοι ἐσχίσθησαν, καὶ οἱ μὲν εἶ-
60 πον, δῆλον, ὅτι ὅστις πλείστοις· οἱ δὲ, πάνυ μὲν οὖν. Ὁ δ' εἰπὼν, ὅτι καὶ τοῦτο ὁμολογεῖται, ἔφη, εἰ δέ τις καὶ ὅλῃ τῇ πόλει ἀρέσκοντας δύναιτο ἀποδεικνύναι, οὐχ οὗτος παντελῶς ἂν ἤδη ἀγαθὸς μαστροπὸς εἴη; Σαφῶς γε νὴ Δία, πάντες εἶπον. Οὐκοῦν εἴτις τοιούτους δύναιτο ἐξεργάζεσθαι, ὧν προστατοίη, δικαίως ἂν μέγα φρονοίη ἐπὶ τῇ τέχνῃ, καὶ δικαίως ἂν
61 πολὺν μισθὸν λαμβάνοι; Ἐπεὶ δὲ καὶ ταῦτα πάντες συνωμολόγουν, τοιοῦτος μέντοι, ἔφη, μοὶ δοκεῖ Ἀντισθένης εἶναι οὗτος. Καὶ ὁ Ἀντισθένης, ἐμοὶ, ἔφη, παραδίδως, ὦ Σώκρατες, τὴν τέχνην; Ναὶ μὰ Δί', ἔφη. Ὁρῶ γάρ σε καὶ τὴν ἀκόλουθον ταύτης πάνυ ἐξειργασμένον. Τίνα ταύτην; Τὴν προαγωγείαν, ἔφη.
62 Καὶ ὃς μάλα ἀχθεσθεὶς ἐπήρετο, καὶ τί μοι σύνοισθα, ὦ Σώκρατες, τοιοῦτον εἰργασμένῳ; Οἶδα μὲν, ἔφη, σὲ Καλλίαν τουτονὶ προαγωγεύσαντα τῷ σοφῷ Προδίκῳ, ὅτε ἑώρας τοῦτον μὲν φιλοσοφίας ἐρῶντα, ἐκεῖνον δὲ χρημάτων δεόμενον· οἶδα δέ σε Ἱππίᾳ τῷ Ἠλείῳ, παρ' οὗ οὗτος καὶ τὸ μνημονικὸν ἔμαθεν·

perflua censet Lange; mihi oratio manca et vitiosa etiam videtur. Quid si suspicemur fuisse εἰς τὸ ἀρέσκειν ἄγον τό?

59. ἀρεστοὺς] Vulgatum ἀρίστους Brodæus, Ribittus et Stephanus correxerunt. Sequens μέντοι Juntina in simplex μὲν mutavit.

61. προαγωγείαν] Plutarchus Quæst. Conviv. ii. 1, 6. ex h. l. retulit: τὸ Ἀντισθένους τὸ φιλοποιὸν καὶ συναγωγὸν ἀνθρώπων εἰς εὔνοιαν μαστροπείαν καὶ συναγωγίαν καὶ ἀγωγίαν ὀνομάσας, quæ vitiosa esse monuit Wyttenbach. Pertinet huc etiam locus Diogenes Laert. in Antisthene a Weiskio comparatus: τοῦτον μόνον ἐκ πάντων Σωκρατικῶν Θεόπομπος ἐπαινεῖ, καί φησι δεινόν τε εἶναι καὶ δι' ὁμιλίας ἐμμελοῦς ὑπαγαγέσθαι πάνθ' ὁντινοῦν. Δῆλον δ' ἐκ συγγραμμάτων κἀκ τοῦ Ξενοφῶντος συμποσίου.

62. τὸ μνημονικὸν] In Œcon. ix. 11. τὸ μν. est vis memoriæ, hic ars memoriæ, quæ dicitur inventa a Simonide esse: de qua loci classici

ἀφ᾽ οὗ δὴ καὶ ἐρωτικώτερος γεγένηται, διὰ τὸ, ὅ τι ἂν καλὸν ἴδῃ, μηδέποτε ἐπιλανθάνεσθαι. Ἔναγχος δὲ δήπου καὶ πρὸς 63
ἐμὲ ἐπαινῶν τὸν Ἡρακλεώτην ξένον, ἐπεί με ἐποίησας ἐπιθυμεῖν αὐτοῦ, συνέστησάς μοι αὐτόν. Καὶ χάριν μέντοι σοὶ ἔχω· πάνυ γὰρ καλὸς κἀγαθὸς δοκεῖ μοι εἶναι. Αἰσχύλον δὲ τὸν Φλιάσιον πρὸς ἐμὲ ἐπαινῶν, καὶ ἐμὲ πρὸς ἐκεῖνον, οὐχ οὕτω διέθηκας, ὥστε διὰ τοὺς σοὺς λόγους ἐρῶντες ἐκυνοδρομοῦμεν

sunt Ciceronis de Oratore ii. 86—88. Quinctiliani ii. 2, 11—27. in primis libri tertii ad Herennium cap. 16. usque ad finem. Artem hic dicit τὰ μνημονικὰ atque ita de ea tradit: *Constat artificiosa memoria ex locis et imaginibus. Locos appellamus eos, qui breviter, perfecte, insignite aut natura aut manu sunt absoluti, ut eos facile naturali memoria comprehendere et amplecti queamus, ut ædes, intercolumnium, angulum, fornicem et alia, quæ his similia sunt. Imagines sunt formæ quædam et notæ et simulacra ejus rei, quam meminisse volumus: quod genus equi, leones, aquilæ; quorum memoriam si volemus habere, imagines eorum certis in locis collocare nos oportebit.—Ita qui* μνημονικὰ *didicerunt, possunt, quæ audierunt, in locis collocare et ex his memoriter pronuntiare:*—denique cap. 24. *tum vero in* μνημονικοῖς *minimum valet doctrina, nisi industria, studio, labore, diligentia comprobetur.* Ex his demum intelliges locum Aristotelis de Anima iii. c. 3. de phantasia: τοῦτο γὰρ τὸ πάθος ἐφ᾽ ἡμῖν ἐστιν, ὅταν βουλώμεθα· πρὸ ὀμμάτων γάρ ἐστι ποιήσασθαι, ὥσπερ οἱ ἐν τοῖς μνημονικοῖς τιθέμενοι καὶ εἰδωλοποιοῦντες. quæ vertunt: *sicut qui in memorativis versantur et simulacra faciunt.* Neque ipse Simplicius locum intellexisse videtur, quo respexit Ptolemæus de Judicandi facultate p. 16. τὸν νοῦν δὲ μηδὲν ἂν τὸ πρῶτον διανοηθῆναι χωρὶς τῆς αἰσθητικῆς διαδόσεως, εἰ μή τις ἐθέλοι τυποποιεῖν: quæ vertit Bullialdus: *nisi figuras ac formas imaginatione ipse sibi fabricari quis velit.* Nec rectius interpretatur locum appositum Aristotelis, qui vertendus erat: *quemadmodum qui per artificiosam memoriam locos disponunt et in iis imagines collocant.*

62. καλὸν ἴδῃ] Sic recte vulgatum κακὸν correxit Leoncl.

63. Ἡρακλεώτην ξένον] *Zeuxippum pictorem* interpretatur Bachius ex Platonis Protagora p. 105. ubi est: τούτου τοῦ νεανίσκου τοῦ νῦν (Olympiadis 90. anno 1.) ἐπιδημοῦντος νεωστὶ, Ζευξίππου τοῦ Ἡρακλεώτου. Pictor is fuit, quem tamen nemo scriptorum veterum celebravit. Eodem vero tempore Zeuxis indidem Heracleotes pictor vixit, quem omnes celebrarunt, ipse etiam Socrates in Memorabil. i. 4, 6. et Œconom. x. 1. Plinius autem xxxv. sect. 36. Zeuxin ait a quibusdam celebratum jam fuisse Olympiade 89. qua ipsa exeunte Zeuxippus Athenis adfuit.

συνέστησάς μοι αὐτόν] Vide ad Œcon. iii. sect. 14. dicta.

ἐκυνοδρομοῦμεν] Ubi Stephanus scriptum invenerit ἐκυνολογοῦμεν, nescio; sed æque ineptum est ἐκοινοδρομοῦμεν, quod Camerarius conjecit. Κυνοδρομεῖ venator, dum feram cum canibus investigat. Utitur verbo Xenophon in Cynegetico. Ceterum Æschylus hic diversus a tragico est, mortuo Olymp. 81, 1. testante scholio ad Aristophanis Acharn. versu 10.

64 ἀλλήλους ζητοῦντες; Ταῦτα μὲν οὖν ὁρῶν δυνάμενόν σε ποιεῖν, ἀγαθὸν νομίζω προαγωγὸν εἶναι. Ὁ γὰρ οἷός τε ὢν γιγνώσκειν τε τοὺς ὠφελίμους αὐτοῖς, καὶ τούτους δυνάμενος ποιεῖν ἐπιθυμεῖν ἀλλήλων, οὗτος ἄν μοι δοκεῖ καὶ πόλεις δύνασθαι φίλας ποιεῖν, καὶ γάμους ἐπιτηδείους συνάγειν, καὶ πολλοῦ ἂν ἄξιος εἶναι καὶ πόλεσι καὶ φίλοις καὶ συμμάχοις κεκτῆσθαι. Σὺ δέ μοι, ὡς κακῶς ἀκούσας, ὅτι ἀγαθόν σε ἔφην προαγωγὸν εἶναι, ὠργίσθης. Ἀλλὰ μὰ Δί', ἔφη, οὐ νῦν. Ἐὰν γὰρ ταῦτα δύνωμαι, σεσαγμένος δὴ παντάπασι πλούτου τὴν ψυχὴν ἔσομαι. Καὶ αὕτη μὲν δὴ ἡ περίοδος τῶν λόγων ἀπετελέσθη.

CAP. V.

1 Ὁ δὲ Καλλίας εἶπε, σὺ δὲ δή, ὦ Κριτόβουλε, εἰς τὸν περὶ τοῦ κάλλους ἀγῶνα πρὸς Σωκράτην οὐκ ἀνθίστασαι; Νὴ Δί'; ἔφη ὁ Σωκράτης. Ἴσως γὰρ εὐδοκιμοῦντα τὸν μαστροπὸν 2 παρὰ τοῖς κριταῖς ὁρᾷ. Ἀλλ' ὅμως, ἔφη ὁ Κριτόβουλος, οὐκ ἀναδύομαι· ἀλλὰ δίδασκε, εἴτι ἔχεις σοφὸν, ὡς καλλίων εἴ ἐμοῦ. Μόνον, ἔφη, τὸν λαμπτῆρα ἐγγὺς προσενεγκάτω. Εἰς ἀνάκρισιν τοίνυν σε, ἔφη, πρῶτον τῆς δίκης καλοῦμαι· ἀλλ'

64. μὲν οὖν] Ex Juntina μὲν revocavit Zeune. Sequens αὐτῷ Leonclavius in αὐτοῖς mutari jussit; quod feci; vulgatum defendit Weiske ratione non satis apta ad hunc locum.

φίλοις καὶ συμμάχοις] Bachii conjectura φίλους καὶ συμμάχους scribentis sententiam ipsam pervertit et orationem solœcam facit.

Σὺ δέ μοι] Edd. vett. μοι omittunt. Deinde Ἐὰν μὲν edidit Weiske, nescio quo auctore.

ὡς κακῶς ἀκούσας] *Tanquam infamia a me aspersus.* Sic recte Weiske; male enim interpretatur Zeune.

Cap. V. 2. προσενεγκάτω] Intellige τις, ut sæpissime in ejusmodi imperativis.

ἀνάκρισιν] Quid sit in jure Attico, interpretatur Harpocratio et cum eo Suidas: interrogatio judicis, quæstio judicialis, reorumque interrogatio, quæ in causis judicii constitutionem præcedit, et litis contestatio. Hinc sæpe metaphorice utuntur Attici scriptores. Ceterum rectius hæc ipsa verba Socrati tribuit Weiske, ut et illa superiora μόνον, ἔφη, et cet. quam Zeune, qui verba postrema hæc Critobulo, sequentia vero ἀλλ' ἀποκρίνου ineptissime Critobulo assignat. Quod vero nihil Weiskio in mentem venit, quod cum specie veri proferri posse putaret, cur Socrates lucernam propius admoveri jubeat, miror. Ad partes enim singulas oris et faciei percensendas, comparandas et judicandas luce clariore opus esse censebat in faceto judicio. Hinc lucernæ lumen propius admovetur. Deinde lucerna admovetur

ἀποκρίνου. Σὺ δέ γε ἐρώτα. Πότερον οὖν ἐν ἀνθρώπῳ μόνον 3
νομίζεις τὸ καλὸν εἶναι, ἢ καὶ ἐν ἄλλῳ τινί; Ἐγὼ μὲν ναὶ μὰ
Δί', ἔφη, καὶ ἐν ἵππῳ, καὶ βοῒ καὶ ἐν ἀψύχοις πολλοῖς.
Οἶδα γοῦν οὖσαν καὶ ἀσπίδα καλὴν, καὶ ξίφος, καὶ δόρυ.
Καὶ πῶς, ἔφη, οἷόν τε ταῦτα μηδὲν ὅμοια ὄντα ἀλλήλοις; 4
πάντα καλὰ εἶναι; Ἢν νὴ Δί', ἔφη, πρὸς τὰ ἔργα, ὧν ἕνεκα
ἕκαστα κτώμεθα, εὖ εἰργασμένα ᾖ, ἢ εὖ πεφυκότα, πρὸς ἃ ἂν
δεώμεθα, καὶ ταῦτ', ἔφη ὁ Κριτόβουλος, καλά. Οἶσθα οὖν, 5
ἔφη, ὀφθαλμῶν τίνος ἕνεκα δεόμεθα; Δῆλον, ἔφη, ὅτι τοῦ ὁρᾷν.
Οὕτω μὲν τοίνυν ἤδη οἱ ἐμοὶ ὀφθαλμοὶ καλλίονες ἂν τῶν σῶν
εἴησαν. Πῶς δή; Ὅτι οἱ μὲν σοὶ τὸ κατευθὺ μόνον ὁρῶσιν, οἱ
δὲ ἐμοὶ καὶ τὸ ἐκ πλαγίου, διὰ τὸ ἐπιπόλαιοι εἶναι. Λέγεις
σὺ, ἔφη, καρκίνον εὐοφθαλμότατον εἶναι τῶν ζώων; Πάντως
δήπου, ἔφη· ἐπεὶ καὶ πρὸς ἰσχὺν τοὺς ὀφθαλμοὺς ἄριστα πε-
φυκότας ἔχει. Εἶεν, ἔφη. Τῶν δὲ ῥινῶν ποτέρα καλλίων, ἡ 6
σὴ ἢ ἡ ἐμή; Ἐγὼ μὲν, ἔφη, οἶμαι τὴν ἐμὴν, εἴπερ γε τοῦ
ὀσφραίνεσθαι ἕνεκεν ἐποίησαν ἡμῖν ῥῖνας οἱ θεοί. Οἱ μὲν γὰρ
σοὶ μυκτῆρες εἰς γῆν ὁρῶσιν, οἱ δὲ ἐμοὶ ἀναπέπτανται, ὥστε
τὰς πάντοθεν ὀσμὰς προσδέχεσθαι. Τὸ δὲ δὴ σιμὸν τῆς ῥινὸς πῶς
τοῦ ὀρθοῦ κάλλιον; Ὅτι, ἔφη, οὐκ ἀντιφράττει, ἀλλ' εὐθὺς ἐᾷ
τὰς ὄψεις ὁρᾷν, ἃ ἂν βούλωνται· ἡ δὲ ὑψηλὴ ῥὶς, ὥσπερ ἐπη-
ρεάζουσα, διατετείχικε τὰ ὄμματα. Τοῦ γε μὴν στόματος, 7
ἔφη ὁ Κριτόβουλος, ὑφίεμαι. Εἰ γὰρ τοῦ ἀποδάκνειν ἕνεκα
πεποίηται, πολὺ ἂν σὺ μεῖζον ἢ ἐγὼ ἀποδάκοις. Διὰ δὲ τὸ
παχέα ἔχειν τὰ χείλη, οὐκ οἴει καὶ μαλακώτερόν σου ἔχειν τὸ
φίλημα; Ἔοικα, ἔφη, ἐγὼ κατὰ τὸν σὸν λόγον καὶ τῶν ὄνων
αἴσχιον τὸ στόμα ἔχειν. Ἐκεῖνο δὲ οὐδὲν τεκμήριον λογίζῃ, ὡς

ad Critobulum sect. 9. ὡς μὴ ἐξαπατηθείησαν οἱ κριταί. ubi male Weiske caveri putat ita, ne quid ad judices corrumpendos moliatur adversarius. Sed ἐξαπατᾷν non est *corrumpere*.

4. πρὸς τὰ ἔργα] Eandem sententiam proposuit noster in Memorabil. iii. 8, 5. et ex h. l. repetiit Galenus de Usu partium corporis humani iii. p. 370. ed. Basil.

5. οἱ ἐμοὶ] Articulum omisit Leonclaviana, Welsiana, Bachiana, Weiskiana.

καὶ πρὸς ἰσχὺν] Duros enim habet oculos, ut pleraque omnia insecta vel anulata animalia. In interpretando hoc loco falsus est Zeune et Weiske.

6. Εἶεν, ἔφη] Hæc in Juntina desunt.

7. καὶ τῶν ὄνων] Asinorum enim labra crassa sunt a natura facta. Zeunii annotatio ad h. l. est ridicula.

ἐγὼ σοῦ καλλίων εἰμὶ, ὅτι καὶ Ναΐδες θεαὶ οὖσαι τοὺς Σειλη-
8 νοὺς ἐμοὶ ὁμοιοτέρους τίκτουσιν, ἢ σοί; Καὶ ὁ Κριτόβουλος, οὐκέτι, ἔφη, ἔχω πρός σε ἀντιλέγειν. Ἀλλὰ διαφερόντων, ἔφη, τὰς ψήφους, ἵνα ὡς τάχιστα εἰδῶ, ὅ τι με χρὴ παθεῖν ἢ ἀποτίσαι.. Μόνον, ἔφη, κρυφῇ φερόντων. Δέδοικα γάρ τὸν σὸν
9 καὶ Ἀντισθένους πλοῦτον, μή με καταδυναστεύσῃ. Ἡ μὲν δὴ παῖς καὶ ὁ παῖς κρύφα ἀνέφερον. Ὁ δὲ Σωκράτης ἐν τούτῳ διέπραττε, τόν τε λύχνον ἀντιπροσενεγκεῖν τῷ Κριτοβούλῳ, ὡς μὴ ἐξαπατηθείησαν οἱ κριταὶ, καὶ τῷ νικήσαντι μὴ ταινίας, ἀλλὰ φιλήματα, ἀναθήματα παρὰ τῶν κριτῶν γενέσθαι.
10 Ἐπεὶ δὲ ἐξέπεσον αἱ ψῆφοὶ, καὶ ἐγένοντο πᾶσαι σὺν Κριτοβούλῳ, Παπαὶ, ἔφη ὁ Σωκράτης, οὐχ ὅμοιον ἔοικε τὸ σὸν ἀργύριον, ὦ Κριτόβουλε, τῷ Καλλίου εἶναι. Τὸ μὲν γὰρ τούτου δικαιοτέρους ποιεῖ, τὸ δὲ σὸν, ὥσπερ τὸ πλεῖστον, διαφθείρειν ἱκανόν ἐστι καὶ δικαστὰς καὶ κριτάς.

Ναΐδες] Ovidius Pont. iv. 16, 35. *Naïdas a Satyris caneret Fontanus amatas.*

8. διαφερόντων] i. e. διαφερέτωσαν. Sic διαφρυκτοῦν dicebant Attici pro φέρειν ψῆφον.

παθεῖν ἢ ἀποτίσαι] Formula solennis judiciorum Atticorum, ubi accusator semper accusationi addebat æstimationem pœnæ a reo vel corpore vel pecunia luendæ.

κρυφῇ] Contrarium est φανερὰν τὴν ψῆφον φέρειν apud Atticos scriptores. Lysias: τὴν δὲ ψῆφον οὐκ εἰς καδίσκους, ἀλλὰ φανερὰν ἐπὶ τὰς τραπέζας ταύτας ἔδει τιθέναι.

πλοῦτον] Ironice ita vocat, quem Antisthenes a Socrate accepisse se gloriatus est supra cap. iv. sect. 43.

9. ἀνέφερον] *Singulorum calculos collectos in urnam condebant.* Ita Weiske ad h. l. Quæ interpretatio falsa est. Quid enim ita opus erat κρύφα addere? κριταὶ sunt puer cum puella, hi soli suffragia ferunt, nec singulorum calculos convivarum colligunt. Ceterum verbum ἀναφέρειν mihi dubitationem aliquam attulit. φέρειν enim, ἐπιφέρειν et διαφέρειν τὴν ψῆφον, memini frequentari de suffragiis ferendis; postremo quidem utitur præter Euripidem etiam Isocrates: ἀναδιδόναι τὴν ψῆφον est *in suffragium mittere*, vel *dare suffragii potestatem.* Quid sit ἀναφέρειν, equidem non assequor conjectura. Plutarchus in comparatione Numæ cum Theseo cap. iv. ἀποδιδόναι τινὶ τὰς ψήφους dixit pro *judicare secundum aliquem.* Verum hic nec ἀποφέρειν nec ἀναφέρειν eo sensu locum habet. Quid? quod judices suffragia ferunt (siquidem ἀναφέρειν est pro simplice φέρειν) ante causam rite cognitam. Nam Socrates lucernam ad Critobulum ἐν τούτῳ i. e. interea jubet transferri, ne judices in facie minus illustrata et obscura judicanda fallantur.

διεπράττετο est ex emendatione Schæferi, quod priore hujus libri editione me fugit annotare. Libri habent διέπραττε. DIND.

ἀντιπροσενεγκεῖν] Vide dicta ad sect. 2. De tæniis victoribus præmii loco datis vide ad Histor. Gr. v. 1, 3. Weiskium.

CAP. VI.

ΕΚ δὲ τούτου οἱ μὲν τὰ νικητήρια, φιλήματα, ἀπολαμβά- 1
νειν τὸν Κριτόβουλον ἐκέλευον, οἱ δὲ τὸν κύριον πείθειν, οἱ δὲ καὶ
ἄλλα ἔσκωπτον. Ὁ δὲ Ἑρμογένης κἀνταῦθα ἐσιώπα. Καὶ
ὁ Σωκράτης ὀνομάσας αὐτὸν, ἔχοις ἂν, ὦ Ἑρμόγενες, εἰπεῖν
ἡμῖν, τί ἐστι παροινία; Καὶ ὃς ἀπεκρίνατο, εἰ μὲν, ὅ τι ἐστὶν,
ἐρωτᾷς, οὐκ οἶδα· τὸ μέντοι μοι δοκοῦν, εἴποιμ' ἄν. Ἀλλὰ 2
δοκεῖ τοῦτ', ἔφη. Τὸ τοίνυν παρ' οἶνον λυπεῖν τοὺς συνόντας,
τοῦτ' ἐγὼ κρίνω παροινίαν. Οἶσθ' οὖν, ἔφη, ὅτι καὶ σὺ νῦν
ἡμᾶς λυπεῖς σιωπῶν; Ἦ καὶ ὅταν λέγητε; ἔφη. Οὐκ· ἀλλ'
ὅταν διαλίπωμεν. Ἦ οὖν λέληθέ σε, ὅτι, μεταξὺ τοῦ ὑμᾶς
λέγειν, οὐδ' ἂν τρίχα, μὴ ὅτι λόγον, ἄν τις παρείρειε; Καὶ ὁ 3
Σωκράτης, ὦ Καλλία, ἔχοις ἄν τι, ἔφη, ἀνδρὶ ἐλεγχομένῳ
βοηθῆσαι; Ἔγωγ', ἔφη. Ὅταν γὰρ ὁ αὐλὸς φθέγγηται,
παντάπασι σιωπῶμεν. Καὶ ὁ Ἑρμογένης, ἦ οὖν βούλεσθε,
ἔφη, ὥσπερ Νικόστρατος ὁ ὑποκριτὴς τετράμετρα πρὸς τὸν

Cap. VI. 1. φιλήματα] Vocabulum tanquam ex interpretatione ortum Heindorfio meo est suspectum.

τὸν κύριον] *Dominum pueri puellæque Syracusium*, recte admonente Zeunio; fuerunt enim qui Critobulum intelligerent.

τὸ μέντοι] Sic lectionem edd. vett. ὃ μέντοι correxit cum Castal. Stephanus; at statim quod sequitur, eum Heindorfio corrigendum ita censeo: Ἀλλ' ὃ δοκεῖ, τοῦτ', ἔφη.

2. Οὐκ· ἀλλ' ὅταν] Sic cum Stephano et Leoncl. Weiske. Vulgatum οὐ comparato loco cap. ix. sect. 3. defendebat Zeune: ὑπήντησε μὲν οὐ, οὐδὲ ἀνέστη.

ὑμᾶς λέγειν] Male edd. vett. ἡμᾶς. Hermogenes arguit loquacitatem convivarum. Itaque Socrates dicto eo se pungi sentiens ἐλεγχομένῳ sibi succurrere jubet Calliam.

3. Νικόστρατος ὁ ὑποκριτὴς] Suidas sub hoc nomine ita: οὗτος κωμῳδίας ἦν ὑποκριτὴς δοκῶν κάλλιστα ὑποκρίνεσθαι. quæ repetit sub verbis ἐγὼ πάντα ποιήσω κατὰ Νικόστρατον. Mortuum jam tum arguit verbum κατέλεγειν.

τετράμετρα—κατέλεγεν] Interpretes, quotquot inspexi, tacent. Locus tamen est insignis de dramatum Græcorum declamatione vel decantatione. Ciceronis est locus in Tusculanis Quæst. i. 44. ubi recitat e Tragœdia non nominata versus septenarios, id est, tetrametra, hos, uti eos constituit Bentley:

Neu reliquias sic meas siris, denudatis ossibus,
tetra sanie delibutas fœde divexarier.

Addit postea: *non intelligo, quid metuat, cum tam bonos septenarios fundat ad tibiam.* Habes igitur tetrametra ad tibiam pronunciata, nec decantata. Ex chorico carmine locum esse decerptum licet arguere ex Horatiano in Arte loco versu 202. *tibia adspirare et adesse*

αὐλὸν κατέλεγεν, οὕτω καὶ ὑπὸ τὸν αὐλὸν ὑμῖν διαλέγωμαι;

choris erat utilis. Partem aliquam choricorum carminum ad tibiam fuisse recitatam in tragœdiis tradit Plutarchus de Musica, ubi ait, Archilochi esse inventum τῶν Ἰάμβων τὰ μὲν λέγεσθαι παρὰ τὴν κροῦσιν (ad sonum instrumenti plectro pulsati), τὰ δ' ᾄδεσθαι· εἶθ' οὕτω χρήσασθαι τοὺς τραγικοὺς ποιητάς. Hoc idem Plutarchus ibidem videtur παρακαταλογὴν dicere: et Hesychius, cui καταλογὴ est τὸ ᾄσματα μὴ ὑπὸ μέλει λέγειν, idem tradere videtur, etsi aliter visum est Gallo *Burette.* Iambos id est trimetros versus, non omnes, sed aliquot, ad tibiam recitatos, alios cantatos fuisse monet Plutarchus; quod idem colligitur ex loco Luciani de Saltatione p. 285. tom. ii. ubi tragicus actor dicitur ἐνίοτε καὶ περιᾴδων τὰ ἰαμβεῖα καὶ μελῳδῶν τὰς συμφοράς. Quæri potest, qui trimetri et qui tetrametri versus in tragœdia fuerint cantati, qui contra ad tibiam recitati; deinde dubitari etiam potest, an alii etiam versus ad tibiam fuerint recitati? Qui postremus de hac re disputavit Gallus Barthélémy in Annotationibus subjectis Itineri Anacharsidis (tom. ii. p. 436. edit. Bipontinæ) dubitabundus ita statuit: *Il m'a paru que la déclamation (accompagnée de la voix d'un instrument, qui n'étoit destiné qu'à la soutenir de temps en temps) avoit lieu toutes les fois, que les interlocuteurs, en suivant le fil de l'action sans l'intervention du chœur, s'exprimoient en une longue suite d'iambes, à la tête desquels les scholiastes ont écrit ce mot:* Ἴαμβοι. *Je croirois volontiers que tous les autres vers étoient chantés; mais je ne l'assure point.* Quodsi tibia ad carmina chorica adhibita tantum fuit, auctore Horatio, accuratius est quærendum de iis partibus chori, quæ cantu solo peractæ, et quæ ad tibiam recitari solitæ sint. Locus est Aristotelis in Poetica cap. xii. στάσιμον δὲ μέλος χοροῦ τὸ ἄνευ ἀναπαίστου καὶ τροχαίου, qui versus anapæsticos et trochæos a parte chori excludit ea, quæ στάσιμος dicebatur, et quidem eam ob causam, quod, ut docuit G. Hermannus ad Arist. p. 142. a toto choro perpetuo, nullis interpositis anapæstis aut trochæis iambisve, ad finem perducebatur. Usus igitur tibiæ in hac chorici carminis parte locum non habuit; sequitur, ut in altera habuerit, quam Aristoteles πάροδον dicit, ubi solus coryphæus interdum ab initio loquitur. Accedebant in tragœdiis quibusdam κόμμοι, in quibus locum habere usus tibiæ potuit. Est vero κόμμος lamentatio communis chori et actorum, θρῆνος κοινὸς χοροῦ καὶ ἀπὸ σκηνῆς, ut ait Aristoteles. Hæc quidem ex locis scriptorum supra positis colligi possunt; præterea vero G. Hermannus in docta annotatione ad locum Aristotelis exempla posuit ex tragœdiis Æschyli, Sophoclis et Euripidis, ubi versus, qui cantati et qui ad tibiam recitati fuerint ex choricis, non solum metro, sed etiam argumento et dialecto Dorica agnosci, atque omnino versus anapæsticos et dactylicos tetrametros vel hexametros nunquam cantatos fuisse censuit. Iambos vero eos, qui more antistrophicorum carminum inter personas colloquentes distributi sunt, omnes ad tibiam recitatos fuisse putat. De trochæis tetrametris catalecticis, qui usitati erant in tragœdiis, testatur locus Xenophontis (cujus non erat recordatus Hermannus) eos fuisse ad tibiam recitatos. Eosdem cum trimetris comprehendi communi trochæorum nomine ab Aristotele, admonuit

Καὶ ὁ Σωκράτης, πρὸς τῶν θεῶν, ἔφη, Ἑρμόγενες, οὕτω ποίει. 4
Οἶμαι γὰρ, ὥσπερ ἡ ᾠδὴ ἥδιον πρὸς τὸν αὐλὸν, οὕτω καὶ τοὺς
σοὺς λόγους ἡδύνεσθαι ἄν τι ὑπὸ τῶν φθόγγων· ἄλλως τε καὶ
εἰ μορφάζοις, ὥσπερ ἡ αὐλητρὶς, καὶ σὺ πρὸς τὰ λεγόμενα.
Καὶ ὁ Καλλίας ἔφη, ὅταν οὖν Ἀντισθένης ὅδ' ἐλέγχῃ τινὰ ἐν 5
τῷ συμποσίῳ, τί ἔσται τὸ αὔλημα; καὶ ὁ Ἀντισθένης εἶπε,
τῷ μὲν ἐλεγχομένῳ οἶμαι ἄν, ἔφη, πρέπειν συριγμόν.
Τοιούτων δὲ λόγων ὄντων, ὡς ἑώρα ὁ Συρακόσιος τῶν μὲν 6
αὐτοῦ ἐπιδειγμάτων ἀμελοῦντας, ἀλλήλοις δὲ ἡδομένους,
φθονῶν τῷ Σωκράτει εἶπεν, Ἆρα σὺ, ὦ Σώκρατες, ὁ φροντιστὴς
ἐπικαλούμενος; Οὐκοῦν κάλλιον, ἔφη, ἢ εἰ ἀφρόντιστος ἐκα-
λούμην. Εἰ μή γε ἐδόκεις τῶν μετεώρων φροντιστὴς εἶναι.

Hermannus; igitur a parte chori στασίμῳ exclusi fuerunt trochaici versus tetrametri et trimetri. Dimetros vero interdum admistos carmini antistrophico agnoscit et defendit ibi cum Tyrwhitto Hermannus.

ὑπὸ τὸν αὐλὸν] Idem quod antea erat πρὸς τὸν αὐλόν. Alibi est ὑπ' αὐλῷ, ὑπ' αὐλοῦ, ὑπ' αὐλητῆρι, ut ὑπὸ φορμίγγων in Hesiodeo Scuto versu 280. Accusativus hoc loco videtur Weiskio quasi motum ad locum indicare, ut tam importunus sermo eo magis absurdus videatur; uti nos dicimus: *in die Musik hinein.* Quæ quidem vir doctus non scripsisset, puto, si meminisset eorum, quæ in animadversione antecedente annotavimus.

4. μορφάζοις] Hesychio μορφάζειν est νεύειν, Polluci iv. 103, μορφασμὸς est inter genera saltationis.

ἡ αὐλητρὶς] De h. l. ita G. Hermannus ad Aristotelem de Poetica c. xxvii. sect. 3. ubi αὐλητὰς de saltatoribus interpretatur: "Non tibicinam, sed saltatricem intelligit: hæc enim, ut cap. ii. sect. 1. refert, cum tibicina advenerat, et, dum tibicina caneret, gestum faciebat. Potuit autem hoc magis tibicina pro saltatrice nominari, quod istius conditionis puellas utrique rei operam dedisse verisimile est. Hinc apud Romanorum comicos eas non saltatrices, sed fidicinas, tibicinas, psaltrias, vocari animadvertimus, quas Græci non solum αὐλητρίδας, sed etiam ὀρχηστρίδας appellant." Aptus ad hanc rem firmandam Macrobii locus est in ii. Saturn. 1. *quia sub illorum*, inquit, *supercilio non defuit, qui psaltriam intromitti peteret, ut puella ex industria supra naturam mollior, canora dulcedine et saltationis lubrico exerceret illecebris philosophantes.*

5. Ἀντισθένης ὅδ'] Edd. vett. addunt articulum ante nomen philosophi.

συριγμόν] Ludit in vocabuli ambiguitate, quod et certum tibiæ modum et exsibilationem veluti mali actoris in theatro significat. Pythici nomi, quem cantabat πυθαύλης, pars fuit συριγμὸς, qui sibilum draconis Pythonis ab Apolline occisi imitabatur, teste Polluce Onom. iv. 79. et 81.

6. μετεώρων φροντιστὴς] Fuit hoc opprobrium Socrati cum pluribus philosophis commune, ut docuit Ruhnkenius ad Memorabil. p. 220. μετεωροσοφιστὴν vocat Aristophanes in Nub. 359. sed id etiam vocabu-

7 Οἶσθα οὖν, ἔφη ὁ Σωκράτης, μετεωρότερόν τι τῶν θεῶν; Ἀλλ' οὐ μὰ Δί', ἔφη, οὐ ταῦτά σε λέγουσιν ἐπιμελεῖσθαι, ἀλλὰ τῶν ἀνωφελεστάτων. Οὐκοῦν καὶ οὕτως ἄν, ἔφη, θεῶν ἐπιμελοίμην. Ἄνωθεν μέν γε ὄντες ὠφελοῦσιν, ἄνωθεν δὲ φῶς παρέχουσιν. Εἰ δὲ ψυχρὰ λέγω, σὺ αἴτιος, ἔφη, πράγματά

lum cum reliquis philosophis communicat.

7. Ἄνωθεν μέν γε] Castalio γὰρ dedit pro γε. Sed vide cap. i. 9.

Οὐκοῦν καὶ οὕτως ἄν, ἔφη, θεῶν ἐπιμελοίμην. ἄνωθεν μέν γε ὕοντες ὠφελοῦσιν, ἄνωθεν δὲ φῶς παρέχουσιν.] Quum in libris esset ὄντες, ego autem ὕοντες reposuissem, sic existimabam, neminem fore quin suam Xenophonti manum ab me agnosceret restitutam. Miratus sum igitur id secus visum esse Schæfero in Annotationibus ad Demosthenem vol. i. p. 886. Quo ille loco tantum abest ut veram hanc credat emendationem, ut nec necessariam, quin ne tolerabilem quidem censeat. Ac de illo quidem videbimus postquam allata ab Schæfero ad refellendum ὕοντες argumenta expenderimus. Negat igitur ὕοντες posse verum esse, quum quia recepto hoc concinnitas παρέχοντες flagitet pro παρέχουσι, tum quia Juppiter duntaxat unus, non dii omnes pluviam mittant cœlitus. Hæc cum aliqua saltem specie objici nobis posse etsi per nos dudum observaveramus, tamen perversitatem vulgatæ emendationisque necessitatem hanc illorum, si qua esset, vim argumentorum confidebamus hebetaturum. Jam autem nego vim istam esse ullam. Concinnitas enim illa quam expetit Schæferus ut in oratione ad gravitatem animorumve commotionem composita locum habet, ita in hoc sermonis genere tenui sine vitio vitabitur magis quam quæretur. In ὕοντες vero plurali sane admirandum est offendisse Schæferum, qui sciat innumerabilibus in locis quæ ad unum pertinent ubi generatim dicuntur ita non ut quis faciat sed an faciat aliquis quæratur, plurali numero poni, quantumvis unus faciat. Quod si pro istis vir præclarus id quod videri ait sibi, sanam esse vulgatam, argumentis demonstrasset, sic etiam emendatio concideret nostra: nunc autem etiamsi certissimum sit falsum esse ὕοντες, incertissimum est illud an sanum sit ὄντες. At demonstrari istud nequit. Esto enim ut ἄνωθεν ὄντες ὠφελοῦσιν recte dictum sit pro ἄνω ὄντες ἄνωθεν ὠφελοῦσιν, quæ ita erit loci sententia? Nempe hæc: desuper dii tum prosunt hominibus tum lucem præbent. Atqui primo falsum est desuper tantum prodesse deos hominibus, quos eodem jure dixeris subtus eos juvare frugibus, aquis, aliisque rebus e terra emittendis. Deinde hæc sententia sic est verbis expressa ut lucis usura tanquam contrarium quid benevolentiæ deûm erga humanum genus ponatur, quod quidem perversum est. Ea enim pars est illius et documentum, quam rationi advertetur non modo tanquam diversam ab ea sed etiam contrariam commemorari. Denique quis credat Socratem etymologiam suam ἀνωφελής vocabuli demonstraturum earum rerum quas duas dii solas desuper et impertiunt hominibus et aliunde impertire nequeunt recordatum unius, alterius oblitum, neque utraque in rem suam usum? Eæ vero sunt lux et pluvia. DIND.

ψυχρὰ] Agnoscit ipse Xenophon et excusat argumentum ex perversa

μοι παρέχων. Ταῦτα μὲν, ἔφη, ἔα· ἀλλ' εἰπέ μοι, πόσους 8
ψύλλα πόδας ἐμοῦ ἀπέχει. Ταῦτα γάρ σε φασὶ γεωμετρεῖν.
Καὶ ὁ Ἀντισθένης εἶπε, σύ μέν τοι δεινὸς εἶ, ὦ Φίλιππε, εἰ-
κάζειν. Οὐ δοκεῖ σοι ὁ ἀνὴρ οὗτος λοιδορεῖσθαι βουλομένῳ
ἐοικέναι; Ναὶ μὰ τὸν Δί', ἔφη, καὶ ἄλλοις γε πολλοῖς.
Ἀλλ' ὅμως, ἔφη ὁ Σωκράτης, σὺ αὐτὸν μὴ εἴκαζε, ἵνα μὴ καὶ 9
σὺ λοιδορουμένῳ ἐοίκῃς. Ἀλλ' εἴπερ γέ τοι τοῖς πᾶσι καλοῖς

vocabuli ἀνωφελὴς etymologia ductum, quasi sit ex ἄνω et ὠφελέω compositum.

8. πόδας ἐμοῦ ἀπέχει] Sumtum hoc ex Aristophanis Nub. versu 146. ὁπόσους ἅλλοιτο τοὺς αὑτῆς πόδας cum Bachio et Zeunio ait Weiske. At interpretari verba ipsa, quid significent in Xenophontis loco, (nam Aristophanea ut sunt facilia intellectu, ita plane diversam offerunt sententiam) omiserunt viri docti. Unus, quem equidem noverim, Germanicus interpres, Wieland, adhæsit in verbo ἀπέχει, cui ex eodem Comici poetæ loco ἅλλεται vel ἀναπηδᾷ voluit substitui. At enim vero ἐμαυτοῦ ita fit ineptum; idque erat mutandum in ἑαυτῆς. De lectione vulgari dubitavit etiam Lange. Libros equidem meliores expectandos censeo.

εἰκάζειν] Philippus γελωτοποιὸς imitando homines ridiculos faciebat. Hesychius εἰκάζειν interpretatur σκώπτειν. Diodorus Siculus xx. 63. σκώπτειν τοὺς καθημένους καί τινας αὐτῶν εἰκάζειν. Hesychius et Suidas ex Eupolidis Δραπέταις posuerunt ἀνεικάζεσθαι pro ἀνασκῶψαι. Noti sunt Laconici δεικελισταὶ, iidem qui mimi, actores comici et scurræ.

9. εἴπερ γέ τοι τοῖς πᾶσι καλοῖς] Edd. aliquas τοι omisisse annotat Zeune; mihi totus hic locus suspectus est de vitio. Si Philippus omnes καλοὺς dicere voluit, Græce id erat πᾶσι τοῖς καλοῖς; deinde modo simplici καλοῖς cur superlativus καὶ τοῖς βελτίστοις adjungitur? Attamen in sequentibus est: εἰ πάντ' αὐτοῦ βελτίω φῂς εἶναι· quæ Ribitti interpretatur: *si omnia, quæ in eo sunt, optima esse dicas:* contra cum Bachio Zeune: *si omnia ipsius meliora esse dicis.* Ante Zeunium legebatur βελτίων. Leonclavius malebat: πάντ' αὐτὸν βελτίονα, *si eum præstare dicis in omnibus.* Contra Weiske orationem postulare ait βέλτιστα, quam ipsam lectionem reddidit Ribitti. Scilicet Leonclavius pro egregia sermonis Græci peritia, quæ in eo fuit, vidit verba πάντ' αὐτοῦ βελτίω εἶναι Græce non significare id, quod voluit etiam Weiske, *omnia ejus,* sive *omnia quæ in eo sunt:* sed ita debebat esse πάντα τὰ αὐτοῦ. Igitur non inepte conjecit Leonclavius πάντ' αὐτὸν βελτίονα. Weiske putabat βελτίω, si servetur, posse etiam verti *meliora quam vere sunt.* Manet tamen vel sic difficultas eadem in verbis πάντ' αὐτοῦ βελτίω εἶναι, quæ significant: *omnem* (vel *omnia*) *eo esse meliorem* (sive *meliora*). Quid si τοῖς πᾶσι similis aliquis dicitur, ut interdum τῷ παντὶ dicitur res aliqua diversa esse ab alia, et homo ab homine? Tum vero structura verborum hæc erit, εἴπερ γέ τοι εἰκάζω αὐτὸν τοῖς πᾶσι (in omnibus, in universum similem esse dicam hominibus non solum καλοῖς καὶ ἀγαθοῖς dictis) καλοῖς, (sed adeo etiam optimis) καὶ τοῖς βελτίστοις. Volui saltem doctiores advertere ad rationem meliorem loci explicandi inquirendam.

καὶ τοῖς βελτίστοις εἰκάζω αὐτὸν, ἐπαινοῦντι μᾶλλον, ἢ λοιδορουμένῳ δικαίως ἂν εἰκάζοι μέ τις. Καὶ νῦν σύ γε λοιδορουμένῳ ἔοικας, εἰ πάντ' αὐτοῦ βελτίω φῂς εἶναι. Ἀλλὰ βούλει πονηροτέροις εἰκάζω αὐτόν; Μηδὲ πονηροτέροις. Ἀλλὰ μηδενί; Μηδενὶ μηδὲ τούτων εἴκαζε. Ἀλλ' οὐ μέντοι γε σιωπῶν οἶδα, ὅπως ἄξια τοῦ δείπνου ἐργάσομαι. Καὶ ῥαδίως γ', ἂν, ἃ μὴ δεῖ λέγειν, ἔφη, σιωπᾷς. Αὕτη μὲν δὴ ἡ παροινία οὕτω κατεσβέσθη. Ἐκ τούτου δὲ τῶν ἄλλων οἱ μὲν ἐκέλευον εἰκάζειν, οἱ δὲ ἐκώλυον.

CAP. VII.

1 ΘΟΡΥΒΟΥ δὲ ὄντος ὁ Σωκράτης αὖ πάλιν εἶπεν, ἆρα, ἐπειδὴ πάντες ἐπιθυμοῦμεν λέγειν, νῦν ἂν μάλιστα καὶ ἅμα
2 ᾄσαιμεν; καὶ εὐθὺς τοῦτ' εἰπὼν ἦρχεν ᾠδῆς. Ἐπεὶ δ' ᾖσεν, εἰσεφέρετο τῇ ὀρχηστρίδι τροχὸς τῶν κεραμεικῶν, ἐφ' οὗ ἔμελλε θαυμασιουργήσειν. Ἔνθα δὴ εἶπεν ὁ Σωκράτης, ὦ Συρακόσιε, κινδυνεύσω ἐγὼ, ὥσπερ σὺ λέγεις, τῷ ὄντι φροντιστὴς εἶναι· νῦν οὖν σκοπῶ, ὅπως ἂν ὁ μὲν παῖς ὅδε ὁ σὸς καὶ ἡ παῖς ἥδε ὡς ῥᾷστα διάγοιεν, ἡμεῖς δ' ἂν μάλιστα εὐφραινοίμεθα θεώ-
3 μενοι αὐτούς· ὅπερ εὖ οἶδα, ὅτι καὶ σὺ βούλει. Δοκεῖ οὖν μοι τὸ μὲν εἰς μαχαίρας κυβιστᾷν κινδύνου ἐπίδειγμα εἶναι, ὃ συμποσίῳ οὐδὲν προσήκει. Καὶ μὴν τό γε ἐπὶ τοῦ τροχοῦ ἅμα περιδινουμένου γράφειν τε καὶ ἀναγιγνώσκειν, θαῦμα μὲν ἴσως τι ἐστὶν, ἡδονὴν δὲ οὐδὲ ταῦτα δύναμαι γνῶναι τίν' ἂν παράσχοι. Οὐδὲ μὴν τόγε διαστρέφοντας τὰ σώματα καὶ

10. *μηδενὶ μηδὲ τούτων*] Si repetatur *τῶν πονηροτέρων*, frustra id fieri censet Weiske. Igitur scribendum censet *μηδενὶ μηδὲν τούτων*, i. e. *κατὰ μηδέν*: *cum nullo hunc hominem ulla ex parte compara.* Rationes viri docti equidem non intelligo.

ῥᾳδίως γ', ἂν, ἃ] Comma post *γε* posui, quod vulgo omissum est, quasi *ῥᾳδίως γ' ἂν σιωπᾷς* jungi debeant, quod fieri non debet.

2. *τῶν κεραμεικῶν*] Forma usitata de loco publico Athenarum, insolens de vasis, quæ *κεράμια, κεράμεια* et *κεραμικὰ* dicuntur fictilia.

θαυμασιουργήσειν] Stephanus in Thesauro Gr. tom. iii. p. 1515. annotavit, legi etiam h. l. alicubi scriptum forma usitatiore *θαυματουργήσειν*.

νῦν οὖν σκοπῶ] Reposui quod lingua flagitabat reponi *γοῦν*. DIND.

ἡμεῖς δ' ἂν μάλιστα] Margo Stephan. *ὡς μάλιστ' εὐφ.* annotavit. Paulo antea *ἡ παῖς ἤδεν* est in margine Villois.

3. *τό γε ἐπὶ*] Stephani conjecturam recte viri docti substituerunt vulgato *τε*; non item spreverunt ejusdem doctissimi viri emendationem *τίν' ἂν παράσχοι*, ubi erat vulgo *τί ἂν παρ.*

τροχοὺς μιμουμένους ἥδιον ἢ ἡσυχίαν ἔχοντας τοὺς καλοὺς καὶ
ὡραίους θεωρεῖν. Καὶ γὰρ δὴ οὐδὲ πάνυ τι σπάνιόν τό γε θαυ- 4
μασίοις ἐντυχεῖν, εἴτις τούτου δεῖται. Ἀλλ' ἔξεστιν αὐτίκα
μάλα τὰ παρόντα θαυμάζειν, τί ποτε ὁ μὲν λύχνος, διὰ τὸ
λαμπρὰν φλόγα ἔχειν, φῶς παρέχει· τὸ δὲ χαλκεῖον λαμ-
πρὸν ὄν, φῶς μὲν οὐ ποιεῖ, ἐν αὐτῷ δὲ ἄλλα ἐμφαινόμενα παρ-
έχεται· καὶ πῶς τὸ μὲν ἔλαιον, ὑγρὸν ὄν, αὔξει τὴν φλόγα·
τὸ δὲ ὕδωρ, ὅτι ὑγρόν ἐστι, κατασβέννυσι τὸ πῦρ. Ἀλλὰ γὰρ
καὶ ταῦτα μὲν οὐκ εἰς ταυτὸν τῷ οἴνῳ ἐπισπεύδει. Εἰ δὲ ὀρ- 5
χοῖντο πρὸς τὸν αὐλὸν σχήματα, ἐν οἷς Χάριτές τε καὶ Ὧραι
καὶ Νύμφαι γράφονται, πολὺ ἂν οἶμαι αὐτούς τε ῥᾷον διά-
γειν, καὶ τὸ συμπόσιον πολὺ ἐπιχαριτώτερον εἶναι. Ὁ οὖν
Συρακόσιος, ἀλλὰ ναὶ μὰ τὸν Δί', ἔφη, ὦ Σώκρατες, καλῶς
τε λέγεις, καὶ ἐγὼ εἰσάξω θεάματα, ἐφ' οἷς ὑμεῖς εὐφρα-
νεῖσθε.

CAP. VIII.

Ὁ μὲν δὴ Συρακόσιος ἐξελθὼν συνεκροτεῖτο· ὁ δὲ Σωκράτης 1
πάλιν αὖ καινοῦ λόγου κατῆρχεν. Ἆρ', ἔφη, ὦ ἄνδρες, εἰκὸς
ἡμᾶς, παρόντος δαίμονος μεγάλου, καὶ τῷ μὲν χρόνῳ ἰσήλικος

4. χαλκεῖον] *Speculum æneum lumini augendo serviens* cum Fabro intelligit Zeune; *speculum æneum in conclavi aliquo loco repositum* interpretatur Weiske; itaque is a lychno separatum χαλκεῖον esse vult, quod equidem non puto. Pertinet enim χαλκεῖον, uti pars lumen lychni reflectens atque augens, ad lucernam, uti sequens olei mentio. De speculo vocabulum nullibi positum reperi.

εἰς ταυτὸν—ἐπισπεύδει] Leonclavii interpretationem, *verum ne hæc quidem eadem efficiunt, quæ vinum*, immerito reprehendens Zeune pejus vertit: *at vero nec tales quæstiones vino conveniunt*, monente etiam Weiskio. Proprie est, non eodem impellunt animum, quo vinum, nempe ad hilaritatem. Notione activa ἐπισπεύδω est in Hellenicis v. 1, 33.

5. Χάριτές—Νύμφαι] Plato de Legibus vii. p. 376. ed. Bipont. ὅση μὲν ὄρχησις Βακχεία τ' ἐστὶ καὶ τῶν ταύταις (Βάκχαις) ἑπομένων, ἃς Νύμφας τε καὶ Πᾶνας καὶ Σειληνοὺς καὶ Σατύρους ἐπονομάζοντες, ὥς φασι, μιμοῦνται κατοινωμένους, περικαθαρμούς τε καὶ τελετάς τινας ἀποτελούντων, ξύμπαν τοῦτο τῆς ὀρχήσεως τὸ γένος et cet.

αὐτούς τε] Ita pro γε scripsi, sententia et sermonis indole postulante.

Cap. VIII. 1. συνεκροτεῖτο] *Se componebat, instituebat*, i. e. *suis distribuebat partes agendas, et quo ordine omnia essent agenda, monstrabat.* Ita Weiske. Ita Hellenic. vi. 2, 12. συγκεκροτημέναι ναῦς sunt *rebus omnibus bene apparatæ et instructæ.* Inepte igitur Cornarius *per plausum convocabat.*

τοῖς ἀειγενέσι θεοῖς, τῇ δὲ μορφῇ νεωτάτου, καὶ μεγέθει μὲν πάντα ἐπέχοντος, ψυχῇ δὲ ἀνθρώπου ἰσουμένου, Ἔρωτος, μὴ ἂν ἀμνημονῆσαι, ἄλλως τε καὶ ἐπειδὴ πάντες ἐσμὲν τοῦ θεοῦ
2 τούτου θιασῶται; Ἐγώ τε γὰρ οὐκ ἔχω χρόνον εἰπεῖν, ἐν ᾧ οὐκ ἐρῶν τινὸς διατελῶ· Χαρμίδην δὲ τόνδε οἶδα πολλοὺς μὲν ἐραστὰς κτησάμενον, ἔστι δὲ ὧν καὶ αὐτὸν ἐπιθυμήσαντα. Κριτόβουλός γε μὴν, καὶ ἐρώμενος ὢν, ἤδη ἄλλων ἐπιθυμεῖ.
3 Ἀλλὰ μὴν καὶ ὁ Νικήρατος, ὡς ἐγὼ ἀκούω, ἐρῶν τῆς γυναικὸς ἀντερᾶται. Ἑρμογένη γε μὴν τίς ἡμῶν οὐκ οἶδεν, ὡς, ὅ τι ποτ' ἐστὶν ἡ καλοκἀγαθία, τῷ ταύτης ἔρωτι κατατήκεται; οὐχ ὁρᾶτε, ὡς σπουδαῖαι μὲν αὐτοῦ αἱ ὀφρύες, ἀτρεμὲς δὲ τὸ ὄμμα, μέτριοι δὲ οἱ λόγοι, πρᾳεῖα δὲ ἡ φωνὴ, ἱλαρὸν δὲ τὸ ἦθος; τοῖς δὲ σεμνοτάτοις θεοῖς φίλοις χρώμενος, οὐδὲ ἡμᾶς
4 τοὺς ἀνθρώπους ὑπερορᾷ; Σὺ δὲ μόνος, ὦ Ἀντίσθενες, οὐδενὸς ἐρᾷς; Ναὶ μὰ τοὺς θεοὺς, εἶπεν ἐκεῖνος, καὶ σφόδρα γε σοῦ. Καὶ ὁ Σωκράτης ἐπισκώψας, ὡς δὴ θρυπτόμενος, εἶπε, μὴ νῦν
5 μοι ἐν τῷ παρόντι ὄχλον πάρεχε. Ὡς σὺ γὰρ ὁρᾷς, ἄλλα

μεγέθει μὲν] Inserui particulam efflagitante concinnitate orationis.

ψυχῇ—ἰσουμένου] Silentium interpretum admiror, magis etiam acumen, si hæc verba intellexerunt, quorum equidem sensum plane ignoro. Lex et comparatio membrorum invicem oppositorum gemina ἀντιθέσει, veluti χρόνῳ et μορφῇ, ἰσήλικος θεοῖς et νεωτάτου, postulare videtur, ut ei magnitudini, quæ universum hoc pervadit, opponatur non solum animus humanus, sed aliquid etiam præterea, quod magnitudini magis sit ἀντίστροφον. Nam ψυχὴ potius opponi videtur τοῖς πᾶσι vel τῷ πάντα ἐπέχειν. Quid vero sit ἰσοῦσθαι τῇ τοῦ ἀνθρώπου ψυχῇ, quod opponi possit magnitudini omnia obtinenti, equidem excogitare non possum. Tentaveram ἐνοικιζομένου, ἐννοουμένου et εἰσορωμένου, qui sedem habeat propriam in mente humana, qui mente humana solum conspici, qui cogitatione mentis humanæ sola comprehendi possit. Erunt alii solertiores et feliciores in excogitanda vitii medela.

μὴ ἂν ἀμνημονῆσαι] Stephanus ἂν ut inutile delendum censuit.

2. γε μὴν, καὶ ἐρώμενος ὢν] Ita cum Stephano, Welsio et Bachio Weiske; edd. primæ dabant γε μὴν ἔτι μὴν καὶ ἐρώμ. quam scripturam Hal. Castal. et Bryl. mutarunt in γε μὴν ἔτι καὶ νῦν ἐρ. quod recepit etiam Zeune. Mihi neutra ratio placet: meliores libros desidero. Inprimis mihi ὢν post ἐρώμενος displicet.

3. οὐχ ὁρᾶτε] Recte vidit Heindorfius meus ἢ οὐχ ὁρᾶτε scribendum esse. Deinde ἀμνοτάτοις θεοῖς habet Juntina.

οὐδὲ ἡμᾶς] Ita cum Castal. vulgatum οὐδὲν correxi; quamquam Lange nec hoc nec vulgatum οὐδὲν ferendum censebat, sed plane tollendum; quo facto modestissimo Hermogeni superbiæ aliquantum adderetur.

πράττω. Καὶ ὁ Ἀντισθένης ἔλεξεν, ὡς σαφῶς μέντοι σὺ
μαστροπὲ σαυτοῦ ἀεὶ τοιαῦτα ποιεῖς, τοτὲ μὲν τὸ δαιμόνιον
προφασιζόμενος οὐ διαλέγῃ μοι, τοτὲ δ' ἄλλου του ἐφιέμενος.
Καὶ ὁ Σωκράτης ἔφη, πρὸς τῶν θεῶν, ὦ Ἀντίσθενες, μόνον μὴ 6
συγκόψῃς με· τὴν δ' ἄλλην χαλεπότητα ἐγώ σου καὶ φέρω
καὶ οἴσω φιλικῶς. Ἀλλὰ γὰρ, ἔφη, τὸν μὲν σὸν ἔρωτα
κρύπτωμεν, ἐπειδὴ καὶ ἔστιν οὐ ψυχῆς, ἀλλ' εὐμορφίας τῆς
ἐμῆς. Ὅτι γε μὴν σὺ, ὦ Καλλία, ἐρᾷς Αὐτολύκου, πᾶσα 7
μὲν ἡ πόλις οἶδε, πολλοὺς δ' οἶμαι καὶ τῶν ξένων. Τούτου δ'
αἴτιον τὸ πατέρων τε ὀνομαστῶν ἀμφοτέρους ὑμᾶς εἶναι, καὶ
αὐτοὺς ἐπιφανεῖς. Ἀεὶ μὲν οὖν ἔγωγε ἠγάμην τὴν σὴν φύσιν, 8
νῦν δὲ καὶ πολὺ μᾶλλον, ἐπεὶ ὁρῶ σε ἐρῶντα οὐχ ἁβρότητι
χλιδαινομένου οὐδὲ μαλακίᾳ θρυπτομένου, ἀλλὰ πᾶσιν ἐπι-
δεικνυμένου ῥώμην τε καὶ καρτερίαν καὶ ἀνδρείαν καὶ σω-
φροσύνην. Τὸ δὲ τοιούτων ἐπιθυμεῖν τεκμήριόν ἐστι τῆς τοῦ
ἐραστοῦ φύσεως. Εἰ μὲν οὖν μία ἐστὶν Ἀφροδίτη ἢ διτταὶ, 9
Οὐρανία τε καὶ Πάνδημος, οὐκ οἶδα· (καὶ γὰρ Ζεὺς ὁ αὐτὸς
δοκῶν εἶναι πολλὰς ἐπωνυμίας ἔχει) ὅτι γε μέντοι χωρὶς
ἑκατέρᾳ βωμοί τε εἰσὶ καὶ ναοὶ καὶ θυσίαι, τῇ μὲν Πανδήμῳ
ῥᾳδιουργότεραι, τῇ δὲ Οὐρανίᾳ ἁγνότεραι, οἶδα. Εἰκάσαις δ' 10

5. τοιαῦτα] Junt. ταῦτα. Deinde ἐφιέμενος ἄλλου του Zeune vertit: *operam dans alii rei seu homini.* Quidni Antisthenes in metaphora mansit, ut alium quem Socratem amare diceret?

6. κρύπτωμεν] Cum particulæ μὲν nihil respondeat in altero membro, vel sic vitium scripturæ fit manifestum, quod correxit Heindorfius meus κρύπτωμεν uno verbo scribens. In eandem conjecturam incidit Weiske.

7. πατέρων] Hipponici Calliæ patris mentio fit crebra in Græca Historia, Lyconis nullibi.

8. ἐστι τῆς τοῦ ἐραστοῦ φύσεως] Vulgatum ἐστι καὶ τῆς τοῦ ἐρωμένου φύσεως recte deseruit Weiske, ejecta copula καὶ, quam ex margine Steph. receperat cum Welsio Zeune. Ita scilicet obscurare vitium scripturæ ἐρωμένου voluit, qui καὶ addidit primus. Cum h. l. solus Callias vel laudari vel moneri videatur, et virtutis amati ab eo Autolyci argumenta satis manifesta memorentur in verbis οὐχ ἁβρότητι χλιδαινομένου— σωφροσύνην, additum in fine orationis τεκμήριον ad solum Calliam ἐραστὴν referri potest et debet. Itaque ἐραστοῦ substitui vulgato ἐρωμένου· in quam correctionem incidit ante Weiskium Mosche. Cf. etiam sect. 11.

9. διτταὶ] Halensis editio et Castal. διττά. De utraque Venere locum Platonicum in Symposio c. viii. respexit Xenophon.

ῥᾳδιουργότεραι] Index Zeunianus *sacra minus pura et casta, victimæ salaciores et molliores*, interpretatur. In Annotatione addit Veneri vulgivagæ capram albam immolari soli-

ἂν καὶ τοὺς ἔρωτας τὴν μὲν Πάνδημον τῶν σωμάτων ἐπιπέμπειν, τὴν δ' Οὐρανίαν, τῆς ψυχῆς τε καὶ τῆς φιλίας καὶ τῶν καλῶν ἔργων. Ὑφ' οὗ δὴ καὶ σὺ, ὦ Καλλία, κατέχεσθαί μοι δοκεῖς ἔρωτος.
11 Τεκμαίρομαι δὲ τῇ τοῦ ἐρωμένου καλοκἀγαθίᾳ, καὶ ὅτι σὲ ὁρῶ τὸν πατέρα αὐτοῦ παραλαμβάνοντα εἰς τὰς πρὸς τοῦτον συνουσίας. Οὐδὲν γὰρ τούτων ἐστὶν
12 ἀπόκρυφον πατρὸς τῷ καλῷ τε κἀγαθῷ ἐραστῇ. Καὶ ὁ Ἑρμογένης εἶπε, νὴ τὴν Ἥραν, ἔφη, ὦ Σώκρατες, ἄλλα τέ σου πολλὰ ἄγαμαι, καὶ ὅτι νῦν ἅμα χαριζόμενος Καλλίᾳ καὶ παιδεύεις αὐτὸν, οἷόν περ χρὴ εἶναι. Νὴ Δί', ἔφη· ὅπως δὲ καὶ ἔτι μᾶλλον εὐφραίνηται, βούλομαι αὐτῷ μαρτυρῆσαι, ὡς καὶ πολὺ κρείττων ἐστὶν ὁ τῆς ψυχῆς, ἢ ὁ τοῦ σώματος ἔρως.
13 Ὅτι μὲν γὰρ δὴ ἄνευ φιλίας συνουσία οὐδεμία ἀξιόλογος, πάντες ἐπιστάμεθα. Φιλεῖν γε μὴν τῶν μὲν τὸ ἦθος ἀγαμένων ἀνάγκη ἰδία καὶ ἐθελουσία καλεῖται· τῶν δὲ τοῦ σώματος ἐπιθυμούντων πολλοὶ μὲν τοὺς τρόπους μέμφονται, καὶ μισοῦσι
14 τὸν ἐρώμενον· ἢν δὲ καὶ ἀμφότερα στέρξωσι, τὸ μὲν τῆς ὥρας

tam, ex Luciani Dialogis Meretr. cœlesti contra juvencam nondum domitam, ex Scholiis ad Luciani locum. Præterea Scholia ad Sophoclis Œd. Colon. 101. tradere ex Polemone, Veneri cœlesti fieri sacra νηφάλια, i. e. absque vino.

10. τοὺς ἔρωτας] Stephanus deinde τὸν τῶν σωμάτων—τὸν τῆς ψυχῆς scriptum malebat, quod non probo.

12. καὶ ὅτι νῦν] Deesse aliquid mihi videtur, veluti τοῦτῳ μάλιστα.

μαρτυρῆσαι] Urbane Socrates ita, non διδάσκειν dixit, ne de Calliæ virtute cum Hermogene dubitare videretur. Monuit hoc etiam Zeune.

13. Φιλεῖν γε μὴν] Qui mores alius mirantur et animum, necessitate quadam propria eaque voluntaria coguntur, ut eundem hominem ament. Hæc est verborum sententia. Leonclavius Ribittum secutus vertit: *Amare autem eos, quorum mores ac indolem admiramur, necessitudo quædam propria et voluntaria vocatur:* quasi scriptum legisset: φιλεῖν γε μὴν ὧν μὲν τὸ ἦθος ἀγάμεθα. Pejus interpretatur Zeune: *Amicitia autem vocatur necessitudo ex causis propriis et sua sponte orta, inter eos, quorum mores egregie placent.* Magis ad verbum Cornarius: *Amare vero in his, qui mores admirantur, necessitas privata ac voluntaria appellatur.* Alio modo dicere poterat Xenophon: φιλεῖν γε μὴν οἱ τὸ ἦθος ἀγάμενοι ἀναγκάζονται ἀνάγκει ἰδίᾳ καὶ ἐθελουσίᾳ. Genitivus τῶν ἀγαμένων pendet ab ἀνάγκη ἰδία. Non possum igitur assentiri Weiskio vertenti: *sed amor eorum, qui indole animi et moribus capti sunt, est necessitas ex causis propriis et sponte nata.* Eidem videbatur φιλεῖν esse subjectum, quod dialectici dicunt, pro τὸ φιλεῖν, ἡ φιλία dictum, et genitivus τῶν ἀγαμένων ab illo regi. Video etiam alterum interpretem, Lange, φιλεῖν interpretari ἡ φιλία cum Zeunio.

14. ἀμφότερα] Vulgatum ἀμφότε-

ἄνθος ταχὺ δήπου παρακμάζει, ἀπολείποντος δὲ τούτου,
ἀνάγκη καὶ τὴν φιλίαν συναπομαραίνεσθαι· ἡ δὲ ψυχὴ ὅσον
περ χρόνον ἴῃ ἐπὶ τὸ φρονιμώτερον, καὶ ἀξιεραστοτέρα γίγνεται.
Καὶ μὴν ἐν μὲν τῇ τῆς μορφῆς χρήσει ἔνεστί τις καὶ κόρος, 15
ὥστε, ἅπερ καὶ πρὸς τὰ σιτία διὰ πλησμονὴν, ταῦτα ἀνάγκη
καὶ πρὸς τὰ παιδικὰ πάσχειν· ἡ δὲ τῆς ψυχῆς φιλία, διὰ
τὸ ἁγνὴ εἶναι, καὶ ἀκορεστοτέρα ἐστὶν, οὐ μέντοι, ὥς γ' ἄν τις
οἰηθείη, διὰ τοῦτο καὶ ἀνεπαφροδιτωτέρα. Ἀλλὰ σαφῶς καὶ
ἀποτελεῖται ἡ εὐχὴ, ἐν ᾗ αἰτούμεθα τὴν θεὸν, ἐπαφρόδιτα καὶ
ἔπη καὶ ἔργα διδόναι. Ὡς μὲν γὰρ ἄγαταί τε καὶ φιλεῖ 16
τὸν ἐρώμενον, θάλλουσα μορφῇ τε ἐλευθερίᾳ, καὶ ἤθει αἰδήμονί

ροι correxeram antea, quam Langium in eandem conjecturam incidisse vidissem. Arguit, ἀμφότερα verum esse, sequens ὥρας ἄνθος oppositum τῇ ψυχῇ.

ἴῃ] Stephani hanc emendationem pro vulgato ᾗ reddidit etiam Leoncladiana versio.

15. ἀνεπαφροδιτωτέρα] Vulgatum ἐπαφρ. sic cum Ernestio correxit Weiske, contra ἀναφροδιτωτέρα dedit Zeune; quod verbum ad corporeum amorem magis pertinere videtur, quam ἀνεπαφρόδιτος, cujus exemplum posuit ex Comico Etymologicum M. κἀμοὶ τὰ ψυχρὰ ταῦτα κἀνεπαφρόδιτα προσμάττεις φιλήματα. Leonclavius ἧττον διὰ τοῦτο καὶ ἐπαφροδιτωτέρα conjecerat. Antiquum διὰ τούτου repetiit Weiske.

16. θάλλουσα] Prior pars hujus paragraphi obscura visa est Weiskio et corrupta. Quid enim, inquit, opus erat dicere, amatorem corpore formoso et animo verecundo generosoque esse? Sed fingamus, omnia hæc in omnibus fuisse amatoribus, quid in iis inest argumenti ad docendum, *ab iis vere amatos esse pueros, quorum se professi sint amatores?* Et quo consilio, aut quam vere additur, animum ejusdem amatoris statim a puero inter æquales ad imperium gerendum fuisse idoneum? Rectius igitur dici posse putat Weiske: Ὡς μὲν γὰρ ὁ ἐραστὴς φιλεῖ τοῦ ἐρωμένου θάλλουσαν — ψυχὴν — ἡγεμονικήν — οὖσαν. Nihil tamen ipse definit. Denique Juntinæ ἡγεμονὴ cum Brodæo in ἡγεμονὶς mutari posse censet. Miror equidem virum doctum præsidium conjecturæ suæ paratum in sequentibus verbis ὑπὸ τῶν παιδικῶν τῶν τοιούτων non vidisse aut, si vidit, sprevisse. Nam hæc ipsa verba arguunt antecessisse amasii, non amatoris descriptionem. Sed præsidium hoc debetur ingenio recentiorum Editorum; in editionibus enim veteribus omnibus est τὸν τοιοῦτον, quod restitui. Hæc enim lectio sola convenit antecedenti orationi, quæ amatorem designat factum a natura ad verum amorem et ingenuum puerorum. Hic enim non tam amat puerum ob pulcritudinem quam diligit (φιλεῖ) propter animi bona. Hunc tanquam ψυχικὸν ἐραστὴν Xenophon commutata oratione non ἐραστὴν dicit, sed ψυχὴν θάλλουσαν—ἡγεμονικήν—οὖσαν. Sic mihi nihil difficultatis huic loco inesse videbatur. Ceterum pro γενναίῳ ψυχὴ, quæ est Leonclavii conjectura a Welsio et Zeunio recepta, ceteræ edd. habent γενναίᾳ ψυχῇ, nullo plane sensu.

τε καὶ γενναίᾳ ψυχῇ, εὐθὺς ἐν τοῖς ἥλιξιν ἡγεμονική τε ἅμα
καὶ φιλόφρων οὖσα, οὐδὲν ἐπιδεῖται λόγου· ὅτι δὲ εἰκὸς καὶ
ὑπὸ τῶν παιδικῶν τὸν τοιοῦτον ἐραστὴν ἀντιφιλεῖσθαι, καὶ
17 τοῦτο διδάξω. Πρῶτον μὲν γὰρ τίς μισεῖν δύναιτ' ἄν, ὑφ'
οὗ εἰδείη καλός τε καὶ ἀγαθὸς νομιζόμενος; ἔπειτα δὲ ὁρῴη
αὐτὸν τὰ τοῦ παιδὸς καλὰ μᾶλλον, ἢ τὰ ἑαυτοῦ ἡδέα σπου-
δάζοντα; πρὸς δὲ τούτοις πιστεύῃ, μήτ' ἂν παρά τι ποιήσῃ,
μήτ' ἂν καμὼν ἀμορφότερος γένηται, μειωθῆναι ἂν τὴν φιλίαν;
18 Οἷς γε μὴν κοινὸν τὸ φιλεῖσθαι, πῶς οὐκ ἀνάγκη τούτους
ἡδέως μὲν προσορᾶν ἀλλήλους, εὐνοϊκῶς δὲ διαλέγεσθαι; πι-
στεύειν δὲ καὶ πιστεύεσθαι; καὶ προνοεῖν μὲν ἀλλήλων, συνή-
δεσθαι δ' ἐπὶ ταῖς καλαῖς πράξεσι, συνάχθεσθαι δὲ, ἤν τι
σφάλμα προσπίπτῃ; τότε δ' εὐφραινομένους διατελεῖν, ὅταν
ὑγιαίνοντες συνῶσιν, ἢν δὲ κάμῃ ὁποτεροσοῦν, πολὺ συνεχε-
στέραν τὴν συνουσίαν ἔχειν; καὶ ἀπόντων ἔτι μᾶλλον ἢ πα-
ρόντων ἐπιμελεῖσθαι; οὐ ταῦτα πάντα ἐπαφρόδιτα; διά γε
τοι τὰ τοιαῦτα ἔργα ἅμα ἐρῶντες τῆς φιλίας καὶ χρώμενοι
19 αὐτῇ εἰς γῆρας διατελοῦσι. Τὸν δὲ ἐκ τοῦ σώματος κρεμά-
μενον διὰ τί ἀντιφιλήσειεν ἂν ὁ παῖς; πότερον ὅτι ἑαυτῷ μὲν
νέμει, ὧν ἐπιθυμεῖ, τῷ δὲ παιδὶ τὰ ἐπονειδιστότατα; ἢ διότι,
ἃ σπεύδει πράττειν παρὰ τῶν παιδικῶν, εἴργει μάλιστα τοὺς

17. ἔπειτα δὲ ὁρῴη] Structura variatur; debebat enim sequi ὃν δ' ὁρῴη.

τὰ ἑαυτοῦ ἡδέα] Oppositum membrum τὰ τοῦ παιδὸς καλὰ postulabat τὰ ἡδέα, alioquin τὰς ἡδονὰς τὰς ἑαυτοῦ vel τὰ ἑαυτῷ ἡδέα expectabam.

παρά τι ποιήσῃ] Tmesin annotant viri docti pro παραποιήσῃ τι; sed Weiske vulgarem verbi notionem, *adulterare, falsum quid ad veri speciem conficere*, ab hoc loco alienam esse monet recte; nec convenire ἁμαρτάνειν, πλημμελεῖν aut σφάλλεσθαι, sed potius expectari a lectore modum alterum, quo pulcritudo minui possit. Superest ut confugiamus ad eam significationem, qua ὄνομα παραπεποιημένον dicitur ab Aristotele in Rhetoricis, cum nomen aliquod immutatur et diversam a priore formam accipit. Tum igitur locus erit vertendus: *nec cum casus aliquis, velut vulnus, aut morbus formam immutaverit aut pulcritudinem deminuerit.*

19. παρὰ τῶν παιδικῶν] Hanc Brodæi correctionem recepit Zeune. Vulgatum πέρα Weiske interpretatur *ultra honestos amores, usitata et casta amoris documenta.* Ergo quæ ultra licitum illum amorem progrediantur, obscœnas esse libidines. Sed omisit docere, τὰ παιδικὰ a scriptoribus Atticis dictum fuisse etiam amorem vel amores, cum vulgaris notio puerum amatum significet. Παιδικὰ ἀφροδίσια Hieronis i. 29. sunt *amores puerorum* vel *pueriles*, oppositi τοῖς τεκνοποιοῖς

οἰκείους ἀπὸ τούτων. Καὶ μὴν ὅτι γε οὐ βιάζεται, ἀλλὰ 20
πείθει, διὰ τοῦτο μᾶλλον μισητέος. Ὁ μὲν γὰρ βιαζόμενος,
ἑαυτὸν πονηρὸν ἀποδεικνύει· ὁ δὲ πείθων, τὴν τοῦ ἀναπειθο-
μένου ψυχὴν διαφθείρει. Ἀλλὰ μὴν καὶ ὁ χρημάτων γε 21
ἀπεμπολῶν τὴν ὥραν, τί μᾶλλον στέρξει τὸν πριάμενον, ἢ ὁ ἐν
ἀγορᾷ πωλῶν καὶ ἀποδιδόμενος; οὐ μὴν, ὅτι γε ὡραῖος ἀώρῳ,
οὐδὲ ὅτι γε καλὸς οὐκέτι καλῷ, καὶ ἐρῶντι οὐκ ἐρῶν ὁμιλεῖ,
φιλήσει αὐτόν. Οὐδὲ γὰρ ὁ παῖς τῷ ἀνδρὶ ὥσπερ γυνὴ κοι-
νωνεῖ τῶν ἐν τοῖς ἀφροδισίοις εὐφροσυνῶν, ἀλλὰ νήφων μεθύοντα
ὑπὸ τῆς ἀφροδίτης θεᾶται. Ἐξ ὧν οὐδὲν θαυμαστὸν, εἰ καὶ 22
τὸ ὑπερορᾷν ἐγγίγνεται αὐτῷ τοῦ ἐραστοῦ. Καὶ σκοπῶν δ'
ἄν τις εὕροι ἐκ μὲν τῶν διὰ τοὺς τρόπους φιλουμένων οὐδὲν χα-
λεπὸν γεγενημένον, ἐκ δὲ τῆς ἀναιδοῦς ὁμιλίας πολλὰ ἤδη
καὶ ἀνόσια πεπραγμένα. Ὡς δὲ καὶ ἀνελεύθερος ἡ συνουσία 23
τῷ τὸ σῶμα μᾶλλον ἢ τῷ τὴν ψυχὴν ἀγαπῶντι, νῦν τοῦτο δη-
λώσω. Ὁ μὲν γὰρ παιδεύων λέγειν τε ἃ δεῖ καὶ πράττειν
δικαίως ἂν, ὥσπερ Χείρων καὶ Φοῖνιξ ὑπ' Ἀχιλλέως, τιμῷτο,
ὁ δὲ τοῦ σώματος ὀρεγόμενος εἰκότως ἂν ὥσπερ πτωχὸς περιέ-
ποιτο. Ἀεὶ γάρ τοι προσαιτῶν καὶ προσδεόμενος ἢ φιλήμα-

ἀφροδισίοις. In Œconom. ii. 7. et xii. 14. παιδικὰ πράγματα dicuntur, cum quis amoribus puerilibus occupatur. Ceterum sententiam ipsam tractat Plato Phædri sect. 36. p. 229. ed. Heindorfianæ.

εἴργει] Edd. veteres vitiosum εἴργειν habent.

20. Καὶ μὴν] Edd. veterum καὶ μὴ correxit Brodæus et Castalio. Deinde margo Villois. cum prima Stephaniana, Leonclavianis, Welsiana et Bachiana dat μισητέον.

ὁ δὲ πείθων] Compara Hieronis iii. 3. Cyrop. iii. 1, 39.

21. ὡραῖος ἀώρῳ] Plato in Phædro sect. 38. νεωτέρῳ γὰρ πρεσβύτερος συνὼν οὔθ' ἡμέρας οὔτε νυκτὸς ἀπολείπεται ἑκὼν, ἀλλ' ὑπ' ἀνάγκης τε καὶ οἴστρου ἐλαύνεται, ὃς ἐκείνῳ μὲν ἡδονὰς ἀεὶ διδοὺς ἄγει (malim ἀϊδίους ἄγει) ὁρῶντι, ἀκούοντι, ἁπτομένῳ, καὶ πᾶσαν αἴσθησιν αἰσθανομένῳ τοῦ ἐρωμένου—τῷ δὲ δὴ ἐρωμένῳ ποῖον παραμύθιον ἢ τίνας ἡδονὰς διδοὺς ποιήσει τὸν ἴσον χρόνον συνόντι μὴ οὐχὶ ἐπ' ἔσχατον ἐλθεῖν ἀηδίας, ὁρῶντι μὲν ὄψιν πρεσβυτέραν καὶ οὐκ ἐν ὥρᾳ, ἑπομένων δὲ τῶν ἄλλων ταύτῃ, ἃ καὶ λόγῳ ἐστὶν ἀκούειν οὐκ ἐπιτερπὲς, μὴ ὅτι δὴ ἔργῳ.

23. λέγειν — πράττειν] Respicit verba Iliadis ix. 443. μύθων τε ῥητῆρ' ἔμεναι πρηκτῆρά τε ἔργων.

τοι προσαιτῶν] Stephani conjecturam τι πρ. improbarunt editores, propter locum similem Memorab. i. 2, 29. sed ibi est προσαιτεῖν τὸν ἐρώμενον. Locus ita habet de eadem re: φάσκων ἀνελεύθερόν τε εἶναι καὶ οὐ πρέπον ἀνδρὶ καλῷ κἀγαθῷ, τὸν ἐρώμενον, ᾧ βούλεται πολλοῦ ἄξιος φαίνεσθαι, προσαιτεῖν ὥσπερ τοὺς πτωχοὺς, ἱκετεύοντα καὶ δεόμενον προσδοῦναι καὶ ταῦτα μηδενὸς ἀγαθοῦ. ubi μεταδοῦναι scriben-

24 τος ἢ ἄλλου τινὸς ψηλαφήματος παρακολουθεῖ. Εἰ δὲ λαμυρώτερον λέγω, μὴ θαυμάζετε. Ὅ τε γὰρ οἶνος συνεπαίρει καὶ ὁ ἀεὶ σύνοικος ἐμοὶ ἔρως κεντρίζει εἰς τὸν ἀντίπαλον ἔρωτα
25 αὐτῷ παῤῥησιάζεσθαι. Καὶ γὰρ δὴ δοκεῖ μοι ὁ μὲν τῷ εἴδει τὸν νοῦν προσέχων, μεμισθωμένῳ χῶρον ἐοικέναι. Οὐ γὰρ, ὅπως πλείονος ἄξιος γένηται, ἐπιμελεῖται, ἀλλ' ὅπως αὐτὸς ὅτι πλεῖστα ὡραῖα καρπώσεται. Ὁ δὲ τῆς φιλίας ἐφιέμενος, μᾶλλον ἔοικε τῷ τὸν οἰκεῖον ἀγρὸν κεκτημένῳ. Πάντοθεν γοῦν φέρων, ὅ τι ἂν δύνηται, πλείονος ἄξιον ποιεῖ τὸν ἐρώμενον.
26 Καὶ μὴν καὶ τῶν παιδικῶν ὅσα μὲν ἂν εἰδῇ, ὅτι ὁ τοῦ εἴδους ἐπαρκῶν ἄρξει τοῦ ἐραστοῦ, εἰκὸς αὐτὸν τἄλλα ῥᾳδιουργεῖν· ὃς δ' ἂν γιγνώσκῃ, ὅτι, ἂν μὴ καλὸς κἀγαθὸς ᾖ, οὐ καθέξει τὴν
27 φιλίαν, τοῦτον προσήκει μᾶλλον ἀρετῆς ἐπιμελεῖσθαι. Μέγιστον δ' ἀγαθὸν τῷ ὀρεγομένῳ ἐκ παιδικῶν φίλον ἀγαθὸν ποιήσασθαι, ὅτι ἀνάγκη καὶ αὐτὸν ἀσκεῖν ἀρετήν. Οὐ γὰρ οἷόντε πονηρὰ αὐτὸν ποιοῦντα ἀγαθὸν τὸν συνόντα ἀποδεῖξαι, οὐδέ γε ἀναισχυντίαν καὶ ἀκρασίαν παρεχόμενον ἐγκρατῆ καὶ
28 αἰδούμενον τὸν ἐρώμενον ποιῆσαι. Ἐπιθυμῶ δέ σοι, ἔφη, ὦ Καλλία, καὶ μυθολογῆσαι, ὡς οὐ μόνον ἄνθρωποι ἀλλὰ καὶ θεοὶ καὶ ἥρωες τὴν τῆς ψυχῆς φιλίαν περὶ πλείονος ἢ τὴν τοῦ
29 σώματος χρῆσιν ποιοῦνται. Ζεύς τε γὰρ ὅσων μὲν θνητῶν οὐσῶν μορφῆς ἠράσθη, συγγενόμενος εἴα αὐτὰς θνητὰς εἶναι· ὅσων δὲ ψυχαῖς ἀγασθείη, ἀθανάτους τούτους ἐποίει· ὧν Ἡρα-
30 κλῆς μὲν καὶ Διόσκουροι εἰσὶ, λέγονται δὲ καὶ ἄλλοι. Καὶ ἐγὼ δέ φημι καὶ Γανυμήδην οὐ σώματος ἀλλὰ ψυχῆς ἕνεκα

dum censui olim, nec me conjecturæ adhuc pœnitet, postquam legi, quæ rescripsit Weiske ad eum locum.

24. θαυμάζετε] Juntina et margo Steph. θαυμάζητε.

25. καρπώσεται] Ex margine Steph. reduxi hoc cum Zeunio; antiquum vero καρπώσηται revocavit Weiske.

26. ὅσα μὲν ἂν] Hoc debetur Weiskio pro vulgato ὅσα ἂν μὲν. Castalio ὅτι ὁ omisit et deinde ἄρξειν dedit.

29. ψυχαῖς ἀγασθείη] Edd. veterum hanc scripturam pro vulgato ψυχὰς revocavit Zeune. Juntina ἀγαθαῖς addit. ἀγαθείη eadem habet scriptum, verum dedit Halensis et Castal.

30. Γανυμήδην οὐ σώματος] Contra Plato Phædri sect. 79. p. 279. τότ' ἤδη ἡ τοῦ ῥεύματος ἐκείνου πηγὴ, ὃν ἵμερον Ζεὺς Γανυμήδους ἐρῶν ὠνόμασε, πολλὴ φερομένη πρὸς τὸν ἐραστὴν et reliqua.

ὑπὸ Διὸς εἰς Ὄλυμπον ἀνενεχθῆναι. Μαρτυρεῖ δὲ καὶ τοὔνομα αὐτοῦ. Ἔστι μὲν γάρ δήπου καὶ Ὁμήρῳ,

—γάνυται δέ τ' ἀκούων.

Τοῦτο δὲ φράζει, ὅτι ἥδεται δέ τ' ἀκούων. Ἔστι δὲ καὶ ἀλλοθί που,

—πυκινὰ φρεσὶ μήδεα εἰδώς.

Τοῦτο δ' αὖ λέγει, σοφὰ φρεσὶ βουλεύματα εἰδώς. Ἐξ οὖν
συναμφοτέρων τούτων οὐχ ἡδυσώματος ὀνομασθεὶς ὁ Γανυμήδης, ἀλλ' ἡδυγνώμων, ἐν θεοῖς τετίμηται. Ἀλλὰ μὴν, ὦ Νι- 31
κήρατε, καὶ Ἀχιλλεὺς Ὁμήρῳ πεποίηται οὐχ ὡς παιδικοῖς Πατρόκλῳ, ἀλλ' ὡς ἑταίρῳ ἀποθανόντι ἐκπρεπέστατα τιμωρῆσαι. Καὶ Ὀρέστης δὲ καὶ Πυλάδης καὶ Θησεὺς καὶ Πει-

καὶ Ὁμήρῳ] Margo Steph. ἐν Ὁμήρῳ dat, quod aut recipiendum aut πεποιημένον supplendum est.

γάνυται δέ τ' ἀκούων] Edd. vett. δ' ἀκούων habent. Ceterum in Homero, qualem hodie habemus, non exstat hemistichium, sed Iliad. Υ. 405. γάνυται δέ τε τοῖς Ἐνοσίχθων, nec alterum hodie exstat, sed Il. Ω. 424. πυκινὰ φρεσὶ μήδε' ἔχοντες, et P. 325. φίλα φρεσὶ μήδεα εἰδώς.

31. ὦ Νικήρατε] Hunc appellat, ubi Homerum testem laudat, quippe Homericorum carminum peritissimum. Monuit Zeune.

οὐχ ὡς παιδικοῖς Πατρόκλῳ] Tangit Platonem in Symposio c. vii. ubi est de Achille: ἐτόλμησεν βοηθήσας τῷ ἐραστῇ Πατρόκλῳ καὶ τιμωρήσας οὐ μόνον ὑπεραποθανεῖν ἀλλὰ καὶ ἐπαποθανεῖν τετελευτηκότι. Nisi quod Plato Patroclum ἐραστὴν non ἐρώμενον vel παιδικὰ Achillis facit. Fecerat Achillem ἐραστὴν Æschylus, quem Plato ibidem redarguit ex Homero Il. xi. 786. ubi est de Patroclo: πρεσβύτερος δὲ σὺ ἐσσί. Æschylus tamen non solus erravit in ætate Achillis et amore erga Patroclum, sed habuit fere omnes poetas Tragicos Atticos sequentes, ut egregie docuit Heyne ad locum Homeri. Mentionem Æschyli in Platone Valckenarius ab aliena manu insertam putabat, quam defendit Heyne l. c. Hic idem contra alterum locum Platonis suspectum habet, ubi est de Achille: διὰ ταῦτα καὶ τὸν Ἀχιλλέα τῆς Ἀλκήστιδος μᾶλλον ἐτίμησαν, εἰς μακάρων νήσους ἀποπέμψαντες. ubi cum ad comparationem Alcestidis adhæsisset juvenis tum Fr. A. Wolfius, statim exortus est, qui nomen in Θέτιδος mutaret. Contra Heyne verba τῆς Ἀλκήστιδος ut ex interpolatione manifesta profecta ejicienda censuit. At fieri hoc minime potest nisi invito ipso Platone, qui Achillem, ut amasium, qui pro amatore mortem optaverit, comparat et præfert ex deorum judicio Alcestidi, quæ ἕνεκα τοῦ ἔρωτος, ut ait Plato sect. 3. i. e. propter amorem in maritum mortuum, ergo amans, non amata, morti se obtulerit. Ceterum παιδικοῖς pro vulgato παιδικῶς debetur correctioni H. Stephani, probatæ etiam a Valckenario ad Callim. Eleg. p. 219.

Πειρίθους] Ex Juntina Πειρίθοος revocavit Zeune.

ρίθους καὶ ἄλλοι δὲ πολλοὶ τῶν ἡμιθέων οἱ ἄριστοι ὑμνοῦνται οὐ διὰ τὸ συγκαθεύδειν, ἀλλὰ διὰ τὸ ἄγασθαι ἀλλήλους, τὰ
32 μέγιστα καὶ κάλλιστα κοινῇ διαπεπρᾶχθαι. Τί δέ; τὰ νῦν καλὰ ἔργα οὐ πάντ' ἂν εὕροι τις ἕνεκα ἐπαίνου ὑπὸ τῶν καὶ πονεῖν καὶ κινδυνεύειν ἐθελόντων πραττόμενα μᾶλλον, ἢ ὑπὸ τῶν ἐθιζομένων ἡδονὴν ἀντ' εὐκλείας αἱρεῖσθαι; καί τοι Παυσανίας γε, ὁ Ἀγάθωνος τοῦ ποιητοῦ ἐραστὴς, ἀπολογούμενος ὑπὲρ τῶν ἀκρασίᾳ συγκυλινδουμένων εἴρηκεν, ὡς καὶ στράτευμα ἀλκι-
33 μώτατον ἂν γένοιτο ἐκ παιδικῶν τε καὶ ἐραστῶν. Τούτους γὰρ ἂν ἔφη οἴεσθαι μάλιστα αἰδεῖσθαι ἀλλήλους ἀπολείπειν· θαυμαστὰ λέγων, εἴγε οἱ ψόγου τε ἀφροντιστεῖν καὶ ἀναισχυντεῖν πρὸς ἀλλήλους ἐθιζόμενοι, οὗτοι μάλιστα αἰσχύνον-
34 ται αἰσχρόν τι ποιεῖν. Καὶ μαρτύρια δὲ ἐπήγετο, ὡς ταῦτα ἐγνωκότες εἶεν καὶ Θηβαῖοι καὶ Ἠλεῖοι. Συγκαθεύδοντας γοῦν αὐτοῖς ὅμως παρατάττεσθαι ἔφη τὰ παιδικὰ εἰς τὸν ἀγῶνα· οὐδὲν τοῦτο σημεῖον λέγων ὅμοιον. Ἐκείνοις μὲν γὰρ ταῦτα νόμιμα, ἡμῖν δ' ἐπονείδιστα. Δοκοῦσι δ' ἔμοιγε οἱ

32. Παυσανίας] Est ὁ ἐκ Κεραμέων, ut appellat Platonis Protagoras p. 97. et Æliani V. H. ii. 21. Plato ibidem Agathonem Pausaniæ assidentem designat his verbis: καὶ μετὰ Παυσανίαν νέον ἔτι μειράκιον, ὡς μὲν ἐγῷμαι, καλόν τε κἀγαθὸν τὴν φύσιν, τὴν δ' οὖν ἰδέαν πάνυ καλὸν—ἔδοξα ἀκοῦσαι ὄνομα αὐτῷ εἶναι Ἀγάθωνα καὶ οὐκ ἂν θαυμάζοιμι, εἰ παιδικὰ Παυσανίου τυγχάνει ὤν. Pertinet narratio ad Olympiadis 90. annum 1. Ceterum Παυσανίας γε pro vulgato τε Stephaniana secunda ex Athenæi loco p. 216. posuit prima.

33. μάλιστα αἰδεῖσθαι] Athenæus l. c. posuit ex h. l. μάλιστ' ἂν αἰδεῖσθαι ἀλλήλους ἀπολιπεῖν; posteriorem varietatem probaverim equidem.

34. Θηβαῖοι καὶ Ἠλεῖοι] Illorum fuit ἱερὰ φάλαγξ dicta, de qua Athenæus xiii. 2. Plutarchus Pelopidæ c. 2. Compara etiam Æliani V. H. xiii. 5. Eleorum amores παιδικοὺς narrat ipse Xenophon de Laced. Rep. ii. 13.

συγκαθεύδοντας] Vulgatum nominativum (absolutum dicunt, qui excusant cum Bachio et Weiskio) damnavit cum Stephano et Leonclavio etiam Zeune; refertur genus masculum ad pueros in vocabulo παιδικὰ intelligendos.

οὐδὲν—ὅμοιον] Pro argumento ponens vel afferens exemplum plane dissimile.

νόμιμα] Igitur legaliter et more publico honesta, non natura. Ibi igitur παιδερασταὶ dici non possunt ἀναισχυντεῖν πρὸς ἀλλήλους· sed tamen inesse illis amoribus aliquid diffidentiæ et suspicionis mutuæ, ubi in discrimen amor adducitur, videtur Xenophonti. Quod vero Weiske putabat, non in his ipsis verbis rationem esse, propter quam argumentum a Pausania positum sit improbandum, sed refutationem demum contineri verbis sequentibus

μὲν παραταττόμενοι ἀπιστοῦσιν ἐοικέναι, μὴ χωρὶς γενόμενοι οἱ ἐρώμενοι οὐκ ἀποτελῶσι τὰ τῶν ἀγαθῶν ἀνδρῶν ἔργα. Λακε- 35
δαιμόνιοι δὲ οἱ νομίζοντες, ἐὰν καὶ ὀρεχθῇ τις σώματος, μηδενὸς ἂν ἔτι καλοῦ κἀγαθοῦ τοῦτον τυχεῖν, οὕτω τελέως τοὺς ἐρωμένους ἀγαθοὺς ἀπεργάζονται, ὡς καὶ μετὰ ξένων, κἂν μὴ ἐν τῇ αὐτῇ πόλει ταχθῶσι τῷ ἐραστῇ, ὅμως αἰδοῦνται τοὺς παρόντας ἀπολείπειν. Θεὰν γὰρ οὐ τὴν Ἀναίδειαν, ἀλλὰ τὴν Αἰδῶ νομίζουσι. Δοκοῦμεν δ' ἄν μοι πάντες ὁμόλογοι 36
γενέσθαι, περὶ ὧν λέγω, εἰ ὧδε ἐπισκοπῶμεν, τῷ ποτέρως παιδὶ φιληθέντι μᾶλλον ἄν τις πιστεύσειεν ἢ χρήματα ἢ τέκνα ἢ χάριτας παρακατατίθεσθαι. Ἐγὼ μὲν γὰρ οἶμαι, καὶ αὐτὸν τὸν τῷ εἴδει τοῦ ἐρωμένου χρώμενον μᾶλλον ἂν ταῦτα τῷ τὴν ψυχὴν ἐρασμίῳ πιστεῦσαι. Σοί γε μήν, ὦ Καλλία, 37
δοκεῖ μοι ἄξιον εἶναι καὶ θεοῖς χάριν εἰδέναι, ὅτι σοι Αὐτολύκου ἔρωτα ἐνέβαλον. Ὡς μὲν γὰρ φιλότιμός ἐστιν, εὔδηλον, ὃς τοῦ κηρυχθῆναι ἕνεκα νικῶν παγκράτιον, πολλοὺς μὲν πό-

δοκοῦσι δ' ἔμοιγε et cet. videtur virum doctum in eum errorem induxisse timor satis inutilis de honore philosophiæ Socraticæ. Nam ita, inquit, Socrates significaret, honestum nil natura esse, sed eandem rem pro cujusque civitatis legibus vel turpem esse vel honestam. Quidni enim Socrates novit et agnovit multa in civitatibus Græcis honesta vel minus honesta haberi, de quibus leges Atticæ aliter statuerent? Hoc si fuit hic etiam professus Socrates, ideo non potest nec debet videri significasse honestum nihil esse natura.

35. Λακεδαιμόνιοι] Vide nostrum de Republ. Laced. ii. 13. Perizonium ad Æliani V. H. iii. 12.

πόλει] Cum extra patriam urbi sociæ succurritur. Ita licebit defendere vocabulum inclusum a Langio, qui χώρᾳ intelligi malebat. Ante τῷ ἐραστῇ cum Leonclavio Welsius σὺν inseruit, quod Attici in hoc genere orationis omittunt.

ὅμως] Cum Bachio ita scripsit Weiske, ὁμοίως minus usitatum defendit Zeune.

τὴν Αἰδῶ] Edd. vett. αἰδῶ. Statuam Pudoris extra urbem Lacedæmonem memorat Pausanias Lacon. c. 20. Sed etiam Athenis ara fuit Pudori posita, teste eodem in Attic. c. xvii. 1. Sed Xenophon simul figurate locutus est. Impudentiam enim fecerat antea matrem amorum puerilium.

36. ἐπισκοπῶμεν] Optativum modum ratio loquendi postulare videtur.

πιστεύσειεν—παρακατατίθεσθαι] Eadem est locutio Memorabil. iv. 4, 17.

χάριτας] Minime sunt res eæ, quibus maxime quisque delectatur, uti censet Lange, sed gratia et beneficia.

37. εὔδηλον] Juntinæ ἄδηλον Castalio cum Brodæo mutavit in οὐκ ἄδηλον.

38 νους, πολλὰ δ᾽ ἄλγη ἀνέχεται. Εἰ δὲ οἴοιτο μὴ μόνον ἑαυ-
τὸν καὶ τὸν πατέρα κοσμήσειν, ἀλλ᾽ ἱκανὸς γενήσεσθαι, δι᾽
ἀνδραγαθίαν καὶ φίλους εὖ ποιεῖν, καὶ τὴν πατρίδα αὔξειν,
τρόπαια τῶν πολεμίων ἱστάμενος, καὶ διὰ ταῦτα περίβλεπτός
τε καὶ ὀνομαστὸς ἔσεσθαι καὶ ἐν Ἕλλησι καὶ ἐν βαρβάροις,
πῶς οὐκ οἴει αὐτὸν, ὅντιν᾽ ἡγοῖτο εἰς ταῦτα συνεργὸν εἶναι κρά-
39 τιστον, τοῦτον ταῖς μεγίσταις ἂν τιμαῖς περιέπειν; Εἰ οὖν
βούλει τούτῳ ἀρέσκειν, σκεπτέον μέν σοι, ποῖα ἐπιστάμενος
Θεμιστοκλῆς ἱκανὸς ἐγένετο τὴν Ἑλλάδα ἐλευθεροῦν· σκεπτέον
δὲ, ποῖά ποτε εἰδὼς Περικλῆς κράτιστος ἐδόκει τῇ πατρίδι
σύμβουλος εἶναι· ἀθρητέον δὲ καὶ, πῶς ποτε Σόλων φιλοσο-
φήσας, νόμους κρατίστους τῇ πόλει κατέθηκεν· ἐρευνητέον δὲ
καὶ, ποῖα Λακεδαιμόνιοι ἀσκοῦντες, κράτιστοι δοκοῦσιν ἡγε-
μόνες εἶναι· πρόξενοι δὲ καὶ κατάγονται ἀεὶ παρὰ σοὶ οἱ κρά-
40 τιστοι αὐτῶν. Ὡς μὲν οὖν σοι ἡ πόλις ταχὺ ἂν ἐπιτρέψειεν
αὐτὴν, εἰ βούλει, εὖ ἴσθι. Τὰ μέγιστα γάρ σοι ὑπάρχει.
Εὐπατρίδης εἶ, ἱερεὺς θεῶν τῶν ἀπ᾽ Ἐρεχθέως, οἳ καὶ ἐπὶ τὸν

38. τρόπαια τῶν πολεμίων] Juntina τρόπαιον, deinde πόλεων edd. vitium ex Ribitti versione correxit Steph. secunda.

ἡγοῖτο] Castalio ἡγεῖτο dedit, errore operarum.

39. Περικλῆς—ἐδόκει] Mortuum Periclem ita significat Xenophon hoc tempore, i. e. Olymp. 89. anno 4. Contra male Plato in Protagora, (cum quo Socratem facit loquentem Olymp. 89. anno 3.) p. 106. ἐπεὶ Περικλῆς ὁ τουτωνὶ τῶν νεανίσκων πατὴρ, τούτους ἃ μὲν διδασκάλων εἴχετο, καλῶς καὶ εὖ ἐπαίδευεν, ἃ δὲ αὐτὸς σοφός ἐστιν, οὔτε αὐτὸς παιδεύει οὔτε τῳ ἄλλῳ παραδίδωσι. Periclem tanquam viventem nominavit, jam Olymp. 87. anno 4. mortuum, ut ex Thucydide ii. 65. et Athenæo v. p. 337. constat.

ἐρευνητέον δὲ καὶ] Juntina καὶ omisit.

πρόξενοι] Callias in oratione ad Lacedæmonios apud Nostrum Hellenic. vi. 3, 4. τὴν μὲν προξενίαν ὑμῶν οὐκ ἐγὼ μόνος ἀλλὰ καὶ πατρὸς πατὴρ πατρῴαν ἔχων παρεδίδου τῷ γένει.

40. ἱερεὺς θεῶν] Intelligunt Cererem et Proserpinam, quæ in sacris Eleusiniis ab Erechtheo institutis colebantur. De Erechtheo nullum testimonium præterea attulit Grammius Histor. Deorum p. 104. quem laudavit Zeune. Equidem Iacchum etiam intelligi puto, non solum ideo, quod Xenophon statim addit, hos ab Erechtheo primum publice cultos deos cum Iaccho Atheniensibus auxilio fuisse, sed movet me etiam locus Eupolidis in Disputatione de tempore Xenophontei Dialogi positus, ubi comicus Hipponicum Calliæ patrem ἱερέα Διονύσου vocavit. Δᾳδοῦχος Callias est in Xenophontis H. Gr. l. c.

ἐπὶ τὸν βαρβάρον] Xerxem, cum quo Græcis ad Salamina prælium navale committentibus Deos Eleusinios cum Iaccho auxilio venisse narrant Herodotus aliique.

βάρβαρον σὺν Ἰάκχῳ ἐστράτευσαν· καὶ νῦν ἐν τῇ ἑορτῇ ἱερο-
πρεπέστατος δοκεῖς εἶναι τῶν προγεγενημένων, καὶ σῶμα ἀξιο-
πρεπέστατον μὲν ἰδεῖν τῆς πόλεως ἔχεις, ἱκανὸν δὲ μόχθους
ὑποφέρειν. Εἰ δ' ὑμῖν δοκῶ σπουδαιολογῆσαι μᾶλλον, ἢ 41
παρὰ πότον πρέπει, μηδὲ τοῦτο θαυμάζετε. Ἀγαθῶν γὰρ
φύσει, καὶ τῆς ἀρετῆς φιλοτίμως ἐφιεμένων ἀεί ποτε τῇ πόλει
συνεραστὴς ὢν διατελῶ. Οἱ μὲν δὴ ἄλλοι περὶ τῶν ῥηθέντων 42
διελέγοντο, ὁ δ' Αὐτόλυκος κατεθεᾶτο τὸν Καλλίαν. Καὶ ὁ
Καλλίας δὲ παρορῶν εἰς ἐκεῖνον εἶπεν, οὐκοῦν σύ με, ὦ Σώ-
κρατες, μαστροπεύσεις πρὸς τὴν πόλιν, ὅπως πράττω τὰ πο-
λιτικὰ, καὶ ἀεὶ ἀρεστὸς ὦ αὐτῇ. Ναὶ μὰ Δί', ἔφη, ἢν ὁρῶσι 43
γέ σε μὴ τῷ δοκεῖν, ἀλλὰ τῷ ὄντι ἀρετῆς ἐπιμελούμενον. Ἡ
μὲν γὰρ ψευδὴς δόξα ταχὺ ἐλέγχεται ὑπὸ τῆς πείρας· ἡ δ'
ἀληθὴς ἀνδραγαθία, ἢν μὴ θεὸς βλάπτῃ, ἀεὶ ἐν ταῖς πράξεσι
λαμπροτέραν τὴν εὔκλειαν συμπαρέχεται.

CAP. IX.

ΟΥΤΟΣ μὲν δὴ ὁ λόγος ἐνταῦθα ἔληξεν. Αὐτόλυκος δὲ 1
(ἤδη γὰρ ὥρα ἦν αὐτῷ) ἐξανίστατο εἰς περίπατον· καὶ ὁ Λύ-
κων ὁ πατὴρ αὐτῷ συνεξιὼν, ἐπιστραφεὶς εἶπε, νὴ τὴν Ἥραν,
ὦ Σώκρατες, καλός τε κἀγαθὸς δοκεῖς μοι ἄνθρωπος εἶναι.
Ἐκ δὲ τούτου πρῶτον μὲν θρόνος τις ἔνδον κατετέθη, ἔπειτα 2
δὲ ὁ Συρακόσιος εἰσελθὼν εἶπεν· ὦ ἄνδρες, Ἀριάδνη εἴσεισιν εἰς
τὸν ἑαυτῆς τε καὶ Διονύσου θάλαμον· μετὰ δὲ τοῦθ' ἥξει Διό-
νυσος, ὑποπεπωκὼς παρὰ θεοῖς, καὶ εἴσεισι πρὸς αὐτὴν, ἔπειτα
παιξοῦνται πρὸς ἀλλήλους. Ἐκ τούτου πρῶτον μὲν ἡ Ἀρι- 3
άδνη ὡς νύμφη κεκοσμημένη παρῆλθε, καὶ ἐκαθέζετο ἐπὶ τοῦ
θρόνου. Οὕτω δὲ φαινομένου τοῦ Διονύσου, ηὐλεῖτο ὁ βακχεῖος

ἐν τῇ ἑορτῇ] Male de Panathenæis magnis interpretatur Zeune; recte τὰ Ἐλευσίνια intelligit Weiske.

τῆς πόλεως] Pro τῶν πολιτῶν dictum interpretantur.

Cap. IX. 1. ἤδη γὰρ ὥρα ἦν αὐτῷ] Ex legibus scilicet gymnasticis, quas respiciebat item supra cap. viii. sect. 37. πολλοὺς μὲν πόνους, πολλὰ δ' ἄλγη ἀνέχεται. Sed simul etiam Xenophontis ingenium pudori Autolyci consuluit, ne scenam statim exhibendam adspiceret puer ingenuus.

2. θρόνος] Totum hunc locum et verba singula diligenter illustravit doctus vir, Bœttiger, in libello vernaculo: Journal des Luxus und der Moden 1802. Januar. p. 9—20. ut cognovi ex Commentar. Societ. philolog. Lips. vol. ii. p. 325.

ῥυθμός. Ἔνθα δὴ ἠγάσθησαν τὸν ὀρχηστοδιδάσκαλον. Εὐθὺς
μὲν γὰρ ἡ Ἀριάδνη ἀκούσασα, τοιοῦτό τι ἐποίησεν, ὡς πᾶς ἂν
ἔγνω, ὅτι ἀσμένη ἤκουσε· καὶ ὑπήντησε μὲν οὔ, οὐδὲ ἀνέστη,
4 δήλη δ' ἦν μόλις ἠρεμοῦσα. Ἐπεί γε μὴν κατεῖδεν αὐτὴν ὁ
Διόνυσος, ἐπιχορεύσας, ὥσπερ ἂν εἴτις φιλικώτατα, ἐκαθέζετο
ἐπὶ τῶν γονάτων. Καὶ περιλαβὼν ἐφίλησεν αὐτήν. Ἡ δ'
αἰδουμένη μὲν ἐῴκει, ὅμως δὲ φιλικῶς ἀντιπεριελάμβανεν.
Οἱ δὲ συμπόται ὁρῶντες ἅμα μὲν ἐκρότουν, ἅμα δὲ ἐβόων αὖ-
5 θις. Ὡς δὲ ὁ Διόνυσος ἀνιστάμενος συνανέστησε μεθ' ἑαυτοῦ
τὴν Ἀριάδνην, ἐκ τούτου δὴ φιλούντων τε καὶ ἀσπαζομένων
ἀλλήλους σχήματα παρῆν θεάσασθαι. Οἱ δ', ὁρῶντες ὄντως
καλὸν μὲν τὸν Διόνυσον, ὡραίαν δὲ τὴν Ἀριάδνην, οὐ σκώπτον-
τας δέ, ἀλλ' ἀληθινῶς τοῖς στόμασι φιλοῦντας, πάντες ἀνε-
6 πτερωμένοι ἐθεῶντο. Καὶ γὰρ ἤκουον τοῦ Διονύσου μὲν ἐπε-
ρωτῶντος αὐτήν, εἰ φιλεῖ αὐτόν, τῆς δ' οὕτως ἐπομνυούσης,
ὥστε μὴ μόνον τὸν Διόνυσον, ἀλλὰ καὶ τοὺς παρόντας ἅπαν-
τας συνομόσαι ἄν, ἦ μὴν τὸν παῖδα καὶ τὴν παῖδα ὑπ' ἀλ-
λήλων φιλεῖσθαι. Ἐῴκεσαν γὰρ οὐ δεδιδαγμένοις τὰ σχή-
7 ματα, ἀλλ' ἐφεμένοις πράττειν, ἃ πάλαι ἐπεθύμουν. Τέλος
δὲ οἱ συμπόται ἰδόντες περιβεβληκότας τε ἀλλήλους, καὶ ὡς
εὐνὴν ἀπιόντας, οἱ μὲν ἄγαμοι γαμεῖν ἐπώμνυσαν, οἱ δὲ γεγα-
μηκότες, ἀναβάντες ἐπὶ τοὺς ἵππους, ἀπήλαυνον πρὸς τὰς
ἑαυτῶν γυναῖκας, ὅπως τούτων τύχοιεν. Σωκράτης δὲ καὶ
τῶν ἄλλων οἱ ὑπομείναντες, πρὸς Λύκωνα καὶ τὸν υἱὸν σὺν
Καλλίᾳ περιπατήσοντες ἀπῆλθον. Αὕτη τοῦ τότε συμποσίου
κατάλυσις ἐγένετο.

3. τοιοῦτό τι ἐποίησεν] Est quod cap. i. sect. 9. dicitur ἐσχηματίζοντό πως.

4. ἐπὶ τῶν γονάτων] Genibus Ariadnæ insidens Dionysus ne lectoribus immodestus et rusticus videretur, admonuit Weiske, cogitandum esse deum et ebrium et ad mores vitæ priscæ expressum.

5. οὐ σκώπτοντας] Esse h. l. σκώπτειν imitari, simulare, docet oppositum ἀληθινῶς φιλεῖν.

6. ὥστε μὴ μόνον] Edd. vett. ὥστε omittunt, ὡς dedit Castal.

συνομόσαι] Hoc e margine Steph. et Villoisoni recepit Weiske in locum vulgati ἐπομόσαι.

ἐφεμένοις] Juntina ἐφειγμένοις, Aldina ἐφειμένοις.

7. γεγαμηκότες] Niceratus cum Critobulo. Vide ad cap. i. sect. 7. dicta.

PRÆFATIO

AD

XENOPHONTIS HIERONEM.

SIMONIDES Ceus, Leoprepis filius, poeta, jam gravis ætate, muneribus Hieronis invitatus accessit Syracusas, teste Æliano V. H. ix. 1. Ibi Polyzelum, Hieronis fratrem, conciliavit cum Thrasydæo, Therone et Hierone, testantibus Scholiis ad Pindari Olympia ii. 29. quod factum Olympiade 76, 1. Ipse in Epigrammate Analectorum i. p. 137. profitetur, se 80. natum annos archonte Athenis Adimanto victoriam tragicam consecutum esse. Factum hoc Olymp. 75, 3. testatur marmor Arundelianum. Ab isto tempore adiit Simonides Hieronem aliquot annos plus quam 80. natus. Cum Hiero ex morbo convaluisset, sermones frequenter conferebat cum Simonide Ceo, Pindaro Thebano et Bacchylide item Ceo, teste Æliano V. H. iv. 15. Hieronem λιθουρίᾳ laborantem commemorant Scholia, ubi Pindari locum Pyth. i. 97. interpretantur, qui Hieronem ægrotantem loqui videtur. Pertinet istud carmen ad Olymp. 77, 2. Colloquia Hieronis cum Simonide celebravit antiquitas, ut constat ex Epistola Platonis ad Dionysium ii. p. 65. ed. Bipont.: οἷον καὶ περὶ Ἱέρωνος ὅταν διαλέγωνται ἄνθρωποι, καὶ Παυσανίου τοῦ Λακεδαιμονίου, χαίρουσι τὴν Σιμωνίδου ξυνουσίαν παραφέροντες, ἅ τε ἔπραξε καὶ εἶπε πρὸς αὐτούς. Simonidis et Pausaniæ sermones aliquot in convivio dictos refert Ælianus V. H. ix. 41. Aristoteles Rhetor. ii. 16. ὅθεν καὶ τὸ Σιμωνίδου εἴρηται περὶ τῶν σοφῶν καὶ πλουσίων πρὸς τὴν γυναῖκα τὴν Ἱέρωνος ἐρομένην, πότερον γενέσθαι κρεῖττον πλούσιον ἢ σοφὸν, πλούσιον εἰπεῖν· τοὺς γὰρ σοφοὺς ὁρᾷν ἐπὶ ταῖς τῶν πλουσίων θύραις ἔφη διατρίβοντας. De Eubulo et Socrate eadem narrant Scholia Platonica Ruhnkenii p. 169. Cf. Synesii Epistola xlix. p. 187. Cum Hierone versantem Epicharmum poetam et Xenophanem Colophonium habet Plutarchus in Apophthegm. Regum p. 89.

De Epicharmo poeta cum Hierone versante narrat quædam Plutarchus de Discrimine Amici et Adulatoris cap. xl. p. 218. ed. Hutten.

ΞΕΝΟΦΩΝΤΟΣ

ΙΕΡΩΝ Η ΤΥΡΑΝΝΙΚΟΣ.

CAP. I.

ΣΙΜΩΝΙΔΗΣ ὁ ποιητὴς ἀφίκετό ποτε πρὸς Ἱέρωνα τὸν τύ- 1
ραννον. Σχολῆς δὲ γενομένης ἀμφοῖν, εἶπεν ὁ Σιμωνίδης, ἆρ'
ἄν μοι ἐθελήσαις, ὦ Ἱέρων, διηγήσασθαι, ἃ εἰκὸς εἰδέναι σὲ
βέλτιον ἐμοῦ; Καὶ ποῖα ταῦτ' ἐστὶν, ἔφη ὁ Ἱέρων, ὁποῖα δὴ
ἐγὼ βέλτιον ἂν εἰδείην σοῦ οὕτως ὄντος σοφοῦ ἀνδρός; Οἶδά 2
σε, ἔφη, ἐγὼ καὶ ἰδιώτην γεγενημένον, καὶ νῦν τύραννον ὄντα·
εἰκὸς οὖν, ἀμφοτέρων πεπειραμένον, καὶ εἰδέναι σε μᾶλλον
ἐμοῦ, πῇ διαφέρει ὁ τυραννικός τε καὶ ὁ ἰδιωτικὸς βίος εἰς εὐ-
φροσύνας τε καὶ λύπας ἀνθρώποις. Τί οὖν, ἔφη ὁ Ἱέρων, 3
οὐχὶ καὶ σὺ, ἐπεὶ νῦν γε ἔτι ἰδιώτης εἶ, ὑπέμνησάς με τὰ ἐν
τῷ ἰδιωτικῷ βίῳ; οὕτω γὰρ ἄν σοι οἶμαι μάλιστα ἐγὼ δύνα-
σθαι δηλοῦν τὰ διαφέροντα ἐν ἑκατέρῳ. Οὕτω δὴ ὁ Σιμωνί- 4
δης εἶπε, τοὺς μὲν δὴ ἰδιώτας ἔγωγε, ὦ Ἱέρων, δοκῶ μοι κα-
ταμεμαθηκέναι διὰ μὲν τῶν ὀφθαλμῶν ὁράμασιν ἡδομένους τε
καὶ ἀχθομένους· διὰ δὲ τῶν ὤτων, ἀκούσμασι· διὰ δὲ τῶν
ῥινῶν, ὀσμαῖς· διὰ δὲ τοῦ στόματος, σίτοις τε καὶ ποτοῖς·
τὰ δὲ ἀφροδίσια, δι' ὧν δὴ πάντες ἐπιστάμεθα· τὰ δὲ ψύχη 5
καὶ θάλπη, καὶ σκληρὰ καὶ μαλακὰ, καὶ κοῦφα καὶ βαρέα,

ΞΕΝΟΦΩΝΤΟΣ] Juntina ῥήτορος addit. Titulum vulgarem habet etiam Athenæus iii. p. 122.

Cap. 1. sect. 1. ὁποῖα δὴ] Stobæus Florileg. Serm. xlviii. p. 346. ed. Basil. qui h. l. excerpsit, δὴ omisit.

2. ὁ ἰδιωτικὸς—ἀνθρώποις] Lips. Codex articulum ὁ omittit; Stobæus ἀνθρώπων dat.

3. ὑπέμνησάς με] Errorem Stephani, qui Stobæi ὑπομνήσειας probavit, atque eorum, qui lectionem falsam receperunt, notavit Weiske. Vulgata Atticis familiaris est. Cf. ad Cyropæd. ii. 1, 4. eamque firmat Lips. liber.

5. τὰ δὲ ἀφροδίσια] Lips. τὰ δ' ἀφροδ. Intellige κατὰ τὰ ἀφρ. cum Weiskio. Male enim Zeune ad sequens κρίνοντες referebat.

σκληρὰ] Stobæus καὶ στρυφνὰ addit, alienum ab h. l. additamentum.

ὅλῳ τῷ σώματί μοι δοκοῦμεν, ἔφη, κρίνοντες ἥδεσθαί τε καὶ
λυπεῖσθαι ἐπ' αὐτοῖς· ἀγαθοῖς δὲ καὶ κακοῖς ἔστι μὲν ὅτε δι'
αὐτῆς τῆς ψυχῆς μοι δοκοῦμεν ἥδεσθαι, ὅτε δ' αὖ λυπεῖσθαι,
ἔστι δ' ὅτε κοινῇ καὶ διά τε τῆς ψυχῆς καὶ διὰ τοῦ σώμα-
6 τος· τῷ δὲ ὕπνῳ ὅτι μὲν ἡδόμεθα, δοκῶ μοι αἰσθάνεσθαι·
ὅπως δὲ, καὶ ᾧ τινι, καὶ ὁπότε, ταῦτα μᾶλλόν πως, ἔφη,
δοκῶ μοι ἀγνοεῖν. Καὶ οὐδὲν ἴσως τοῦτο θαυμαστὸν, εἰ τὰ
ἐν τῷ ἐγρηγορέναι σαφεστέρας ἡμῖν τὰς αἰσθήσεις παρέχεται
7 ἢ τὰ ἐν τῷ ὕπνῳ. Πρὸς ταῦτα δὴ ὁ Ἱέρων ἀπεκρίνατο, ἐγὼ
μὲν τοίνυν, ἔφη, ὦ Σιμωνίδη, ἔξω τούτων, ὧν εἴρηκας σύ γε,
οὐδ', ὅπως ἂν αἴσθοιτό τινος ἄλλου ὁ τύραννος, ἔχοιμ' ἂν εἰ-
πεῖν. Ὥστε μέχρι γε τούτων οὐκ οἶδ' εἴ τινι διαφέρει ὁ τυ-
8 ραννικὸς βίος τοῦ ἰδιωτικοῦ βίου. Καὶ ὁ Σιμωνίδης εἶπεν,
ἀλλ' ἐν τοῖσδε, ἔφη, διαφέροι ἂν, εἰ πολλαπλάσια μὲν δι'
ἑκάστου τούτων εὐφραίνεται, πολὺ δὲ μείω τὰ λυπηρὰ ἔχει.
Καὶ ὁ Ἱέρων εἶπεν, οὐχ οὕτως ἔχει, ὦ Σιμωνίδη, ταῦτα· ἀλλ'
εὖ ἴσθι ὅτι πολὺ μείω εὐφραίνονται οἱ τύραννοι τῶν μετρίως

Idem *μαλθακὰ καὶ βαρέα καὶ κοῦφα* dat, postea *ἀγαθοῖς τε καὶ κακοῖς*, quam lectionem Aretinus reddidisse interpretando videtur. denique *ὅτε τε καὶ λυπεῖσθαι—κοινῇ διὰ τῆς ψυχῆς καὶ τοῦ σώματος* Stobæus.

6. *τῷ δὲ ὕπνῳ*] Lips. *τῷ δ' ὕπνῳ*. deinde *δοκῶ μοι ὅτι αἰσθ.* edd. veteres excepta Castal. *μοι* omittit Stobæus.

ὅπως—ᾧ τινι—ὁπότε] Quo modo, qua parte corporis, obdormiscentes an dormientes.

μᾶλλόν πως—ἀγνοεῖν] Zeune intelligit *ἢ ἄλλο ὅ τι οὖν*; ego vero ad *αἰσθάνεσθαί μοι δοκῶ* refero: *quo certius voluptatem somni percipere mihi videor, eo magis ignoro* et cet.

οὐδὲν ἴσως] Stobæus *οὐδὲν δὴ ἴσως* habet, quod probari poterat. Deindè *ἀπεκρίνετο* Lips. liber dat.

7. *ὅπως ἂν*] Ex Stobæo *ἂν* adscivit Stephan. secunda; deinde *μέχρι γε τούτων* pro *τούτου* ex eodem adsumsi; postea idem *οἶδα ὅτι* dat, margo Stephan. et Villoison. *εἴ τι*. Denique *βίος* omisit Stobæus, quod tamen a sermone populari et simplice non abhorret.

8. *ἀλλ' ἐν τοῖσδε*] Stobæus *ἀλλὰ ἐν μὲν τοῖσδε*, et sequens *ἔφη* Codex Stobæi damnat lineola subducta.

διαφέροι ἂν, εἰ] Hanc ex Stobæo scripturam recepit Zeune, antiquam vero *διαφέρει· πολλαπλάσια* revocavit Weiske, nulla edita ratione, quæ in Stobæana patet, utpote modestam Simonidis responsionem habente, cum in vulgari desideretur particula *γὰρ* vel similis. Præterea Brunckius ad Aristophanis Plutum versu 1037. *εὐφραίνοιτο—ἔχοι* corrigit, admodum probabiliter.

εὖ ἴσθι ὅτι] Stobæi Codex *ἴσθ' ὅτι*. Deinceps *μείω πολὺ* Lips. liber. Postea *ὑπηρετῶν* pro *ἰδιωτῶν* editus Stobæus, rectum scriptus habet. *μετρίως διαγ.* Brodæus interpretatur *μ. διαιτωμένων*, quo sensu est sect. 19. sed Weiske latiore sensu *qui in mediocri fortuna constituti sunt.*

διαγόντων ἰδιωτῶν, πολὺ δὲ πλείω καὶ μείζω λυποῦνται.
Ἄπιστα λέγεις, ἔφη ὁ Σιμωνίδης. Εἰ γὰρ οὕτω ταῦτ' εἶχε, 9
πῶς ἂν πολλοὶ μὲν ἐπεθύμουν τυραννεῖν, καὶ ταῦτα τῶν δο-
κούντων ἱκανωτάτων ἀνδρῶν εἶναι; πῶς δὲ πάντες ἐζήλουν ἂν
τοὺς τυράννους; Ὅτι ναὶ μὰ τὸν Δί', ἔφη ὁ Ἱέρων, ἄπειροι 10
ὄντες ἀμφοτέρων τῶν ἔργων σκοποῦνται περὶ αὐτοῦ. Ἐγὼ δὲ
πειράσομαί σε διδάσκειν, ὅτι ἀληθῆ λέγω, ἀρξάμενος ἀπὸ τῆς
ὄψεως· ἐντεῦθεν γὰρ καὶ σὲ δοκῶ μεμνῆσθαι ἀρξάμενον λέγειν.
Πρῶτον μὲν γὰρ ἐν τοῖς διὰ τῆς ὄψεως θεάμασι λογιζόμενος 11
εὑρίσκω μειονεκτοῦντας τοὺς τυράννους. Ἄλλα μέν γε ἐν
ἄλλῃ χώρᾳ ἐστὶν ἀξιοθέατα· ἐπὶ δὲ τούτων ἕκαστα οἱ μὲν
ἰδιῶται ἔρχονται καὶ εἰς πόλεις, ἃς ἂν βούλωνται, θεαμάτων
ἕνεκα, καὶ εἰς τὰς κοινὰς πανηγύρεις, ἔνθα τὰ ἀξιοθεατότατα
δοκεῖ εἶναι ἀνθρώποις συναγείρεσθαι. Οἱ δὲ τύραννοι οὐ μάλα 12
ἀμφὶ θεωρίας ἔχουσιν. Οὔτε γὰρ ἰέναι αὐτοῖς ἀσφαλὲς,
ὅπου μὴ κρείττονες τῶν παρόντων μέλλουσιν ἔσεσθαι, οὔτε τὰ

9. εἶχε] Ex Stobæo edito et scripto hoc in locum ἔχει vulgati recepit Weiske, in tali nexu imperfecta et aoristos post εἰ vim conjunctivi habere monens.

ἱκανωτάτων] Oppositi τοῖς μετρ. διάγουσι sunt opibus pollentes, monente Weiskio. Deinde πάντα dat Codex Lips.

10. Δί', ἔφη] Margo Villois. Δία, ἔφη. Sequens περὶ αὐτοῦ refertur ad τὸ τυραννεῖν, igitur ἀμφότερα ἔργα sunt effectus uterque, quæ eveniunt tyrannis et privatis. Postea ὡς ἀληθῆ Stobæus dat.

καὶ σὲ δοκῶ] Codex Lips. δοκῶ καὶ σὲ habet, ut paulo post εὑρίσκω λογιζόμενος Stobæus.

11. ἄλλα μέν γε] Aretinus et Erasmus vertunt, quasi ἄλλα μὲν γὰρ scriptum legeretur, sed comparat Zeune locum Sympos. vi. 7.

ἃς ἂν βούλωνται] Codex Lips. ἃς βούλονται. Deinde edd. veteres ἀξιοθεώτατα dant cum Codice Lips. ἀξιοθεάτατα margo Villois. quæ scriptura habet vestigia Weiskiani ἀξιοθεατώτατα. Stephanus ἀξιοθέατα dedit. Zeune Codicis Stobæani ἀξιώτατα recepit, ut sequens συναγείρεσθαι cum eo copuletur hoc sensu: *ubi videntur esse dignissima, quæ ab hominibus comportentur*. Alias verbum συναγείρεσθαι non habet unde pendeat. Igitur Leoncl. conjecerat: ἔνθα ἃ ἀξιοθέατα δοκεῖ εἶναι ἀνθρώποις, συναγείρεσθαι: quam conjecturam receperunt Bachius et Welsius. Zeunii ratio omnium durissima et ineptissima merito visa est Weiskio, cujus conjectura ἔνθα τὰ ἀξιοθεατώτατα τὰ ἐν ἀνθρώποις δοκεῖ συν. maxime mihi omnium placet. Præterea tamen in Xenophonte displicent verba θεαμάτων ἕνεκα, plane superflua post illa ἐπὶ δὲ τούτων ἕκαστα, nec ad concinnitatem orationis conferre aliquid videntur.

12. κρείττονες] Cod. Lips. κρείσσονες. Idem sequens τε post ἅμα omittit cum Juntina et Codice Stobæi, qui liber Stobæi ἔχουσι pro κέκτηνται dat. Ceterum sententiam eandem Plato Reipubl. ix. p. 254. de

οἶκοι κέκτηνται ἐχυρὰ, ὥστε ἄλλοις παρακαταθεμένους ἀπο-
δημεῖν. Φοβερὸν γὰρ, μὴ ἅμα τε στερηθῶσι τῆς ἀρχῆς, καὶ
13 ἀδύνατοι γένωνται τιμωρήσασθαι τοὺς ἀδικήσαντας. Εἴποις
οὖν ἂν ἴσως σὺ, ἀλλ' ἄρα ἔρχεται αὐτοῖς τὰ τοιαῦτα καὶ οἴκοι
μένουσι. Ναὶ μὰ Δία, ὦ Σιμωνίδη, ὀλίγα τε τῶν πολλῶν·
καὶ ταῦτα τοιαῦτα ὄντα οὕτω τίμια πωλεῖται τοῖς τυράννοις,
ὥστε οἱ ἐπιδεικνύμενοι καὶ ὁτιοῦν, ἀξιοῦσι πολλαπλάσια λα-
βόντες ἐν ὀλίγῳ χρόνῳ ἀπιέναι παρὰ τοῦ τυράννου, ἢ ὅσα ἐν
παντὶ τῷ βίῳ παρὰ πάντων τῶν ἄλλων ἀνθρώπων κτῶνται.
14 Καὶ ὁ Σιμωνίδης εἶπεν, ἀλλ' εἰ τοῖς θεάμασι μειονεκτεῖτε, διά
γε τοι τῆς ἀκοῆς πλεονεκτεῖτε. Ἐπεὶ τοῦ μὲν ἡδίστου ἀκροά-
ματος ἐπαίνου οὔποτε σπανίζετε· πάντες γὰρ οἱ παρόντες ὑμῖν
πάντα, καὶ ὅσα ἐὰν λέγητε, καὶ ὅσα ἐὰν ποιῆτε, ἐπαινοῦσι.
Τοῦ δ' αὖ χαλεπωτάτου ἀκροάματος, λοιδορίας, ἀνήκοοί ἐστε.
15 Οὐδεὶς γὰρ ἐθέλει τυράννου κατ' ὀφθαλμοὺς κατηγορεῖν. Καὶ
ὁ Ἱέρων εἶπε, καὶ τί οἴει, ἔφη, τοὺς μὴ λέγοντας κακῶς εὐ-
φραίνειν, ὅταν εἰδῇ τις σαφῶς, ὅτι οἱ σιωπῶντες οὗτοι πάντες
[πάντα] κακὰ νοοῦσι τῷ τυράννῳ; ἢ τοὺς ἐπαινοῦντας τί δο-
κεῖς εὐφραίνειν, ὅταν ὕποπτοι ὦσιν ἕνεκα τοῦ κολακεύειν τοὺς
16 ἐπαίνους ποιεῖσθαι; Καὶ ὁ Σιμωνίδης εἶπε, τοῦτο μὲν δὴ, ναὶ

vita tyranni ita explicat: λίχνῳ δὲ ὄντι αὐτῷ τὴν ψυχὴν μόνῳ τῶν ἐν τῇ πόλει οὔτε ἀποδημῆσαι ἔξεστιν οὐδαμόσε, οὔτε θεωρῆσαι, ὅσων δὴ καὶ οἱ ἄλλοι ἐλεύθεροι ἐπιθυμηταί εἰσι, καταδεδυκὼς δὲ ἐν τῇ οἰκίᾳ τὰ πολλὰ ὡς γυνὴ ζῇ φθονῶν καὶ τοῖς ἄλλοις πολίταις, ἐάν τις ἔξω ἀποδημῇ καί τι ἀγαθὸν ὁρᾷ.

13. Δία] Margo Villois. Δί' dat. Deinde Cod. Lips. dat. ὥστε καὶ οἱ ἐπιδ.

14. εἰ τοῖς θεάμασι] Edd. antiquæ θεάτροις dant, Stobæus εἰ ἐν τοῖς θεάμασι—ἐν ταῖς ἀκοαῖς.

ἐπεὶ] Male Stobæus ἐπειδὴ habet. Sequens ἐὰν—ἐὰν ex Stobæo scripto et edito in ἂν—ἂν mutavit Zeune.

15. εἰδῇ] Stobæus editus ἴδῃ dat. Sequens πάντα suadente Stephano primus Zeune ex Stobæo scripto, quo Stephanus usus est, addidit; Turicensis enim editio πάντα κακὰ dat, apposito in margine πάντες, quod Codex Paris. a Brunckio inspectus in textu habet. Quod ait Zeune eam scripturam graviorem et Hierone commoto digniorem esse, nescio quam ille commotionem animi significare voluerit. Colloquitur enim amice cum Simonide. Sed quod addit exemplum ex cap. vii. 2. πάντες πάντα τὰ προσταττόμενα, non convenit cum hoc loco. Si esset πάντα κακὰ λέγουσι h. l. scriptum, probarem. Igitur seclusi πάντα.

ποιεῖσθαι] Stobæus editus et scriptus ποιούμενοι dat probante Stephano, non me; nec cum Zeunio ὥστε intelligendum est ad ποιεῖσθαι. Is enim Infinitivus ab ὕποπτοι ὦσιν pendet.

μὰ τὸν Δία, ἔγωγέ σοι, Ἱέρων, πάνυ συγχωρῶ, τοὺς ἐπαίνους
παρὰ τῶν ἐλευθερωτάτων ἥδιστους εἶναι· ἀλλ', ὁρᾷς, ἐκεῖνό γε
οὐκ ἂν ἔτι πείσαις ἀνθρώπων οὐδένα, ὡς οὐχὶ, δι' ὧν τρεφό-
μεθα οἱ ἄνθρωποι, πολὺ πλείω ὑμεῖς ἐν αὐτοῖς εὐφραίνεσθε.
Καὶ οἶδά γ', ἔφη, ὦ Σιμωνίδη, ὅτι τούτῳ κρίνουσιν οἱ πλεῖστοι 17
ἥδιον ἡμᾶς καὶ πίνειν καὶ ἐσθίειν τῶν ἰδιωτῶν, ὅτι δοκοῦσι καὶ
αὐτοὶ ἥδιον ἂν δειπνῆσαι τὸ ἡμῖν παρατιθέμενον δεῖπνον, ἢ τὸ
ἑαυτοῖς. Τὸ γὰρ τὰ εἰωθότα ὑπερβάλλειν, τοῦτο παρέχει τὰς
ἡδονάς. Διὸ καὶ πάντες ἄνθρωποι ἡδέως προσδέχονται τὰς 18
ἑορτὰς, πλὴν οἱ τύραννοι. Ἔκπλεω γὰρ αὐτοῖς ἀεὶ παρε-
σκευασμέναι, οὐδεμίαν ἐν ταῖς ἑορταῖς ἔχουσιν αἱ τράπεζαι
αὐτῶν ἐπίδοσιν. Ὥστε ταύτῃ πρῶτον τῇ εὐφροσύνῃ τῆς ἐλπί-
δος μειονεκτοῦσι τῶν ἰδιωτῶν. Ἔπειτα δ', ἔφη, ἐκεῖνο εὖ οἶδ' 19
ὅτι καὶ σὺ ἔμπειρος εἶ, ὅτι ὅσῳ ἂν πλείω τις παραθῆται τὰ
περιττὰ τῶν ἱκανῶν, τοσούτῳ καὶ θᾶττον κόρος ἐμπίπτει τῆς

16. ἐλευθερωτάτων] Stobæus ἐλευθεριωτάτων dat.

ἀλλ', ὁρᾷς, ἐκεῖνό γε] Stobæus scriptus post γε signum interrogationis ponit, editus γε omittit. Leonclavius conjecit scribendum ὁρᾷς ὡς ἐκεῖνό γε, Stephanus ὅρα, μὴ, quod probavit Bachius. Ernesti ὁρᾷς deletum malebat, vel potius corrigebat ἀλλ' ἐκεῖνό γε ὁρᾷς ὅτι οὐκ ἂν ἔτι. Aretinus vertit: *Sed illico profecto nunquam persuadebis.* Zeune conjecit ὁρᾷς ortum esse ex scriptura ἄρα σὺ quæ quidem conjectura mihi maxime omnium placet. Sequens οὐχὶ pro vulgato οὐ dedit ex Stobæo utroque Zeune. Idem Codex Stobæi εὐφραίνοισθε dat.

17. τούτῳ] Stobæus editus τοῦτο habet. Deinde margo Villois. habet ἐσθίειν καὶ πίνειν—τὸ παρ' ἡμῖν συμπαρατιθέμενον. Etiam Stobæus uterque ἐσθίειν καὶ πίνειν dat, at vulgarem ordinem habet ex h. l. Athenæus iv. p. 144.

ὑπερβάλλειν] Athenæus editus et scriptus ὑπερβάλλειν habet, quod in locum vulgati ὑπερβάλλον cum Zeunio recepit Weiske.

18. ἡδέως πρ. τὰς ἑορτὰς] Stobæus uterque τὰς ἑορτὰς ἡδ. πρ. habet.

πλὴν οἱ τύραννοι] Codices a Schweighæusero inspecti dant in Athenæo πλὴν οὐχ οἱ τύρ. Sic noster in Laced. Rep. xv. 6. καὶ ἕδρας δὲ πάντες ὑπανίστανται βασιλεῖ πλὴν οὐκ ἔφοροι ἀπὸ τῶν ἐφορικῶν δίφρων.

παρεσκευασμέναι] Edd. vett. cum libro Lips. παρεσκευασμένα dant. Verba τῶν ἰδιωτῶν editus Stobæus omittit.

19. ἐκεῖνο] Athenæus ἔπειτα, ἔφη, ἐκεῖνο εὖ οἶδα. Ex Stobæo utroque Zeune ἐκείνου recepit.

ὅσῳ ἂν πλείω τις] Athenæus ὅσῳ ἂν τις πλέω. Sed editio Veneta et Basil. ὅσῳ ἂν τισι πλέω τὶ. Epitome MSta ὅσῳ ἂν πλείω τις. Codex A. ὅσῳ ἄν τις πλέων τις. Schweighæuser edidit ὅσῳ ἂν πλέω τις.

καὶ θᾶττον] Ita cum Stephano Weiske. Vulgo erat θᾶσσον. Ex Stobæo et Athenæo καὶ inseruit Zeune. Sed Athenæus Venetus et MStus

ἐδωδῆς. Ὥστε καὶ τῷ χρόνῳ τῆς ἡδονῆς μειονεκτεῖ ὁ παρατι-
20 θέμενος πολλὰ τῶν μετρίως διαιτωμένων. Ἀλλὰ ναὶ μὰ
Δί᾽, ἔφη ὁ Σιμωνίδης, ὅσον ἂν χρόνον ἡ ψυχὴ προσίηται, τοῦ-
τον πολὺ μᾶλλον ἥδονται οἱ ταῖς πολυτελεστέραις παρα-
21 σκευαῖς τρεφόμενοι τῶν τὰ εὐτελέστερα παρατιθεμένων. Οὐκ-
οῦν, ἔφη ὁ Ἱέρων, ὦ Σιμωνίδη, τὸν ἑκάστῳ ἡδόμενον μάλι-
στα, τοῦτον οἴει καὶ ἐρωτικώτατα ἔχειν τοῦ ἔργου τούτου;
Πάνυ μὲν οὖν, ἔφη. Ἦ οὖν ὁρᾷς τι τοὺς τυράννους ἥδιον ἐπὶ
τὴν ἑαυτῶν παρασκευὴν ἰόντας, ἢ τοὺς ἰδιώτας ἐπὶ τὴν ἑαυτῶν;
Οὐ μὰ τὸν Δί᾽, ἔφη, οὐ μὲν οὖν, ἀλλὰ καὶ ἀγλευκέστερον,
22 ὡς πολλοῖς ἂν δόξειε. Τί γάρ; ἔφη ὁ Ἱέρων, τὰ πολλὰ
ταῦτα μηχανήματα κατανενόηκας, ἃ παρατίθεται τοῖς τυράν-
νοις, ὀξέα καὶ δριμέα καὶ στρυφνὰ καὶ τὰ τούτων ἀδελφά;
Πάνυ μὲν οὖν, ἔφη ὁ Σιμωνίδης, καὶ πάνυ γέ μοι δοκοῦντα
23 παρὰ φύσιν εἶναι ταῦτα ἀνθρώποις. Ἄλλο τι οὖν οἴει, ἔφη ὁ
Ἱέρων, ταῦτα τὰ ἐδέσματα εἶναι, ἢ μαλακῆς καὶ ἀσθενούσης
τρυφῇ ψυχῆς ἐπιθυμήματα. Ἐπεὶ εὖ οἶδ᾽ ἔγωγε, ὅτι οἱ

habet καὶ θᾶσσον μᾶλλον. Postremum vocabulum omisit editio Basil. et Casauboni.

ἡδονῆς] Ita Steph. secunda ex Athenæo vulgatum ἐδωδῆς correxit. Deinde μειονεκτεῖς παρατ. est in edd. vett. et Codice Lips. Sed μειονεκτεῖ παρ. dedit Castal. μειονεκτεῖ ὁ πολλὰ παρατ. Stobæus uterque. Verum dedit Steph. secunda.

20. εὐτελέστερα] Athenæus εὐτελέστατα habet. Antecedens ἂν omittit Juntina.

21. Ἦ οὖν] In margine Codicis Stobæani conjecturam Τί οὖν, ὁρᾷς propositam reperit et probavit Brunckius, referente Zeunio. Idem Stobæus verba ἐπὶ τὴν ἑαυτῶν omisit.

ἀγλευκέστερον] Ex Suida hoc vulgato ἀγλυκέστερον substituit Zeune. Cf. ad Œconom. viii. 3.

22. κατανενόηκας] Editio Veneta et Codex A. Athenæi κατανενοήκατε—ἀνθρώπῳ dant, ubi Basil. et Casaub. vulgatam Xenophontis posuerunt. Deinde στριφνὰ dat liber Lips.

23. οὖν οἴει] Athenæus οὖν omittit, deinde ἢ νὴ Δία κακῆς καὶ ἀσθενούσης ψυχῆς—ἐπεὶ οἶγε ἡδέως ἔσθοντες. Ita quidem editio nupera habet, sed Basil. et Casauboniana ἢ μὴ μαλακῆς. Veneta et Codex A. ἢ μὴ διὰ κακῆς. unde ἢ νὴ Δία κακῆς in Athenæo edidit Schweighæuser eandemque Xenophonti scripturam restitutam voluit. Sed κακῆς vulgato minime præferendum videtur. Deinde ἔσθοντες eadem Veneta cum Codice A. et Epitome MSta dant in Athenæo pro ἐσθίοντες.

ἐδέσματα] Editus Stobæus ζητήματα, verum scriptus et margo editi habet, idem editus μάλα κακῆς καὶ ἀσθενοῦς dat. Particulam ἢ omittit Lips. liber.

τρυφῇ] Edd. veteres cum Lips. libro et Stobæo edito τρυφῆς, sed scriptus Stobæus plane omittit vocabulum.

ἡδέως ἐσθίοντες, καὶ σὺ που οἶσθα ὅτι, οὐδὲν προσδέονται τού-
των τῶν σοφισμάτων. Ἀλλὰ μέντοι, ἔφη ὁ Σιμωνίδης, τῶν 24
γε πολυτελῶν ὀσμῶν τούτων, αἷς χρίεσθε, τοὺς πλησιάζοντας
οἶμαι μᾶλλον ἀπολαύειν, ἢ αὐτοὺς ὑμᾶς. Ὥσπερ γε καὶ
τῶν ἀχαρίστων ὀσμῶν οὐκ αὐτὸς ὁ βεβρωκὼς αἰσθάνεται,
ἀλλὰ μᾶλλον οἱ πλησιάζοντες. Οὕτω μέντοι, ἔφη ὁ Ἱέρων, 25
καὶ τῶν σίτων ὁ μὲν ἔχων παντοδαπὰ ἀεὶ, οὐδὲν μετὰ πόθου
αὐτῶν λαμβάνει· ὁ δὲ σπανίσας τινὸς, οὗτός ἐστιν ὁ μετὰ
χαρᾶς ἐμπιμπλάμενος, ὅταν αὐτῷ προφανῇ τι. Κινδυνεύουσιν 26
οὖν, ἔφη ὁ Σιμωνίδης, αἱ τῶν ἀφροδισίων μόνον ὑμῖν ἀπολαύ-
σεις τοῦ τυραννεῖν τὰς ἐπιθυμίας παρέχειν. Ἐν γὰρ τούτῳ
ἔξεστιν ὑμῖν, ὅ τι ἂν κάλλιστον ἴδητε, τούτῳ συνεῖναι. Νῦν 27
δὴ, ἔφη ὁ Ἱέρων, εἴρηκας ἐν ᾧ, σαφ᾽ ἴσθι, πλεῖστον μειονεκτοῦ-
μεν τῶν ἰδιωτῶν. Πρῶτον μὲν γὰρ γάμος ὁ μὲν ἐκ μειζόνων
δήπου καὶ πλούτῳ καὶ δυνάμει κάλλιστος δοκεῖ εἶναι, καὶ
παρέχειν τινὰ τῷ γήμαντι φιλοτιμίαν μεθ᾽ ἡδονῆς· δεύτερον δ᾽
ὁ ἐκ τῶν ὁμοίων. Ὁ δ᾽ ἐκ τῶν φαυλοτέρων πάνυ ἄτιμός τε
καὶ ἄχρηστος νομίζεται. Τῷ τοίνυν τυράννῳ, ἂν μὴ ξένην 28

24. τῶν γε] Hoc ex edit. Castal. Steph. sec. et Stobæo pro vulgato τε dedit Zeune: pejus tamen revocavit Weiske.

ἀχαρίστων] Ita etiam margo Villois. Contra ἀχαρίτων dant edd. vett. Stobæus et Codex Lips.

25. πόθου αὐτῶν] Ad οὐδὲν referendum αὐτῶν, quare malebat οὐδὲν αὐτῶν Weiske. Deinde χαρμονῆς dat Stobæus editus, χαρᾶς scriptus. Postea πιμπλάμενος ex Juntina, Stobæo scripto et margine Steph. revocavit Zeune, Stobæus editus cum Aldina et Steph. nostrum habet. Denique προσεπιφανῇ Stobæus editus habet.

26. Κινδυνεύουσιν οὖν] Ex conjectura Heindorfii mei οὖν addidi, quod deesse facile lector quivis Græce doctus sentit. Deinde μόνων dat uterque Stobæus, postea ἴδηται edd. veteres.

27. Νῦν δὴ] Stobæus uterque Νῦν γε dat, sequens σάφ᾽ ἴσθι editus omittit. ἐν ᾧ δὲ σάφ᾽ ἴσθι Codex Lips.

πλεῖστον] Ex Stobæo utroque addidit Zeune, quod Aretinus *apertissime* interpretari videtur.

παρέχειν] Margo Steph. cum libro Lips. παρέχει.

Ὁ δ᾽ ἐκ τῶν φαυλοτέρων (γάμος scilicet) πάνυ ἄτιμός τε καὶ ἄχρηστος νομίζεται.] Ego hic potius ἀχάριστος exspectaveram, quemadmodum tam sequitur τῷ τυράννῳ, ἂν μὴ ξένην γήμῃ, ἀνάγκη ἐκ μειόνων γαμεῖν, ὥστε τὸ ἀγαπητὸν οὐ πάνυ αὐτῷ παραγίγνεται, quam præcessit γάμος ὁ μὲν ἐκ μειζόνων δήπου καὶ πλούτῳ καὶ δυνάμει κάλλιστος δοκεῖ εἶναι καὶ παρέχειν τινὰ τῷ γήμαντι φιλοτιμίαν μεθ᾽ ἡδονῆς. Quibus extremis plane respondebunt ἄτιμός τε καὶ ἀχάριστος, si ita leges. DIND.

28. ξένην] Codex Lips. ξένῳ habet, margo Steph. cum edd. vett. ἂν μὴ μὲν ξένην.

γήμῃ, ἀνάγκη ἐκ μειόνων γαμεῖν. Ὥστε τὸ ἀγαπητὸν οὐ
πάνυ αὐτῷ παραγίνεται. Πολὺ δὲ καὶ αἱ θεραπεῖαι αἱ ἀπὸ
τῶν μέγιστον φρονουσῶν γυναικῶν εὐφραίνουσι μάλιστα, αἱ δ'
ὑπὸ τῶν δούλων, παροῦσαι μὲν οὐδέν τι ἀγαπῶνται, ἐὰν δέ τι
29 ἐλλείπωσι, δεινὰς ὀργὰς καὶ λύπας ἐμποιοῦσιν. Ἐν δὲ τοῖς
παιδικοῖς ἀφροδισίοις ἔτι αὖ πολὺ μᾶλλον ἢ ἐν τοῖς τεκνο-
ποιοῖς μειονεκτεῖ τῶν εὐφροσυνῶν ὁ τύραννος. Ὅτι μὲν γὰρ
τὰ μετ' ἔρωτος ἀφροδίσια πολὺ διαφερόντως εὐφραίνει, πάντες
30 δήπου ἐπιστάμεθα· ὁ δὲ ἔρως πολὺ αὖ ἐθέλει ἥκιστα τῷ τυ-
ράννῳ ἐγγίγνεσθαι. Οὐ γὰρ τῶν ἑτοίμων ἥδεται ἔρως ἐφιέ-
μενος, ἀλλὰ τῶν ἐλπιζομένων. Ὥσπερ οὖν εἴ τις ἄπειρος ὢν
δίψους τοῦ πιεῖν οὐκ ἂν ἀπολαύοι, οὕτω καὶ ὁ ἄπειρος ὢν
31 ἔρωτος, ἄπειρός ἐστι τῶν ἡδίστων ἀφροδισίων. Ὁ μὲν οὖν
Ἱέρων οὕτως εἶπεν. Ὁ δὲ Σιμωνίδης ἐπιγελάσας πῶς λέ-
γεις, ἔφη, ὦ Ἱέρων; Τυράννῳ οὐ φῂς παιδικῶν ἔρωτας ἐμ-
φύεσθαι; Πῶς μὴν σύ, ἔφη, ἐρᾷς Δαϊλόχου τοῦ καλλίστου
32 ἐπικαλουμένου; Ὅτι, μὰ τὸν Δί', ἔφη, ὦ Σιμωνίδη, οὐ τοῦ
ἑτοίμου παρ' αὐτοῦ δοκοῦντος εἶναι τυχεῖν τούτου μάλιστα

φρονουσῶν] Codex Lips. *εὐφραινουσῶν*, margo Villois. *εὐφρονουσῶν* dat. deinde *ὑπὸ δούλων* Lips. idem postea *ἐλλίπωσιν*.

29. *Ὅτι μὲν γὰρ*] Ex Stobæo utroque *μὲν* cum Zeunio addidi, quod omisit Weiske.

30. *πολὺ αὖ*] Stobæus editus *πολὺ ἥκιστα θέλει τυράννῳ ἐμφύεσθαι*, sed scriptus habet *πολὺ αὖ ἥκιστα ἐθέλει τυρ. ἐγγίγνεσθαι*. Deinde *οὐδὲ γὰρ* liber Lips. Postea *ὁ ἔρως* ex Stobæo dedit Zeune.

τοῦ πιεῖν οὐκ ἂν ἀπολαύοι] Ex Stephani emendatione verba *οὐκ ἂν* addidit Zeune, quæ iterum omisit Weiske, negationem non esse necessariam statuens cum Leonclavio. Sed Leonclavius scribi voluit *ὥσπερ οὖν ἄν τις—τοῦ πιεῖν ἀπολαύοι*. Ita quidem negatio abesse posse videtur. Sed *ἀπολαύειν τοῦ πιεῖν* non recte dicitur, qui nec sensum ullum nec voluptatem ex potu percipit. Recte quidem Weiske annotat esse verbum *μέσον*, id est de malis et bonis dici, quibus aliquis vel utitur vel fruitur; sed falsum est, quod addit h. l. esse magis *uti* quam *frui, et hoc loco illud ἀπολαύειν non esse cum ἡδονῇ conjunctum neque ἀπολαύσεως* (des Genusses) *nomine dignum.* Stephanus *εἰ* sublatum maluit, quæ particula sane habet magnam difficultatem, et Leonclavium movisse videtur, ut ei *ἂν* substitueret. Superest ut cum *ὥσπερ* jungamus, *ὡσπερεὶ*, quasi. Negationem vertit Aretinus: *Ut igitur is, qui nunquam passus est sitim, quanta delectio sit in potu, ignorat.* Denique liber Lips. *ποιεῖν* dat.

31. *παιδικῶν*] Aldina *παιδικῶς* dat. Deinde *πῶς μὲν σὺ—καλλίστου λεγομένου* margo Villois. *ἐπὶ καλοῦ λεγομένου* Codex Lips.

ἐπιθυμῶ, ἀλλὰ τοῦ ἥκιστα τυράννῳ προσήκοντος κατεργά-
σασθαι· ἐγὼ γὰρ δὴ ἐρῶ μὲν Δαϊλόχου, ὥνπερ ἴσως ἀναγ- 33
κάζει ἡ φύσις ἀνθρώπου δεῖσθαι παρὰ τῶν καλῶν· τούτων
δὲ, ὧν ἐρῶ τυχεῖν, μετὰ μὲν φιλίας καὶ παρὰ βουλομένου
πάνυ ἰσχυρῶς ἐπιθυμῶ τυγχάνειν, βίᾳ δὲ λαμβάνειν παρ᾽
αὐτοῦ ἧσσον ἄν μοι δοκῶ ἐπιθυμεῖν, ἢ ἐμαυτὸν κακόν τι
ποιεῖν. Παρὰ μὲν γὰρ πολεμίων ἀκόντων λαμβάνειν, πάν- 34
των ἥδιστον ἔγωγε νομίζω εἶναι, παρὰ δὲ παιδικῶν βουλο-
μένων ἥδισται, οἶμαι, αἱ χάριτες εἰσίν. Εὐθὺς γὰρ παρὰ τοῦ 35
ἀντιφιλοῦντος ἡδεῖαι μὲν αἱ ἀντιβλέψεις, ἡδεῖαι δὲ αἱ ἐρωτή-
σεις, ἡδεῖαι δὲ αἱ ἀποκρίσεις, ἥδισται δὲ καὶ ἐπαφροδιτώτα-
ται αἱ μάχαι τε καὶ ἔριδες. Τὸ δὲ ἀκόντων παιδικῶν ἀπο- 36
λαύειν, λεηλασίᾳ, ἔφη, ἔμοιγε δοκεῖ ἐοικέναι μᾶλλον, ἢ ἀφρο-
δισίοις. Καί τοι τῷ μὲν λῃστῇ παρέχει τινὰς ὅμως ἡδονάς τό
τε κέρδος, καὶ τὸ ἀνιᾷν τὸν ἐχθρόν· τὸ δὲ, οὗ ἂν ἐρᾷ τις, τού-
τῳ ἥδεσθαι ἀνιωμένῳ, καὶ φιλοῦντα μισεῖσθαι, καὶ ἅπτεσθαι
ἀχθομένου, πῶς οὐχὶ τοῦτο ἤδη δυσχερὲς τὸ πάθημα καὶ
οἰκτρόν; Καὶ γὰρ δὴ τῷ μὲν ἰδιώτῃ εὐθὺς τεκμήριόν ἐστιν, 37
ὅταν ὁ ἐρώμενός τι ὑπουργῇ, ὅτι ὡς φιλῶν χαρίζεται, διὰ τὸ
εἰδέναι, ὅτι οὐδεμιᾶς ἀνάγκης οὔσης ὑπηρετεῖ· Τῷ δὲ τυράννῳ 38
οὔ ποτ᾽ ἐστὶ πιστεῦσαι, ὡς φιλεῖται. Ἐπιστάμεθα γὰρ αὖ
τοὺς διὰ φόβον ὑπηρετοῦντας, ὡς, ᾗ μάλιστ᾽ ἂν δύνωνται, ἐξει-

32. κατεργάσασθαι] Brodæus βίᾳ additum malebat, contra recte monuit Zeune intelligi μετὰ φιλίας καὶ παρὰ βουλομένου.

34. ἥδιστον, ἔγωγε] Margo Villois. ἔγωγε ἥδιστον habet.

35. ἐπαφροδιτώταται] Codex Lips. ἐπαφροδιτόταται dat. idem deinde καὶ αἱ ἔριδες. Ceterum εὐθὺς h. l. est quod alibi αὐτίκα, exempli gratia.

36. λεηλασίᾳ] Juntina τῇ λεηλ. Huc respexit Plutarchus in Amatorio p. 8. ed. Hutten. ἡ δὲ ἀπὸ τῶν ἀῤῥένων ἀκόντων μὲν καὶ μετὰ βίας λεγομένη λεηλασία et cet.

οὗ ἂν] Cod. Lips. οὗ ἐὰν dat.

37. οὐδεμιᾶς—ὑπηρετεῖ] Lips. οὐδὲ μιᾶς dat, et Weiskii correctionem pro vulgato ὑπηρετῇ confirmat.

38. γὰρ αὖ τοὺς] Hæc est Stephani emendatio pro vulgato αὐτοὺς. Weiske interpretatur: *Scimus vero etiam*, vernacule: *auf einer andern Seite die Sache betrachtet*. Deinde ἐξεικάζωσιν dedit Castalio.

Ἐπιστάμεθα γὰρ αὖ τοὺς διὰ φόβον ὑπηρετοῦντας ὡς—ἐξεικάζουσιν.] Ita Stephanus diremit αὐτοὺς quod in libris, tametsi nullus αὖ particulæ hic locus est. Scio ego quidem in hoc ipso scriptore γὰρ αὖ sæpius et reperiri consociata et male tentata esse ab Schneidero. Sed eorum alia est ratio locorum. Hic igitur τούς scribo pro αὐτούς. DIND.

κάζουσιν αὐτοὺς ταῖς τῶν φιλούντων ὑπουργίαις. Καὶ τοίνυν αἱ ἐπιβουλαὶ ἐξ οὐδένων πλέονες τοῖς τυράννοις εἰσὶν, ἢ ἀπὸ τῶν μάλιστα φιλεῖν αὐτοὺς προσποιησαμένων.

CAP. II.

1 ΠΡΟΣ ταῦτα εἶπεν ὁ Σιμωνίδης, ἀλλὰ ταῦτα μὲν πάνυ
ἔμοιγε μικρὰ δοκεῖ εἶναι, ἃ σὺ λέγεις. Πολλοὺς γὰρ, ἔφη,
ἔγωγε ὁρῶ τῶν δοκούντων ἀνδρῶν εἶναι ἑκόντας μειονεκτοῦντας
καὶ σίτων καὶ ποτῶν καὶ ὄψων, καὶ ἀφροδισίων γε ἀπεχο-
2 μένους. Ἀλλ' ἐν ἐκείνοις γε πολὺ διαφέρετε τῶν ἰδιωτῶν,
ὅτι μεγάλα μὲν ἐπινοεῖτε, ταχὺ δὲ κατεργάζεσθε· πλεῖστα
δὲ τὰ περισσὰ ἔχετε, κέκτησθε δὲ διαφέροντας μὲν ἀρετῇ ἵπ-
πους, διαφέροντα δὲ κάλλει ὅπλα, ὑπερέχοντα δὲ κόσμον
γυναιξὶ, μεγαλοπρεπεστάτας δ' οἰκίας, καὶ ταύτας κατε-
σκευασμένας τοῖς πλείστου ἀξίοις· ἔτι δὲ πλήθει καὶ ἐπι-
στήμαις θεράποντας ἀρίστους κέκτησθε· ἱκανώτατοι δὲ ἐστὲ
3 κακῶσαι μὲν ἐχθροὺς, ὀνῆσαι δὲ φίλους. Πρὸς ταῦτα δὲ ὁ
Ἱέρων εἶπεν, ἀλλὰ τὸ μὲν πλῆθος τῶν ἀνθρώπων, ὦ Σιμωνίδη,
ἐξαπατᾶσθαι ὑπὸ τῆς τυραννίδος οὐδέν τι θαυμάζω· μάλα
γὰρ ὁ ὄχλος μοι δοκεῖ δοξάζειν ὁρῶν καὶ εὐδαίμονάς τινας
4 εἶναι καὶ ἀθλίους· ἡ δὲ τυραννὶς τὰ μὲν δοκοῦντα πολλοῦ ἄξια
κτήματα εἶναι, ἀνεπτυγμένα θεᾶσθαι, φανερὰ πᾶσι παρέχε-
ται· τὰ δὲ χαλεπὰ ἐν ταῖς ψυχαῖς τῶν τυράννων κέκτηται
ἀποκεκρυμμένα, ἔνθα περ καὶ τὸ εὐδαιμονεῖν καὶ τὸ κακοδαι-

Cap. II. 1. ταῦτα εἶπεν] Cod. Lips. ταῦτα δ' εἶπεν.

δοκούντων ἀνδρῶν εἶναι] Weiskio videtur εἶναι abundare, et δοκούντων esse *conspicuorum, illustrium.* Non meminerat verborum cap. vii. 3. ἄνδρες δὲ καὶ οὐκέτι ἄνθρωποι μόνον νομιζόμενοι.

2. ταχὺ δὲ] Ex Stobæo edito et scripto ταῦτα addidit Zeune.

μεγαλοπρεπεστάτας] Stobæus editus comparativum habet, sed scriptus cum vulgato facit.

πλήθει] ἄριστοι πλήθει dici videntur Weiskio, quatenus tota familia, ut numerosior, præstat paucioribus servis, sive quatenus in laboribus, qui multorum opera indigent, plures servi proprie sunt meliores. Contra Ernesti εἴδει vel φύσει præferebat. Ceterum Stobæus πλήθει τε habet et κέκτησθε omittit.

3. οὐδέν τι] Aldina τι omisit. Deinde μάλιστα γὰρ margo Villois.

4. θεᾶσθαι, φανερὰ] Stobæus θεάσασθαι φανερῶς, sed liber Paris. cum vulgata facit. Stephanus καὶ φανερὰ dedit; Ernesti φανερὰ pro glossa verbi ἀνεπτυγμένα habuit, quem sequitur cum Zeunio Weiske, equidem Stephano accedo.

ἔνθα περ] Stobæus ἐν αἷς περ καὶ τὸ

μονεῖν τοῖς ἀνθρώποις ἀπόκειται. Τὸ μὲν οὖν τὸ πλῆθος περὶ 5
τούτου λεληθέναι, ὥσπερ εἶπον, οὐ θαυμάζω. Τὸ δὲ καὶ ὑμᾶς
ταῦτ' ἀγνοεῖν, οἳ διὰ τῆς γνώμης δοκεῖτε θεᾶσθαι κάλλιον ἢ
διὰ τῶν ὀφθαλμῶν τὰ πλεῖστα τῶν πραγμάτων, τοῦτό μοι
δοκεῖ θαυμαστὸν εἶναι. Ἐγὼ δὲ πεπειραμένος σαφῶς οἶδα, 6
ὦ Σιμωνίδη, καὶ λέγω σοι, ὅτι οἱ τύραννοι τῶν μεγίστων ἀγα-
θῶν ἐλάχιστα μετέχουσι, τῶν δὲ μεγίστων κακῶν πλεῖστα
κέκτηνται. Αὐτίκα γὰρ, εἰ μὲν εἰρήνη δοκεῖ μέγα ἀγαθὸν 7
τοῖς ἀνθρώποις εἶναι, ταύτης ἐλάχιστον τοῖς τυράννοις μέτεστιν·
εἰ δὲ πόλεμος μέγα κακὸν, τούτου πλεῖστον μέρος οἱ τύραννοι
μετέχουσιν. Εὐθὺς γὰρ τοῖς μὲν ἰδιώταις, ἂν μὴ ἡ πόλις 8
αὐτῶν κοινὸν πόλεμον πολεμῇ, ἔξεστιν, ὅποι ἂν βούλωνται
πορεύεσθαι, μηδὲν φοβουμένους, μή τις αὐτοὺς ἀποκτείνῃ· οἱ
δὲ τύραννοι πάντες πανταχῇ ὡς διὰ πολεμίας πορεύονται.
Αὐτοί τε γοῦν ὡπλισμένοι οἴονται ἀνάγκην εἶναι διάγειν, καὶ
ἄλλους ὁπλοφόρους ἀεὶ συμπεριάγεσθαι. Ἔπειτα δὲ οἱ μὲν 9
ἰδιῶται, ἐὰν καὶ στρατεύωνταί που εἰς πολεμίαν, ἀλλ' οὖν,
ἐπειδάν γε ἔλθωσιν οἴκαδε, ἀσφάλειαν σφίσιν ἡγοῦνται εἶναι·
οἱ δὲ τύραννοι ἐπειδὰν εἰς τὴν ἑαυτῶν πόλιν ἀφίκωνται, τότε ἐν
πλείστοις πολεμίοις ἴσασιν ὄντες. Ἐὰν δὲ δὴ καὶ ἄλλοι 10
στρατεύωσιν εἰς τὴν πόλιν κρείττονες, ἐὰν ἔξω τοῦ τείχους τύ-
χωσιν ὄντες οἱ ἥσσονες, ἐν κινδύνῳ δοκοῦσιν εἶναι· ἀλλ' ἐπει-

εὔδαιμον καὶ τὸ κακόδαιμον, sed liber Paris. vulgatum habet. Margo Steph. et Villois. dat κακοδαιμονεῖν.

5. περὶ τούτου λεληθέναι] Inusitata dictio λήθει με περὶ τούτου, vera me rei ratio latet!

7. ἐλάχιστον] Stobæus ἐλάχιστον μέρος μέτεστι τοῖς τυράννοις—πλεῖστον μετέχομεν οἱ τύραννοι.

8. πορεύονται] Margo Villois. διαπορεύονται dat.

10. τύχωσιν ὄντες] Leonclavii τύχωσιν cum Bachio recepit Weiske, τυγχάνωσιν additum malebat Stephanus. Defectum verbi inepte defendere conatur Zeune.

Ἐὰν δὲ δὴ καὶ ἄλλοι στρατεύωνται εἰς τὴν πόλιν κρείττονες, ἐὰν ἔξω τοῦ τείχους ὄντες οἱ ἥττονες, ἐν κινδύνῳ δοκοῦσιν εἶναι· ἀλλ' ἐπειδάν γε εἴσω τοῦ ἐρύματος ἔλθωσιν, ἐν ἀσφαλείᾳ πάντες νομίζουσι καθεστάναι.] Hæc quum hiaret oratio, Leonclavius aliique τύχωσιν addiderunt post τείχους. Id nimirum lenius erat quam δοκοῦσιν in δοκῶσιν vel ἐάν in εἰ mutare. Adde quod illud τύχωσιν locum tam reddit impeditum et inconcinnum quam eundem faciet elegantem et expeditum utramcunque ex nostris emendationibus optaveris. Harum enim utravis recepta non novam sententiam inchoabunt illa ἀλλ' ἐπειδάν γε, sed priorem absolvent. Atque sic fuit s. 9. οἱ μὲν ἰδιῶται ἐὰν καὶ στρατεύωνταί που εἰς πολεμίαν, ἀλλ' οὖν ἐπειδάν γε ἔλθωσιν οἴκαδε, ἀσφάλειάν σφισιν ἡγοῦνται εἶναι. DIND.

δάν γε εἴσω τοῦ ἐρύματος ἔλθωσιν, ἐν ἀσφαλείᾳ πάντες νομί-
ζουσι καθεστάναι· ὁ δὲ τύραννος οὐδ' ἐπειδὰν εἴσω τῆς οἰκίας
παρέλθῃ, ἐν ἀκινδύνῳ ἐστὶν, ἀλλ' ἐνταῦθα δὴ καὶ μάλιστα φυ-
11 λακτέον οἴεται εἶναι. Ἔπειτα τοῖς μὲν ἰδιώταις καὶ διὰ σπον-
δῶν καὶ δι' εἰρήνης γίγνεται πολέμου ἀνάπαυσις· τοῖς δὲ τυ-
ράννοις οὔτε εἰρήνη ποτὲ πρὸς τοὺς τυραννευομένους γίγνεται,
12 οὔτε σπονδαῖς ἄν ποτε πιστεύσας ὁ τύραννος θαῤῥήσειε. Καὶ
πόλεμοι μὲν δή εἰσιν, οὕς τε αἱ πόλεις πολεμοῦσι, καὶ οὓς οἱ
τύραννοι, πρὸς τοὺς βεβιασμένους. Τούτων δὴ τῶν πολέμων
ὅσα μὲν ἔχει χαλεπὰ ὁ σὺν ταῖς πόλεσι, ταῦτα καὶ ὁ τύραν-
13 νος ἔχει. Καὶ γὰρ ἐν ὅπλοις δεῖ εἶναι ἀμφοτέρους, καὶ φυ-
λάττεσθαι, καὶ κινδυνεύειν, καὶ ἄν τι πάθωσι κακὸν ἡττηθέν-
14 τες, λυποῦνται ἐπὶ τούτοις ἑκάτεροι. Μέχρι μὲν δὴ τούτου
ἴσοι οἱ πόλεμοι· ἃ δὲ ἔχουσιν ἡδέα οἱ συνόντες πόλεσι πρὸς
15 τὰς πόλεις, ταῦτα οὐκ ἔτι ἔχουσιν οἱ τύραννοι. Αἱ μὲν γὰρ
πόλεις δήπου, ὅταν κρατήσωσι μάχῃ τῶν ἐναντίων, οὐ ῥᾴδιον
εἰπεῖν, ὅσην μὲν ἡδονὴν ἔχουσιν ἐν τῷ τρέψασθαι τοὺς πολε-
μίους, ὅσην δ' ἐν τῷ διώκειν, ὅσην δ' ἐν τῷ ἀποκτείνειν τοὺς
πολεμίους· ὡς δὲ γαυροῦνται ἐπὶ τῷ ἔργῳ, ὡς δὲ δόξαν λαμ-
πρὰν ἀναλαμβάνουσιν, ὡς δ' εὐφραίνονται τὴν πόλιν νομίζον-
16 τες ηὐξηκέναι. Ἕκαστος δέ τις προσποιεῖται καὶ τῆς βου-
λῆς μετεσχηκέναι, καὶ πλείστους ἀπεκτονέναι· χαλεπὸν δὲ
εὑρεῖν, ὅπου οὐχὶ καὶ ἐπιψεύδονται, πλέονας φάσκοντες ἀπε-
κτονέναι, ἢ ὅσοι ἂν τῷ ὄντι ἀποθάνωσιν· οὕτω καλόν τι αὐτοῖς
17 δοκεῖ εἶναι τὸ πολὺ νικᾷν. Ὁ δὲ τύραννος ὅταν ὑποπτεύσῃ,

11. Ἔπειτα] Stobæus δὲ addit. Idem deinde cum libro Lipsiensi et margine Villois. θαρσήσειε habet.

12. ὁ σὺν ταῖς πόλεσι] Articulus deest in edd. pr. et Cod. Lips. eum Leoncl. inseruit; ὁ συνὼν, quod ipsum dedit Welsiana, aut οἱ συνόντες scribendum censuit Stephanus. Vide mox dicenda ad sect. 14.

14. πόλεμοι] Edd. vett. cum libro Lips. πολέμιοι. Verum ex Juntina et Steph. secunda revocavit Zeune.

οἱ συνόντες πόλεσι πρὸς τὰς πόλεις] Non sunt nec esse possunt in hoc loco οἱ συν. *socii*, ut recte monuit Weiske, quem sero advertit locutionis inusitatæ exemplum. Tandem conjecit scribendum οἱ ὄντες, quod probarem, nisi jam sect. 12. esset ὅσα μὲν ἔχει χαλεπὰ ὁ σὺν ταῖς πόλεσι πόλεμος, ubi H. Stephanus ὁ συνὼν malebat. Usitatum est πόλεμος συνιστάμενος πόλεσι πρὸς πόλεις.

15. δόξαν λαμπρὰν ἀναλ.] Uno verbo dicere licebat λαμπρύνονται.

16. οὐχὶ καὶ] Lips. lib. οὐδὲ habet.

τὸ πολὺ νικᾷν] Erasmus vertit, quasi πόλιν scriptum legerit: quod Leonclavium secuti receperunt Welsius et Bach. παρὰ πολὺ malebat

καὶ αἰσθανόμενος τῷ ὄντι ἀντιπραττομένους τινὰς ἀποκτείνῃ,
οἶδεν ὅτι οὐκ αὔξει ὅλην τὴν πόλιν, ἐπίσταταί τε, ὅτι μειόνων
ἄρξει, φαιδρός τε οὐ δύναται εἶναι, οὐδὲ μεγαλύνεται ἐπὶ τῷ
ἔργῳ· ἀλλὰ καὶ μειοῖ, καθ᾽ ὅσον ἂν δύνηται, τὸ γεγενημένον.
Καὶ ἀπολογεῖται ἅμα πράττων, ὡς οὐκ ἀδικῶν πεποίηκεν.
Οὕτως οὐδ᾽ αὐτῷ δοκεῖ καλὰ τὰ ποιούμενα εἶναι. Καὶ ὅταν 18
ἀποθάνωσιν, οὓς ἐφοβήθη, οὐδέν τι μᾶλλον τούτου θαῤῥεῖ, ἀλλὰ
φυλάττεται ἔτι μᾶλλον, ἢ τὸ πρόσθεν. Καὶ πόλεμον μὲν δὴ
τοιοῦτον ἔχων διατελεῖ ὁ τύραννος, ὃν ἐγὼ δηλῶ.

CAP. III.

ΦΙΛΙΑΣ δ᾽ αὖ καταθέασαι ὡς κοινωνοῦσιν οἱ τύραννοι. 1
Πρῶτον μὲν, εἰ μέγα ἀγαθὸν ἀνθρώποις ἡ φιλία, τοῦτο ἐπι-
σκεψώμεθα. Ὃς γὰρ ἂν φιλῆται δήπου ὑπό τινων, ἡδέως 2
μὲν τοῦτον οἱ φιλοῦντες παρόντα ὁρῶσιν, ἡδέως δ᾽ εὖ ποιοῦσιν,
ποθοῦσι δὲ, ἂν που ἀπίῃ ἥδιστα δὲ πάλιν προσιόντα δέχονται,
συνήδονται δ᾽ ἐπὶ τοῖς αὐτοῦ ἀγαθοῖς, συνεπικουροῦσι δὲ, ἐὰν
τι σφαλλόμενον ὁρῶσιν. Οὐ μὲν δὴ λέληθεν οὐδὲ τὰς πόλεις, 3
ὅτι ἡ φιλία μέγιστον ἀγαθὸν καὶ ἥδιστον ἀνθρώποις ἐστί· μό-
νους γοῦν τοὺς μοιχοὺς νομίζουσι πολλαὶ τῶν πόλεων νηποινὰ

Weiske; vulgatum defendit Zeune; ipse Weiske postea Hipparchici locum viii. 11. comparavit: τὸ γὰρ πολὺ νικᾷν, οὐδενὶ πώποτε μεταμέλειαν παρέσχεν.

17. ἀντιπραττομένους] Expectabam ἀντιπράττοντας, et hæc verbi forma in Xenophonte et Atticis ceteris scriptoribus solennis fuit.

αὔξει] Hoc ex conjectura Canteri N. L. i. 13. Leonclaviique, cui accedit liber Lips. dedit Zeune, quanquam obnitente Stephano. Vulgatum ἄξει Brodæus mutabat in ἕξει, quod vertit Aretinus. Mihi ut Stephano additum ὅλην displicet.

ἅμα πράττων] Trucidans, inter trucidandum. Sed qui potuit addere ὡς—πεποίηκεν, si facit simul? Vereor igitur, ut locus sanus sit.

18. τούτου θαῤῥεῖ] Cum Weiskio ἕνεκα addendum censeo, quod Zeune intelligi posse censebat.

τὸ πρόσθεν] Articulus deest in edd. vett. sed habet etiam margo Villois.

Cap. III. 1. φιλίας—ἧς] Hæc est lectio Castal. Hal. et Bryl. reliquæ dant ἃς, quod in οἵας mutari voluit Stephanus, in ὡς Ernesti. ἧς revocavit Zeune, defendit Weiske. Mihi nihil horum placet, et librorum scriptorum auxilium desidero. In Lips. est φιλίας καταθέασαι ἃς, omissis δ᾽ αὖ.

φιλίας δ᾽ αὖ καταθέασαι ἃς κοινωνοῦσιν οἱ τύραννοι.] Sic est in libris adhuc collatis. Id alii male in ἧς, melius in οἵας Stephanus mutavit, verum autem assequutus erat Ernestus qui ὡς. Id mihi tandem præbuit optimus liber MS. quidam, cujus penes me sunt excerpta. DIND.

3. νηποινὰ] Margo Steph. νηποινεὶ et νηποινῆ, margo Villois. νηποινεὶ,

ἀποκτείνειν, δηλονότι διὰ ταῦτα, ὅτι λυμαντῆρας αὐτοὺς νομί-
4 ζουσι τῆς τῶν γυναικῶν φιλίας πρὸς τοὺς ἄνδρας εἶναι. Ἐπεὶ
ὅταν γε ἀφροδισιασθῇ κατὰ συμφοράν τινα γυνή, οὐδὲν ἧττον
τούτου ἕνεκεν τιμῶσιν αὐτὰς οἱ ἄνδρες, ἐάν περ ἡ φιλία δοκῇ
5 αὐτοῖς ἀκήρατος διαμένειν. Τοσοῦτον δέ τι ἀγαθὸν κρίνω
ἔγωγε τὸ φιλεῖσθαι εἶναι, ὥστε νομίζω τῷ ὄντι αὐτόματα
τἀγαθὰ τῷ φιλουμένῳ γίγνεσθαι καὶ παρὰ θεῶν καὶ παρὰ
6 ἀνθρώπων. Καὶ τούτου τοίνυν τοῦ κτήματος τοιούτου ὄντος
μειονεκτοῦσιν οἱ τύραννοι πάντων μάλιστα. Εἰ δὲ βούλει, ὦ
7 Σιμωνίδη, εἰδέναι, ὅτι ἀληθῆ λέγω, ὧδε ἐπίσκεψαι· βεβαιό-
ταται μὲν γὰρ δήπου δοκοῦσι φιλίαι εἶναι γονεῦσι πρὸς παῖ-
δας, καὶ παισὶ πρὸς γονέας, καὶ ἀδελφοῖς πρὸς ἀδελφούς,
8 καὶ γυναιξὶ πρὸς ἄνδρας, καὶ ἑταίροις πρὸς ἑταίρους. Εἰ
τοίνυν ἐθέλεις κατανοεῖν, εὑρήσεις μὲν τοὺς ἰδιώτας ὑπὸ τούτων
μάλιστα φιλουμένους, τοὺς δὲ τυράννους πολλοὺς μὲν παῖδας
ἑαυτῶν ἀπεκτονηκότας, πολλοὺς δ' ὑπὸ παίδων αὐτοὺς ἀπο-
λωλότας, πολλοὺς δὲ ἀδελφοὺς ἐν τυραννίσιν ἀλληλοφόνους
γεγενημένους, πολλοὺς δὲ καὶ ὑπὸ γυναικῶν τῶν ἑαυτῶν τυ-
ράννους διεφθαρμένους, καὶ ὑπὸ ἑταίρων γε τῶν μάλιστα δο-
9 κούντων φίλων εἶναι. Οἵτινες οὖν ὑπὸ τῶν φύσει πεφυκότων
μάλιστα φιλεῖν καὶ νόμῳ συνηναγκασμένων οὕτω μισοῦνται,
πῶς ὑπ' ἄλλου γέ τινος οἴεσθαι χρῆν αὐτοὺς φιλεῖσθαι;

Lips. liber νηποινὶ, quod probo. Legis Atticæ contra mœchos rationes interpretatur eodem modo Lysias pro Eratosth. p. 17. ed. Taylori.

4. τινα γυνὴ] Castal. τινα ἡ γυνὴ dedit, quod præfero.

αὐτοῖς] Cod. Lips. αὐταῖς dat.

5. τἀγαθὰ] Stobæus editus et MStus τ' ἀγαθὰ habet, rectius, puto; idque recepi cum Weiskio, cum articulus vulgo abesset.

7. γονέας] Hanc formam ut Atticis familiarem pro γονεῖς ex Stobæo assumsit Zeune.

8. ἐθέλεις] Stobæus ἐθέλοις dat: idem deinde rectius τοὺς μὲν ἰδιώτας.

τούτων μάλιστα] Stobæus τούτων πάντων μάλιστα habet, deinde ἀπεκτονότας, quod cum Welsio Bachius recepit.

πολλοὺς δ' ὑπὸ παίδων] Codex Lips. αὐτῶν δ' ὑπό. idem deinde cum margine libri Villois. et Stobæo αὐτοὺς dedit, quod ante ἀπολωλότας inseruit Weiske confirmante margine Villois.

9. φιλεῖν] Vulgatum φιλεῖσθαι ex Aretini versione et Codice Stobæi correxit Zeune. Post συνηναγκασμένων repete idem φιλεῖν.

αὐτοὺς φιλεῖσθαι;] Legebatur χρῆν. DIND.

CAP. IV.

ΑΛΛΑ μὴν καὶ πίστεως ὅστις ἐλάχιστον μετέχει, πῶς 1
οὐχὶ μεγάλου ἀγαθοῦ μειονεκτεῖ; ποία μὲν γὰρ ξυνουσία
ἡδεῖα ἄνευ πίστεως τῆς πρὸς ἀλλήλους; ποία δ' ἀνδρὶ καὶ
γυναικὶ τερπνὴ ἄνευ πίστεως ὁμιλία; ποῖος δὲ θεράπων ἡδὺς
ἀπιστούμενος; Καὶ τούτου τοίνυν τοῦ πιστῶς πρός τινας ἔχειν, 2
ἐλάχιστον μέτεστι τυράννῳ· ὁπότε γε οὔτε σίτοις οὔτε ποτοῖς
τοῖς κρατίστοις πιστεύων διάγει, ἀλλὰ καὶ τούτων πρὶν ἀπάρ-
χεσθαι τοῖς θεοῖς, τοὺς διακόνους πρῶτον κελεύουσιν ἀπογεύ-
σασθαι, διὰ τὸ ἀπιστεῖν, μὴ καὶ ἐν τούτοις κακόν τι φάγωσιν,
ἢ πίωσιν. Ἀλλὰ μὴν καὶ αἱ πατρίδες τοῖς μὲν ἄλλοις ἀν- 3
θρώποις πλείστου ἄξιαι. Πολῖται γὰρ δορυφοροῦσι μὲν ἀλ-

Cap. IV. 1. ποία δ' ἀνδρὶ] Vulgo intersertum ἂν ante ἀνδρὶ omisi cum margine Villois. Cod. Lips. et Stobæi libro Parisiensi. περὶ πίστεως margo Villois.

2. μέτεστι τυράννῳ·] Stobæi editiones μέρος τυράννῳ μέτεστι.

σίτοις] Vulgabatur: οὔτε σιτίοις κρατίστοις πιστεύων διάγει. Stobæus editus habet: οὐδὲ σιτίοις οὐδὲ ποτοῖς διάγει πιστεύων. Codex Parisinus vero: οὔτε σιτίοις οὔτε ποτοῖς ἀκρατίστοις πιστεύων διάγει. Athenæus p. 171. laudat: οὔτε σίτοις καὶ ποτοῖς πιστεύων διάγει. Zeune edidit: οὔτε σίτοις οὔτε ποτοῖς κρατίστοις π. δ. Weiske: οὔτε σίτοις οὔτε ποτοῖς τοῖς ἀρίστοις π. δ. Cod. Lips. οὔτε σίτοις κρατίστοις dat. Mihi additum κρατίστοις (articulum bene addidit Weiske) difficultatem habere videtur. Num tyrannorum cibus optimus minus periculi habere debebat? an si eorum cibus omnium optimus, certe pretiosissimus est, ideo id in significatione periculi addi debebat? Athenæus igitur vocabulum non sine causa omisisse videtur.

Libri οὔτε σιτίοις κρατίστοις πιστεύων διάγει.] Athenæus vol. ii. p. 166. οὔτε σίτοις καὶ ποτοῖς πιστεύων διάγει. Joannes Stobæus Florilegio vol. ii. p. 357. Gaisf. οὐδὲ σίτοις οὐδὲ ποτοῖς πιστεύων διάγει. Idem in libro quodam suo per hunc locum ad Xenophontis exemplaria correcto οὔτε σιτίοις οὔτε ποτοῖς ἀκρατίστοις πιστεύων διάγει. Jam harum varietatum etsi nulla omnium vera est, tamen ex eis facillimum est genuinam scripturam eruisse οὐδὲ σίτοις καὶ ποτοῖς πιστεύων διάγει, quod et Porsonus vidit ante nos Adversar. p. 73. et sani quivis judicii primo aspectu videat oportet. Editores quod ex eisdem conflarunt tale est ut commemoratione indignum sit. DIND.

πρὶν ἀπάρχεσθαι] Athenæus dat ἀντὶ τοῦ ἀπάρχεσθαι θεοῖς, τοῖς διακόνοις et cet.

ἀπογεύσασθαι] Hoc pro ἀπογεύεσθαι ex Codice Paris. Stobæi dedit Weiske, accedit nunc Lips. liber et margo Villois.

μὴ καὶ ἐν τούτοις] Cod. Lips. κἂν ἐν τούτοις dat. κἂν τούτοις margo Villois. In Athenæo edito καὶ deerat, quod ex Codd. addidit Schweighæuser.

3. Πολῖται γὰρ] Codex Paris. Stobæi γὰρ omittit.

λήλους ἄνευ μισθοῦ ἐπὶ τοὺς δούλους, δορυφοροῦσι δ' ἐπὶ τοὺς
κακούργους, ὑπὲρ τοῦ μηδένα τῶν πολιτῶν βιαίῳ θανάτῳ ἀπο-
4 θνήσκειν. Οὕτω δὲ πόῤῥω προεληλύθασι φυλακῆς, ὥστε πε-
ποίηνται πολλοὶ νόμον, τῷ μιαιφόνῳ μηδὲ τὸν συνόντα καθα-
ρεύειν· ὥστε διὰ τὰς πατρίδας ἀσφαλῶς ἕκαστος βιοτεύει
5 τῶν πολιτῶν. Τοῖς δὲ τυράννοις καὶ τοῦτο ἔμπαλιν ἀνέστρα-
πται. Ἀντὶ γὰρ τοῦ τιμωρεῖν αὐτοῖς, αἱ πόλεις μεγάλως
τιμῶσι τὸν ἀποκτείναντα τὸν τύραννον καὶ ἀντί γε τοῦ εἴργειν
ἐκ τῶν ἱερῶν, ὥσπερ τοὺς τῶν ἰδιωτῶν φονέας, ἀντὶ τούτου καὶ
εἰκόνας ἐν τοῖς ἱεροῖς ἱστᾶσιν αἱ πόλεις τῶν τοιοῦτο ποιησάν-
των.
6 Εἰ δὲ σὺ οἴει, ὡς πλείω ἔχων τῶν ἰδιωτῶν κτήματα ὁ τύ-
ραννος, διὰ τοῦτο καὶ πλείω ἀπ' αὐτῶν εὐφραίνεται, οὐδὲ
τοῦτο οὕτως ἔχει, ὦ Σιμωνίδη, ἀλλ' ὥσπερ οἱ ἀθληταὶ οὐχ
ὅταν ἰδιωτῶν γένωνται κρείττονες, τοῦτο αὐτοὺς εὐφραίνει, ἀλλ'
ὅταν τῶν ἀνταγωνιστῶν ἥττους, τοῦτ' αὐτοὺς ἀνιᾷ· οὕτω καὶ ὁ
τύραννος, οὐχ ὅταν τῶν ἰδιωτῶν πλείω φαίνηται ἔχων, τότ' εὐ-
φραίνεται, ἀλλ' ὅταν ἑτέρων τυράννων ἐλάττω ἔχῃ, τούτῳ λυ-
πεῖται. Τούτους γὰρ ἀνταγωνιστὰς ἡγεῖται αὐτῷ τοῦ πλού-
7 του εἶναι. Οὐδέ γε θᾶττον γίγνεται τῷ τυράννῳ ἢ τῷ ἰδιώτῃ,
ὧν ἐπιθυμεῖ. Ὁ μὲν γὰρ ἰδιώτης οἰκίας, ἢ ἀγροῦ, ἢ οἰκέτου
ἐπιθυμεῖ, ὁ δὲ τύραννος ἢ πόλεων, ἢ χώρας πολλῆς, ἢ λιμένων,
ἢ ἀκροπόλεων ἰσχυρῶν· ἅ ἐστι πολὺ χαλεπώτερα καὶ ἐπικιν-
8 δυνότερα κατεργάσασθαι τῶν ἰδιωτικῶν ἐπιθυμημάτων. Ἀλλὰ

4. νόμον] Stobæus editus νόμοι dat, deinde ὅθεν διὰ τὰς πατρίδας.

5. ἀνέστραπται] Ex margine Steph. et Villois. ἀντέστραπται recepit Welsiana.

τιμωρεῖν αὐτοῖς, αἱ πόλεις] Hunc verborum ordinem induxit Weiske, quæ antea sic ordinabantur: τιμωρεῖν αἱ πόλεις αὐτοῖς, μεγάλως &c. Vitium senserat Brodæus, qui αὐτοῖς mutabat in αὖθις.

ἀποκτείναντα] Stobæus editus κατακτείναντα dat. Sequentem articulum τὸν ex Juntina, margine Villois. et Stobæo restituit Zeune.

τοιοῦτο] Stobæi Codex Paris. τοῦτο dat.

6. ἀπ' αὐτῶν] Edd. vett. ἐπ' αὐτῶν. Verum est etiam in margine Villois.

τοῦτο αὐτοὺς] Cod. Lips. τοῦτ' αὐτοὺς, ut paulo post est τοῦτ' αὐτοὺς ἀνιᾷ.

ἑτέρων] Juntina ἑταίρων. deinde edd. vett. ἡγῆται cum libro Lips.

7. θᾶττον] Ex Stobæo τι addidit Zeune, quod si liber scriptus obtulisset, non spernerem.

πόλεων] Stobæus editus πόλεως dat, deinde ἃ πολύ ἐστιν.

ἐπικινδυνότερα κατεργάσασθαι] Sic edd. vett. et Stobæus. Ante Zeu-

μέντοι καὶ πένητας ὄψει οὐχ οὕτως ὀλίγους τῶν ἰδιωτῶν, ὡς
πολλοὺς τῶν τυράννων. Οὐ γὰρ τῷ ἀριθμῷ οὔτε τὰ πολλὰ
κρίνεται, οὔτε τὰ ἱκανὰ, ἀλλὰ πρὸς τὰς χρήσεις· ὥστε τὰ
μὲν ὑπερβάλλοντα τὰ ἱκανὰ, πολλά ἐστι, τὰ δὲ τῶν ἱκανῶν
ἐλλείποντα, ὀλίγα. Τῷ οὖν τυράννῳ τὰ πολλαπλάσια, ἧττον 9
ἱκανά ἐστιν εἰς τὰ ἀναγκαῖα δαπανήματα, ἢ τῷ ἰδιώτῃ.
Τοῖς μὲν γὰρ ἰδιώταις ἔξεστι τὰς δαπάνας συντέμνειν εἰς τὰ
καθ' ἡμέραν, ὅπῃ βούλονται· τοῖς δὲ τυράννοις οὐκ ἐνδέχεται.
Αἱ γὰρ μέγισται αὐτοῖς δαπάναι καὶ ἀναγκαιόταται εἰς τὰς
τῆς ψυχῆς φυλακάς εἰσι· τὸ δὲ τούτων συντέμνειν ὄλεθρος
δοκεῖ εἶναι. Ἔπειτα δὲ ὅσοι μὲν δύνανται ἔχειν ἀπὸ τοῦ δι- 10
καίου, ὅσων δέονται, τί ἂν τούτους οἰκτείροι τις ὡς πένητας;
ὅσοι δ' ἀναγκάζονται δι' ἔνδειαν κακόν τι καὶ αἰσχρὸν μηχα-
νώμενοι ζῆν, πῶς οὐ τούτους ἀθλίους ἄν τις καὶ πένητας δι-
καίως νομίζοι; Οἱ τύραννοι τοίνυν ἀναγκάζονται πλεῖστα 11
συλᾶν ἀδίκως καὶ ἱερὰ καὶ ἀνθρώπους, διὰ τὸ εἰς τὰς ἀναγ-
καίας δαπάνας ἀεὶ προσδεῖσθαι χρημάτων. Ὥσπερ γὰρ
πολέμου ὄντος, ἀεὶ ἀναγκάζονται στράτευμα τρέφειν, ἢ ἀπο-
λωλέναι.

CAP. V.

ΧΑΛΕΠΟΝ δ' ἐρῶ σοι καὶ ἄλλο πάθημα, ὦ Σιμωνίδη, 1
τῶν τυράννων. Γιγνώσκουσι μὲν γὰρ οὐδὲν ἧττον τῶν ἰδιωτῶν
τοὺς κοσμίους τε, καὶ σοφοὺς, καὶ δικαίους. Τούτους δ',

nium erat ἐπικινδυνώτερα. Ceterum κατεργάζεσθαι Stobæus editus, alterum est in libro Paris.

8. μέντοι] Stobæus: μὴν καὶ πένητας ὄψει ὀλίγους—ἰδιωτῶν, πολλοὺς δὲ τ. τυρ. Sed liber Paris. habet: μέντοι καὶ πλουσίους ὄψει οὐχ οὕτως ὀλίγους τῶν ἰδιωτῶν. ὡς πένητας πολλοὺς τ. τ. In edd. vett. est ἰδιωτικῶν excepta Halensi et Castalionea; verum est etiam in margine Villois.

9. πολλαπλάσια] Codex Lips. παραπλάσια habet. Paulo antea γοῦν pro οὖν ex Stobæo MSto recepit Zeune.

τοῖς μὲν γὰρ] Stobæus editus καὶ γὰρ τοῖς μὲν habet.

τὸ δὲ τούτων] Intellige τι, quod Stobæus additum habet.

10. ὅσων] Ex Stobæo ὧν recepit Zeune: rectius indidem ἂν inter τί τούτους inseruit, et οἰκτείρει mutavit in οἰκτείροι. Margo Villois. τοὺς ἀθλίους dat.

νομίζοι;] Margo libri Villoisoni cum Lips. Codice καλοῖ dant.

Cap. V. 1. δ' ἐρῶ σοι] Margo Villois. habet δ' αὖ σοι ἐρῶ.

κοσμίους τε] Stobæus ἀλκίμους nominat, vocabulo aptiore; nec licet ex sectione sequenti τοὺς ἀνδραποδώδεις assumere, ut oppositos κοσμίοις;

ἀντὶ τοῦ ἄγασθαι, φοβοῦνται· τοὺς μὲν ἀνδρείους, μή τι τολμήσουσι τῆς ἐλευθερίας ἕνεκεν· τοὺς δὲ σοφοὺς, μή τι μηχανήσωνται· τοὺς δὲ δικαίους, μὴ ἐπιθυμήσῃ τὸ πλῆθος ὑπ' 2 αὐτῶν προστατεῖσθαι. Ὅταν δὲ τοὺς τοιούτους διὰ τὸν φόβον ὑπεξαίρωνται, τίνες ἄλλοι αὐτοῖς καταλείπονται χρῆσθαι, ἀλλ' ἢ οἱ ἄδικοί τε καὶ ἀκρατεῖς καὶ ἀνδραποδώδεις; Οἱ μὲν ἄδικοι πιστευόμενοι, διότι φοβοῦνται, ὥσπερ οἱ τύραννοι, τὰς πόλεις, μήποτε ἐλεύθεραι γενόμεναι ἐγκρατεῖς αὐτῶν γένωνται· οἱ δ' ἀκρατεῖς, τῆς εἰς τὸ παρὸν ἐξουσίας ἕνεκα· οἱ δ' ἀνδραποδώδεις, διότι οὐδ' αὐτοὶ ἀξιοῦσιν ἐλεύθεροι εἶναι. Χαλεπὸν οὖν καὶ τοῦτο τὸ πάθημα ἔμοιγε δοκεῖ εἶναι, τὸ ἄλλους μὲν ἡγεῖσθαι ἀγαθοὺς ἄνδρας, ἄλλοις δὲ χρῆσθαι ἀναγκάζεσθαι.
3 Ἔτι δὲ φιλόπολιν μὲν ἀνάγκη καὶ τὸν τύραννον εἶναι· ἄνευ γὰρ τῆς πόλεως οὔτ' ἂν σώζεσθαι δύναιτο οὔτ' ἂν εὐδαιμονεῖν. Ἡ δὲ τυραννὶς ἀναγκάζει καὶ ταῖς ἑαυτῶν πατρίσιν ἐγκαλεῖν. Οὔτε γὰρ ἀλκίμους οὔτ' εὐόπλους χαίρουσι τοὺς πολίτας παρασκευάζοντες, ἀλλὰ τοὺς ξένους δυνατωτέρους τῶν πολιτῶν ποιοῦντες ἥδονται μᾶλλον, καὶ τούτοις χρῶνται δορυφόροις.
4 Ἀλλὰ μὴν οὐδ', ἂν εὐετηριῶν γενομένων ἀφθονία τῶν ἀγαθῶν γίγνηται, οὐδὲ τότε συγχαίρει ὁ τύραννος. Ἐνδεεστέροις γὰρ οὖσι ταπεινοτέροις αὐτοῖς οἴονται χρῆσθαι.

CAP. VI.

1 ΒΟΥΛΟΜΑΙ δέ σοι, ἔφη, ὦ Σιμωνίδη, κἀκείνας τὰς εὐφροσύνας δηλῶσαι, ὅσαις ἐγὼ χρώμενος, ὅτ' ἦν ἰδιώτης, νῦν, ἐπειδὴ τύραννος ἐγενόμην, αἰσθάνομαι στερόμενος αὐτῶν.
2 Ἐγὼ γὰρ ξυνῆν μὲν ἡλικιώταις ἡδόμενος ἡδομένοις ἐμοὶ, συνῆν

nam nec σοφοῖς, i. e. doctis ad excogitandum aliquid, et solertibus, opponuntur ἀκρατεῖς, quod putabat vir doctus.

2. ὑπεξαίρωνται] Puto ὑπεξαιρῶνται scribendum ab ὑπεξαιρεῖσθαι.

εἶναι, τὸ] Castalio dedit εἶναι, καὶ τό.

3. οὔτ' ἂν εὐδαιμονεῖν] Hoc alterum ἂν ex Juntina revocavit Zeune, iterum omisit Weiske.

ἐγκαλεῖν] Dum enim peregrinos adsciscit, civibus ignominiam contrahit quasi ad eandem operam inutilibus vel minus aptis.

δυνατωτέρους] Cod. Lips. δεινοτέρους dat; ex margine Villois. δυνωτέρους annotatur.

4. συγχαίρει] Cod. Lips. συγχαιρεῖ dat cum edd. vett. verum dedit Stephanus.

οἴονται] Stephanus οἴεται malebat; negligentiam scriptoris excusat Zeune comparato cap. iv. 2.

δὲ ἐμαυτῷ, ὁπότε ἡσυχίας ἐπιθυμήσαιμι, διῆγον δ' ἐν συμπο-
σίοις πολλάκις μὲν μέχρι τοῦ ἐπιλαθέσθαι πάντων, εἴ τι χα-
λεπὸν ἐν ἀνθρωπίνῳ βίῳ ἦν, πολλάκις δὲ μέχρι τοῦ ᾠδαῖς τε
καὶ θαλίαις καὶ χοροῖς τὴν ψυχὴν συγκαταμιγνύναι, πολλά-
κις δὲ μέχρι κοινῆς ἐπιθυμίας ἐμῆς τε καὶ τῶν παρόντων· νῦν 3
δὲ ἀπεστέρημαι μὲν τῶν ἡδομένων ἐμοὶ, διὰ τὸ δούλους ἀντὶ
φίλων ἔχειν τοὺς ἑταίρους· ἀπεστέρημαι δ' αὐτὸς τοῦ ἡδέως
ἐκείνοις ὁμιλεῖν, διὰ τὸ μηδεμίαν ἐνορᾶν εὔνοιαν ἐμοὶ παρ' αὐ-
τῶν. Μέθην δὲ καὶ ὕπνον ὁμοίως ἐνέδρᾳ φυλάττομαι. Τὸ 4
δὲ φοβεῖσθαι μὲν ὄχλον, φοβεῖσθαι δ' ἐρημίαν, φοβεῖσθαι δὲ
ἀφυλαξίαν, φοβεῖσθαι δὲ καὶ αὐτοὺς τοὺς φυλάσσοντας, καὶ
μήτ' ἀνόπλους ἐθέλειν ἔχειν περὶ αὐτὸν, μήδ' ὡπλισμένους
ἡδέως θεᾶσθαι, πῶς οὐκ ἀργαλέον ἐστὶ πρᾶγμα; ἔτι δὲ ξένοις 5
μὲν μᾶλλον ἢ πολίταις πιστεύειν, βαρβάροις δὲ μᾶλλον ἢ
Ἕλλησιν, ἐπιθυμεῖν δὲ τοὺς μὲν ἐλευθέρους δούλους ἔχειν, τοὺς
δὲ δούλους ἀναγκάζεσθαι ποιεῖν ἐλευθέρους, οὐ πάντα σοὶ
ταῦτα δοκεῖ ψυχῆς ὑπὸ φόβων καταπεπληγμένης τεκμήρια
εἶναι; Ὁ γέ τοι φόβος οὐ μόνον αὐτὸς ἐνὼν ταῖς ψυχαῖς λυ- 6
πηρός ἐστιν, ἀλλὰ καὶ πάντων τῶν ἡδέων συμπαρακολουθῶν
λυμεὼν γίγνεται. Εἰ δὲ καὶ σὺ πολεμικῶν ἔμπειρος εἶ, ὦ 7
Σιμωνίδης, καὶ ἤδη ποτὲ πολεμίᾳ φάλαγγι πλησίον ἀντε-
τάξω, ἀναμνήσθητι, ποῖον μέν τινα σῖτον ᾑροῦ ἐν ἐκείνῳ τῷ
χρόνῳ, ποῖον δέ τινα ὕπνον ἐκοιμῶ· οἷα μέντοι σοὶ τότ' ἦν τὰ 8

Cap. VI. 2. ᾠδαῖς τε] Liber Lips. τε omittit.

ἐπιθυμίας] Ex sequentibus suspicor olim μέθης vel simile vocabulum positum fuisse h. l. εὐθυμίας malebat Weiske.

3. αὐτὸς τοῦ] Castalionis et Brodæi lectionem αὐτοῦ τοῦ restituit Zeune; αὖ τοῦ malebat Stephanus, quem equidem sequi malim. αὐτοὺς est in libro Lipsiensi, αὐτὸς in margine Villois.

4. φυλάσσοντας] Stobæus editus φύλακας, rectius Codex Paris.

ἀνόπλους] Cod. Lips. ἐνόπλους ἔχειν ἐθέλειν. Etiam Stobæus ἔχειν ἐθέλειν.

ἀργαλέον] Stobæi editio glossam χαλεπὸν exhibet.

5. ξένοις μὲν μᾶλλον ἢ] Vulgatum ordinem ξένοις μᾶλλον μὲν ἢ ita mutavit Weiske, addicente libro Lipsiensi.

βαρβάροις δὲ] Vulgatum τε ita cum Bachio correxit Weiske.

φόβων] Lips. Codex φόβον τε dat. Etiam margo Villois. Stobæi Codex Paris. φόβων τε dant, editus vero Stobæus παραπεπληγμένης. Paulo antea ἐλευθ. ἀναγκ. ποιεῖν Stobæus.

6. Ὁ γέ τοι] Codex Lips. ὁ γέ τι dat. Deinde Stobæus dat: συμπαρομαρτῶν λυμαντήρ ἐστιν.

7. πολεμίᾳ] Lips. liber dat πολεμίας.

λυπηρά, τοιαῦτ' ἐστὶ τὰ τῶν τυράννων, καὶ ἔτι δεινότερα· οὐ
γὰρ ἐξ ἐναντίας μόνον, ἀλλὰ καὶ πάντοθεν πολεμίους ὁρᾶν νο-
9 μίζουσιν οἱ τύραννοι. Ταῦτα δ' ἀκούσας ὁ Σιμωνίδης, ὑπο-
λαβὼν εἶπεν, ὑπέρευ μοι δοκεῖς ἔνια λέγειν. Ὁ γὰρ πό-
λεμος φοβερὸν μέν· ἀλλ' ὅμως, ὦ Ἱέρων, ἡμεῖς γε ὅταν ὦμεν
ἐν στρατιᾷ, φύλακας προκαθιστάμενοι, θαῤῥαλέως δείπνου τε
10 καὶ ὕπνου τυγχάνομεν. Καὶ ὁ Ἱέρων ἔφη· Ναὶ μὰ Δία, ὦ
Σιμωνίδη, αὐτῶν μὲν γὰρ προφυλάττουσιν οἱ νόμοι, ὥστε περὶ
ἑαυτῶν φοβοῦνται καὶ ὑπὲρ ὑμῶν· οἱ δὲ τύραννοι μισθοῦ φύ-
11 λακας ἔχουσιν, ὥσπερ θεριστάς· καὶ δεῖ μὲν δήπου τοὺς φύ-
λακας μηδὲν οὕτω ποιεῖν δύνασθαι, ὡς πιστοὺς εἶναι· πιστὸν
δὲ ἕνα πολὺ χαλεπώτερον εὑρεῖν ἢ πάνυ πολλοὺς ἐργάτας
ὁποίου βούλει ἔργου, ἄλλως τε καὶ ὁπόταν χρημάτων μὲν
ἕνεκα παρῶσιν οἱ φυλάσσοντες, ἐξῇ δ' αὐτοῖς ἐν ὀλίγῳ χρόνῳ
πολὺ πλείω λαβεῖν ἀποκτείνασι τὸν τύραννον, ἢ ὅσα πολὺν
12 χρόνον φυλάττοντες παρὰ τοῦ τυράννου λαμβάνουσιν. Ὃ δ'
ἐζήλωσας ἡμᾶς, ὡς τοὺς μὲν φίλους μάλιστα εὖ ποιεῖν δυνά-
μεθα, τοὺς δ' ἐχθροὺς πάντων μάλιστα χειρούμεθα, οὐδὲ ταῦθ'
13 οὕτως ἔχει. Φίλους μὲν γὰρ πῶς ἂν νομίσαις ποτὲ εὖ ποιεῖν,
ὅταν εὖ εἰδῇς, ὅτι ὁ τὰ πλεῖστα λαμβάνων παρὰ σοῦ, ἥδιστ'
ἂν ὡς τάχιστα ἐξ ὀφθαλμῶν σου γένοιτο; ὅ τι γὰρ ἄν τις
λάβῃ παρὰ τοῦ τυράννου, οὐδεὶς οὐδὲν αὐτοῦ νομίζει, πρὶν ἂν
14 ἔξω τῆς τούτου ἐπικρατείας γένηται. Ἐχθροὺς δ' αὖ πῶς ἂν
φαίης μάλιστα τοῖς τυράννοις ἐξεῖναι χειροῦσθαι, ὅταν εὖ εἰ-
δῶσιν, ὅτι ἐχθροὶ αὐτῶν εἰσὶ πάντες οἱ τυραννούμενοι; τούτους
δὲ μήτε κατακτείνειν ἅπαντας, μήτε δεσμεύειν οἷόν τε ᾖ· τίνων

8. τοιαῦτ' ἐστὶ] Edd. vett. τοιαῦτα εἰσί. Lips. liber τοιαῦτά ἐστι, margo Villois. τοιαῦτ' ἐστὶ.

9. ἔνια] Juntina et margo Steph. dant ἔννοιαν. Paulo ante Τοιαῦτα dat margo Villois.

ἡμεῖς γε] Ita cum Juntina et Stephano Zeune vulgatum τε correxit.

τυγχάνομεν] Juntina cum margine Steph. λαγχάνομεν. Eadem est varietas in Cyrop. iii. 1, 24.

10. αὐτῶν] Scilicet τῶν φυλάκων.

12. ὃ δ' ἐζήλωσας] Lectionem edd. vett. ὁ δὲ ζηλώσας Leopardus Emend. vii. 15. mutabat in εἰ δὲ ζηλώσαις. Altera lectio est Stephanianæ editionis.

13. τοῦ τυράννου] Articulum omittit Lips. liber. Deinde ἑαυτοῦ margo Villois.

14. οἷόν τε ᾖ· τίνων γὰρ] Ita vulgatum οἷόν τε· ἢ τίνων γὰρ (quod in ᾖ τίνων γὰρ cum Zeunio mutavit Weiske) correxit H. Stephanus, approbante libro Lipsiensi et ipsa verborum structura. A præcedenti

γὰρ ἔτι ἄρξει; ἀλλ' εἰδότα ὅτι ἐχθροί εἰσι, τούτους ἅμα μὲν
φυλάττεσθαι δέῃ, καὶ χρῆσθαι δ' αὐτοῖς ἀναγκάζεσθαι. Εὖ 15
δ' ἴσθι καὶ τοῦτο, ὦ Σιμωνίδη, ὅτι καὶ, οὓς τῶν πολιτῶν δε-
δίασι, χαλεπῶς μὲν αὐτοὺς ζῶντας ὁρῶσι, χαλεπῶς δ' ἀπο-
κτείνουσιν· ὥσπερ γὰρ καὶ ἵππος εἰ ἀγαθὸς μὲν εἴη, φοβερὸς
δὲ, μὴ ἀνήκεστόν τι ποιήσῃ, χαλεπῶς μὲν ἄν τις αὐτὸν ἀπο-
κτεῖναι, διὰ τὴν ἀρετὴν, χαλεπῶς δὲ ζῶντι χρῷτο, εὐλαβού-
μενος, μή τι ἀνήκεστον ἐν τοῖς κινδύνοις ἐργάσηται. Καὶ 16
τἄλλα γε κτήματα, ὅσα χαλεπὰ μὲν, χρήσιμα δ' ἐστὶν,
ὁμοίως ἅπαντα λυπεῖ μὲν τοὺς κεκτημένους, λυπεῖ δὲ ἀπαλ-
λασσομένους.

CAP. VII.

ΕΠΕΙ δὲ ταῦτα αὐτοῦ ἤκουσεν ὁ Σιμωνίδης, εἶπεν, ἔοικεν, 1
ἔφη, ὦ Ἱέρων, μέγα τι εἶναι ἡ τιμὴ, ἧς ὀρεγόμενοι οἱ ἄν-
θρωποι πάντα μὲν πόνον ὑποδύονται, πάντα δὲ κίνδυνον ὑπο-
μένουσι. Καὶ ὑμεῖς, ὡς ἔοικε, τοσαῦτα πράγματα ἐχούσης, 2
ὁπόσα λέγεις, τῆς τυραννίδος, ὅμως προπετῶς φέρεσθε εἰς αὐ-
τὴν, ὅπως τιμᾶσθε, καὶ ὑπηρετῶσι μὲν ὑμῖν πάντες πάντα τὰ
προσταττόμενα ἀπροφασίστως, περιβλέπωσι δὲ πάντες, ὑπα-
νιστῶνται δ' ἀπὸ τῶν θάκων, ὁδῶν τε παραχωρῶσι, γεραίρωσι
δὲ καὶ λόγοις καὶ ἔργοις πάντες οἱ παρόντες ἀεὶ ὑμᾶς· τοι-
αῦτα γὰρ δὴ ποιοῦσι τοὺς τυράννους οἱ ἀρχόμενοι, καὶ ἄλλον
ὅν τινα ἀεὶ τιμῶντες τυγχάνουσι. Καὶ γάρ μοι δοκεῖ, ὦ 3
Ἱέρων, τούτῳ διαφέρειν ἀνὴρ τῶν ἄλλων ζώων, τῷ τιμῆς ὀρέγε-

enim ὅταν pendet non solum hoc οἷόν τε ᾖ, sed sequens etiam φυλάττεσθαι δέῃ. Quod ait Zeune frequentem esse usum particularum ἦ γὰρ in Cyri disciplina, semper equidem initio orationis positas vidi, et similis est earum usus apud Platonem, de quo Heindorfius meus ad Phædrum p. 315.

φυλάττεσθαι δέῃ] Intersertum vulgo τε cum Cod. Lips. omisi. Sequens enim καὶ non respondet huic τε, sed antecedenti ἅμα, ut δὲ illi μέν.

15. ποιήσῃ] Cod. Lips. ποιήσει dat.

Cap. VII. 2. ὑπηρετῶσι] Conjunctivum in hoc verbo et sequentibus περιβλέπωσι, παραχωρῶσι, γεραίρωσι pro indicativo prima restituit Stephaniana altera, eumque modum expressit versio Aretini.

τοὺς τυράννους] Ita monente etiam Heindorfio meo scripsi pro τοῖς τυράννοις, quem casum damnat sequens ἄλλον, quod tamen Æmil. Portus in ἄλλῳ, Leoncl. in ἄλλοις αὐτοὺς mutatum voluit. Deinde τυγχάνωσι liber Lips.

3. ἀνὴρ τῶν ἄλλων ζώων] Quin ἄνθρωπος? si vere dicitur sect. extrem. ἄνδρες δὲ καὶ οὐκέτι ἄνθρωποι νομιζόμενοι.

σθαι. Ἐπεὶ σιτίοις γε καὶ ποτοῖς καὶ ὕπνοις καὶ ἀφροδι-
σίοις πάντα ὁμοίως ἥδεσθαι ἔοικε τὰ ζῶα· ἡ δὲ φιλοτιμία
οὔτ' ἐν τοῖς ἀλόγοις ζώοις ἐμφύεται, οὔτ' ἐν ἅπασιν ἀνθρώποις·
οἷς δ' ἂν ἐμφυῇ τιμῆς τε καὶ ἐπαίνου ἔρως, οὗτοι εἰσὶν ἤδη οἱ
πλεῖστον μὲν τῶν βοσκημάτων διαφέροντες, ἄνδρες δὲ, καὶ
4 οὐκέτι ἄνθρωποι μόνον νομιζόμενοι. Ὥστε ἐμοὶ μὲν εἰκότως
δοκεῖτε ταῦτα πάντα ὑπομένειν, ἃ φέρετε ἐν τυραννίδι, ἐπείπερ
τιμᾶσθε διαφερόντως τῶν ἄλλων ἀνθρώπων. Καὶ γὰρ οὐδεμία
ἀνθρωπίνη ἡδονὴ τοῦ θείου ἐγγυτέρω δοκεῖ εἶναι, ἢ ἡ περὶ τὰς
5 τιμὰς εὐφροσύνη. Πρὸς ταῦτα δὴ εἶπεν ὁ Ἱέρων, ἀλλ', ὦ Σι-
μωνίδη, καὶ αἱ τιμαὶ τῶν τυράννων ὅμοιαι ἐμοὶ δοκοῦσιν εἶναι,
6 οἵαπερ ἐγώ σοι τὰ ἀφροδίσια ὄντα αὐτῶν ἀπέδειξα. Οὔτε
γὰρ αἱ μὴ ἐξ ἀντιφιλούντων ὑπουργίαι χάριτες ἡμῖν ἐδόκουν
εἶναι, οὔτε τὰ βίαια, ἡδέα ἐφαίνετο. Ὡσαύτως τοίνυν οὐδὲ
7 αἱ ὑπουργίαι παρὰ τῶν φοβουμένων τιμαί εἰσι. Πῶς γὰρ
ἂν φαίημεν ἢ τοὺς βίᾳ ἐξανισταμένους θάκων, διὰ τὸ τιμᾷν
τοὺς ἀδικοῦντας ἐξανίστασθαι, ἢ τοὺς ὁδῶν παραχωροῦντας
τοῖς κρείττοσι, διὰ τὸ τιμᾷν τοὺς ἀδικοῦντας παραχωρεῖν;
8 Καὶ δῶρά γε διδόασιν οἱ πολλοὶ τούτοις, οὓς μισοῦσι, καὶ
ταῦτα ὅταν μάλιστα φοβῶνται, μή τι κακὸν ὑπ' αὐτῶν πά-
θωσιν. Ἀλλὰ ταῦτα μὲν, οἶμαι, δουλείας ἔργα εἰκότως ἂν
νομίζοιτο· αἱ δὲ τιμαὶ ἔμοιγε δοκοῦσιν ἐκ τῶν ἐναντίων τούτοις
9 γίγνεσθαι. Ὅταν γὰρ οἱ ἄνθρωποι ἄνδρα ἡγησάμενοι εὐερ-
γετεῖν ἱκανὸν εἶναι, καὶ ἀπολαύειν αὐτοῦ ἀγαθὰ νομίσαντες,
ἔπειτα τοῦτον ἀνὰ στόμα τε ἔχωσιν ἐπαινοῦντες, θεῶνταί τ'

Deinde a ζώοις genere distinguitur ἄνθρωπος, non ἀνὴρ, quod in genere humano pro τὶς, aliquis, absolute positum vidimus in Œconomico.

Ἐπεὶ σιτίοις γε] Vulgatum τε mutavi. Ita enim noster in Œcon. vii. 6. ἐπεὶ τά γε ἀμφὶ γαστέρα πάνυ καλῶς ἦλθε πεπαιδευμένη. Anab. i. 3, 9. οὔτε γὰρ ἡμεῖς ἔτι ἐκείνου στρατιῶται· ἐπεί γε οὐ συνεπόμεθα αὐτῷ. Plato Gorgiæ sect. 46. ἐπαινοῦσι τὴν σωφροσύνην—διὰ τὴν αὐτῶν ἀνανδρίαν. ἐπεί γε οἷς ἐξ ἀρχῆς ὑπῆρξεν ἢ βασιλέων υἱέσιν εἶναι—τί αἴσχιον καὶ κάκιον εἴη σωφροσύνης; Ceterum σίτοις consuetudinem Xenophontis postulare censebat Zeune.

4. ἃ φέρετε ἐν τυραννίδι] Liber Lips. ἃ φ. ταῦτα ἐν τῇ τυρ. unde articulum τῇ additum malim.

6. Οὔτε γὰρ] Cod. Lips. οὕτω γὰρ dat.

παρὰ τῶν φοβ.] Hoc ex libro Lips. et margine libri Villoisoni substitui vulgato ὑπό.

7. ὁδῶν] Edd. vett. ὁδὸν dabant.

9. οἱ ἄνθρωποι] Articulum omisit Codex Lips. deinde ἀπολαύσειν malebat Stephanus.

ἔχωσιν] Edd. vett. ἔχουσι. Weiske

αὐτὸν ὡς οἰκεῖον ἕκαστος ἀγαθόν, ἑκόντες τε παραχωρῶσι τούτῳ ὁδῶν, καὶ θάκων ὑπανιστῶνται φιλοῦντές τε καὶ μὴ φοβούμενοι, καὶ στεφανῶσι κοινῆς ἀρετῆς καὶ εὐεργεσίας ἕνεκα, καὶ δωρεῖσθαι ἐθέλωσιν, οἱ αὐτοὶ ἔμοιγε δοκοῦσι τιμᾶν τε τοῦτον ἀληθῶς, οἳ ἂν τοιαῦτα ὑπουργήσωσι, καὶ ὁ τούτων ἀξιούμενος τιμᾶσθαι τῷ ὄντι. Καὶ ἔγωγε τὸν μὲν οὕτω τιμώ- 10
μενον μακαρίζω· αἰσθάνομαι γὰρ αὐτὸν οὐκ ἐπιβουλευόμενον, ἀλλὰ φροντιζόμενον, μή τι πάθῃ, καὶ ἀφόβως, καὶ ἀνεπιφθόνως, καὶ ἀκινδύνως, καὶ εὐδαιμόνως τὸν βίον διάγοντα· ὁ δὲ τύραννος, ὡς ὑπὸ πάντων ἀνθρώπων κατακεκριμένος δι' ἀδικίαν ἀποθνήσκειν, οὕτως, ὦ Σιμωνίδη, εὖ ἴσθι, καὶ νύκτα καὶ ἡμέραν διάγει. Ἐπεὶ δὲ ταῦτα πάντα διήκουσεν ὁ Σιμω- 11
νίδης, καὶ πῶς, ἔφη, ὦ Ἱέρων, εἰ οὕτω πονηρόν ἐστι τὸ τυραννεῖν, καὶ τοῦτο σὺ ἔγνωκας, οὐκ ἀπαλλάττῃ οὕτω μεγάλου κακοῦ οὔτε σὺ, οὔτε ἄλλος μὲν δὴ οὐδεὶς πώποτε ἑκὼν εἶναι τυραννίδος ἀφεῖτο, ὅσπερ ἂν ἅπαξ κτήσαιτο; Ὅτι, ἔφη, ὦ 12
Σιμωνίδη, ταύτῃ ἀθλιώτατόν ἐστιν ἡ τυραννίς· οὐδὲ γὰρ ἀπαλλαγῆναι δυνατὸν αὐτῆς ἐστι. Πῶς γὰρ ἄν τις ποτὲ ἐξαρκέσειε τύραννος ἢ χρήματα ἐκτίνων, ὅσους ἀφείλετο, ἢ δεσμοὺς ἀντιπάσχοι, ὅσους δὴ ἐδέσμευσεν, ἢ ὅσους κατέκτανε, πῶς ἂν ἱκανὰς ψυχὰς ἀντιπαράσχοιτο ἀποθανουμένας; Ἀλλ' εἴπερ 13
τῳ ἄλλῳ, ὦ Σιμωνίδη, λυσιτελεῖ ἀπάγξασθαι, ἴσθι, ἔφη, ὅτι τυράννῳ ἔγωγε εὑρίσκω μάλιστα τοῦτο λυσιτελοῦν ποιῆσαι.

ἔπειτα ait esse *propterea*. Sed usu fere Homerico addita particula connectit membra et concinnitatem cum numero efficit. Cyrop. iv. 3, 14. ὅ γε μὴν μάλιστ' ἄν τις φοβηθείη, μή, εἰ δεήσει ἐφ' ἵππου κινδυνεύειν πρότερον ἡμᾶς, πρὶν ἀκριβοῦν τὸ ἔργον τοῦτο, κἄπειτα μήτε πεζοὶ ἔτι ὦμεν μήτε πω ἱππεῖς ἱκανοί, ἀλλ' οὐδὲ τοῦτο ἀμήχανον.

11. δὴ οὐδεὶς] Codex Lips. οὐδεὶς omisit. Post verbum κακοῦ signum interrogationis sustuli et sententiam continuavi usque ad verba οὔτε σύ.

κτήσαιτο] Margo Stephan. et Villois. κτήσηται annotavit. ὅσπερ pro ὅπερ dat Codex Lips.

12. ταύτῃ] Codex Lips. ἐν ταύτῃ dat cum edd. vett.

ἢ δεσμοὺς ἀντιπάσχοι] Vulgatum ἀντιπαράσχοι, a Dorvillio ad Charit. p. 217. damnatum, revocavit tamen Weiske, quem sero pœnituit. Quod dedi ex Dorvillii correctione, nec ipsum est sanum. Post illud enim initium, πῶς ἐξαρκέσειε τύραννος ἢ ἐκτίνων, sequi debet nunc ἀντιπάσχων, certe ἢ δεσμοὺς πῶς ἂν ἀντιπάσχοι;

ἀποθανουμένας;] Persuasi mihi ἀποθανούμενος scripsisse Xenophontem. Mortuus animam reddit; sed tyrannus pro multorum civium cæde reddere totidem animas morte violenta non potest.

Μόνῳ γὰρ αὐτῷ οὔτε ἔχειν, οὔτε καταθέσθαι τὰ κακὰ λυσιτελεῖ.

CAP. VIII.

1 ΚΑΙ ὁ Σιμωνίδης ὑπολαβὼν εἶπεν, ἀλλὰ τὸ μὲν νῦν, ὦ
Ἱέρων, ἀθύμως ἔχειν σε πρὸς τὴν τυραννίδα οὐ θαυμάζω, ἐπεί-
περ ἐπιθυμῶν φιλεῖσθαι ὑπ᾽ ἀνθρώπων, ἐμποδών σοι τούτων νο-
μίζεις αὐτὴν εἶναι. Ἐγὼ μέντοι ἔχειν μοι δοκῶ διδάξαι σε,
ὡς τὸ ἄρχειν οὐδὲν ἀποκωλύει τοῦ φιλεῖσθαι, ἀλλὰ καὶ πλεο-
2 νεκτεῖ γε τῆς ἰδιωτείας. Ἐπισκοποῦντες δὲ αὐτὸ, εἰ οὕτως
ἔχει, μήπω ἐκεῖνο σκοπῶμεν, εἰ διὰ τὸ μεῖζον δύνασθαι ὁ ἄρ-
χων καὶ χαρίζεσθαι πλείω δύναιτ᾽ ἂν, ἀλλ᾽, ἂν τὰ ὅμοια ποιῶ-
σιν ὅ τε ἰδιώτης καὶ ὁ τύραννος, ἐννόει, πότερος μείζω ἀπὸ τῶν
ἴσων κτᾶσθαι χάριν. Ἄρξομαι δέ σοι ἀπὸ τῶν μικροτάτων
3 παραδειγμάτων. Ἰδὼν γὰρ πρῶτον προσειπάτω τινὰ φιλι-
κῶς ὅ τε ἄρχων καὶ ὁ ἰδιώτης. Ἐν τούτῳ τὴν ποτέρου πρόσ-
ρησιν μᾶλλον εὐφραίνειν τὸν ἀκούσαντα νομίζεις; ἴθι δὴ, ἐπαι-
νεσάντων ἀμφοτέρων τὸν αὐτὸν, τὸν ποτέρου δοκεῖς ἔπαινον ἐξ-
ικνεῖσθαι μᾶλλον εἰς εὐφροσύνην; θύσας δὲ τιμησάτω ἑκάτερος·
τὴν παρ᾽ ὁποτέρου τιμὴν μείζονος ἂν χάριτος δοκεῖς τυγχάνειν;
4 κάμνοντα θεραπευσάτωσαν ὁμοίως· οὐκοῦν τοῦτο σαφὲς, ὅτι
αἱ ἀπὸ τῶν δυνατωτάτων θεραπεῖαι καὶ χαρὰν ἐμποιοῦσι με-
γίστην; δότωσαν δὴ τὰ ἴσα· οὐ καὶ ἐν τούτῳ σαφὲς, ὅτι αἱ
ἀπὸ τῶν δυνατωτάτων ἡμίσειαι χάριτες πλέον ἢ ὅλον τὸ παρὰ
5 τοῦ ἰδιώτου δώρημα δύνανται; Ἀλλ᾽ ἔμοιγε δοκεῖ καὶ ἐκ
θεῶν τιμή τις καὶ χάρις συμπαρέπεσθαι ἀνδρὶ ἄρχοντι. Μὴ
γὰρ ὅτι καλλίονα ποιεῖ ἄνδρα, ἀλλὰ καὶ τὸν αὐτὸν τοῦτον

Cap. VIII. 1. ἔχειν μοι] Edd. vett. μοι ἔχειν dant. Paulo antea τοῦτο νομίζεις margo Villois.

πλεονεκτεῖ γε] Vulgatum πλεονεκτεῖν Castalio correxit probante Stephano. At particulam γε quid h. l. significare dicemus?

2. κτᾶσθαι] Edd. vett. lectionem revocavit Weiske, quam cum Castalione consentiente Cod. Lips. in κτᾶται mutarunt recentiores. At ita debebat esse optativus, non indicativus; contra ad κτᾶσθαι repetendum est δύναιτ᾽ ἄν.

3. ἔπαινον] Vocabulum omisit liber Lips.

τιμησάτω] Honoris causa ad cœnam vel viscerationem vocet. Deinde ἐντυγχάνειν dabant edd. vett.

4. τοῦ ἰδιώτου] Articulum omittit liber Lips.

5. ποιεῖ] Scilicet ἡ ἀρχὴ, ex ἄρχοντι repetenda cogitatione.

θεώμεθά τε ἥδιον ὅταν ἄρχῃ, ἢ ὅταν ἰδιωτεύῃ, διαλεγόμενοί τε
ἀγαλλόμεθα τοῖς προτετιμημένοις μᾶλλον, ἢ τοῖς ἐκ τοῦ ἴσου
ἡμῖν οὖσι. Καὶ μὴν παιδικά γε, ἐν οἷς δὴ καὶ σὺ μάλιστα 6
κατεμέμψω τὴν τυραννίδα, ἥκιστα μὲν γῆρας ἄρχοντος δυσ-
χεραίνει, ἥκιστα δ' αἶσχος, πρὸς ὃν ἂν τυγχάνοι ὁμιλῶν,
τούτου ὑπολογίζεται. Αὐτὸ γὰρ τὸ τετιμῆσθαι μάλιστα συν-
επικοσμεῖ, ὥστε τὰ μὲν δυσχερῆ ἀφανίζειν, τὰ δὲ καλὰ λαμ-
πρότερα ἀναφαίνειν. Ὁπότε γε μὴν ἐκ τῶν ἴσων ὑπουργημά- 7
των μειζόνων χαρίτων ὑμεῖς τυγχάνετε, πῶς οὐκ, ἐπειδάν γε
ὑμεῖς πολλαπλάσια μὲν διαπράττοντες ὠφελεῖν δύνησθε, πολ-
λαπλάσια δὲ δωρεῖσθαι ἔχητε, ὑμᾶς καὶ πολὺ μᾶλλον φι-
λεῖσθαι τῶν ἰδιωτῶν προσήκει; Καὶ ὁ Ἱέρων εὐθὺς ὑπολαβών, 8
ὅτι νὴ Δία, ἔφη, ὦ Σιμωνίδη, καὶ ἐξ ὧν ἀπεχθάνονται οἱ ἄν-
θρωποι, ἡμᾶς πολὺ πλείω τῶν ἰδιωτῶν ἀνάγκη ἐστὶ πραγμα-
τεύεσθαι. Πρακτέον μέν γε χρήματα, εἰ μέλλοιμεν ἕξειν 9
δαπανᾶν εἰς τὰ δέοντα· ἀναγκαστέον δὲ φυλάσσειν, ὅσα δεῖ-
ται φυλακῆς· κολαστέον δὲ τοὺς ἀδίκους, κωλυτέον δὲ τοὺς
ὑβρίζειν βουλομένους. Καὶ ὅταν γε τάχους καιρὸς παραστῇ,
ἢ πεζῇ ἢ κατὰ θάλασσαν ἐξορμᾶσθαι, οὐκ ἐπιτρεπτέον τοῖς
ῥᾳδιουργοῦσιν. Ἔτι δὲ μισθοφόρων μὲν ἀνδρὶ τυράννῳ δεῖ· 10
τούτου δὲ βαρύτερον φόρημα οὐδέν ἐστι τοῖς πολίταις. Οὐ
γὰρ τυράννοις ἰσοτίμους, ἀλλὰ πλεονεξίας ἕνεκα νομίζουσι
τούτους τρέφεσθαι.

ἥδιον] Vocabulum adjecit primus Castalio eumque secutus Zeune; contra μᾶλλον cum Brodæo Stephanus et Leoncl. inseri maluerunt.

6. ἥκιστα δ' αἶσχος] Vulgatum ἥκιστα δ' ἂν αἶσχος ex Cod. Lips. et margine Villois. correxi: deinde τυγχάνῃ idem liber habet, quod est in Steph. secunda et ipse præfero: sequens τούτου pro vulgato τοῦτο debetur Weiskio: refertur ad αἶσχος. In Steph. sec. præterea margo πρὸς ὃ annotavit, quod est etiam in margine Villois.

7. ὠφελεῖν δύνησθε] Mirum Weiskio antiquum δυνήσεσθε placuisse, damnata vera Stephani conjectura. Idem vitium ἐπειδὰν ἀγνοεῖς revocavit vir doctus in Memor. i. 2, 35. iv. 3, 4. 6. 9. non admonito lectore. In margine Villois. est δύνυσθε.

8. ἄνθρωποι, ἡμᾶς] Ita admonitu meo primus distinxit verba Weiske, commate collocato post ἄνθρωποι, quod erat post ἡμᾶς.

9. μέν γε] Weiske μὲν γὰρ scribendum censet, deinde μέλλομεν, hoc quidem posterius verissime.

10. φόρημα] Margo Steph. et Villois. φρόνημα annotavit.

ἰσοτίμους] Huic librorum lectioni (Cod. Lips. ἰσοτίμος dat) Brodæus vitium tolli putabat inserendo μόνον ante τυράννοις; contra in locum ἰσοτίμους Leoncl. τιμῆς, Dorvillius ἰσοτι-

CAP. IX.

1 ΠΡΟΣ ταῦτα δὴ πάλιν εἶπεν ὁ Σιμωνίδης, ἀλλ' ὅπως μὲν
οὐ πάντων τούτων ἐπιμελητέον, ὦ Ἱέρων, οὐ λέγω. Ἐπιμέ-
λειαί γε μέντοι μοι δοκοῦσιν αἱ μὲν πάνυ πρὸς ἔχθραν ἄγειν,
2 αἱ δὲ πάνυ διὰ χαρίτων εἶναι. Τὸ μὲν γὰρ διδάσκειν, ἅ
ἐστι βέλτιστα, καὶ τὸν κάλλιστα ταῦτα ἐξεργαζόμενον ἐπαι-
νεῖν, καὶ τιμᾷν, αὕτη μὲν ἡ ἐπιμέλεια διὰ χαρίτων γίγνεται·
τὸ δὲ τὸν ἐνδεῶς τι ποιοῦντα λοιδορεῖν τε καὶ ἀναγκάζειν, καὶ
ζημιοῦν καὶ κολάζειν, ταῦτα δὲ ἀνάγκη δι' ἀπεχθείας μᾶλλον
3 γίγνεσθαι. Ἐγὼ οὖν φημὶ, ἀνδρὶ ἄρχοντι τὸ μὲν τὸν ἀνάγ-
κης δεόμενον ἄλλοις προστακτέον εἶναι κολάζειν, τὸ δὲ τὰ
ἆθλα ἀποδιδόναι δι' αὐτοῦ ποιητέον. Ὡς δὲ ταῦτα καλῶς
4 ἔχει, μαρτυρεῖ τὰ γιγνόμενα. Καὶ γὰρ ὅταν χοροὺς ἡμῖν
βουλώμεθα ἀγωνίζεσθαι, ἆθλα μὲν ὁ ἄρχων προτίθησιν, ἀθροί-
ζειν δὲ αὐτοὺς προστέτακται χορηγοῖς, καὶ ἄλλοις διδάσκειν,
καὶ ἀνάγκην προστιθέναι τοῖς ἐνδεῶς τι ποιοῦσιν. Οὐκοῦν
εὐθὺς ἐν τούτοις τὸ μὲν ἐπίχαρι διὰ τοῦ ἄρχοντος ἐγένετο, τὰ
5 δ' ἀντίτυπα δι' ἄλλων. Τί οὖν κωλύει καὶ τἄλλα τὰ πολι-
τικὰ οὕτω περαίνεσθαι; διῄρηνται μὲν γὰρ ἅπασαι αἱ πόλεις
αἱ μὲν κατὰ φυλὰς, αἱ δὲ κατὰ μοίρας, αἱ δὲ κατὰ λόχους·

μίας substitui voluerunt; σωτηρίας ex versione Aretini adscivit Zeune. Videtur reconditum aliquod vocabulum latere in vitio aperto.

Cap. IX. 1. εἶπεν ὁ Σιμ.] Cod. Lips, ὁ Σιμ. εἶπεν.

ἐπιμέλειαί γε] Ex Stobæo p. 320. assumsi γε, quod ibi etiam Codex Parisinus a Grotio comparatus dat.

2. διδάσκειν] Ex Stobæo τε addidit Zeune, qui et sequens ἐξεργαζόμενον inde assumsit in locum simplicis verbi. Compositum annotavit etiam margo Steph. ἐξαρχόμενον margo Villois.

αὕτη μὲν ἡ] Articulum ex Stobæo addidit Zeune, quem habet etiam Cod. Lips. et margo Villois.

τὸν—ποιοῦντα] Cod. Paris. Stobæi τῶν ἐνδεῶς τι ποιούντων.

3. τὸν ἀνάγκης δεόμενον] Articulum addendum esse recte censuit Stephanus, cui nemo hucusque obtemperavit, nisi quod Weiske τὸ μὲν pertinere ad κολάζειν, non ad δεόμενον admonuit. Sententiam eandem noster proposuit in Cyrop viii. 1, 18. viii. 2, 27.

δι' αὐτοῦ] Edd. vett. δι' αὐτοῦ, Stobæus δι' ἑαυτοῦ.

4. ἡμῖν βουλώμεθα] Stobæus β. ἡμεῖν dat. ὁ ἄρχων Weiskio est idem cum ἀγωνοθέτῃ· mihi est magistratus is, qui sacra cum choris curat.

ἐπίχαρι] Ex Stobæo ἐπιχάριτα—τὰ adscivit Zeune, quod et Cod. Lips. habere videtur, et ipse magis probo.

5. πολιτικὰ] Cod. Lips. κωλυτικὰ cum edd. vett. Verum dedit Stobæus.

κατὰ μοίρας] Videtur μόρας scri-

καὶ ἄρχοντες ἐφ' ἑκάστῳ μέρει ἐφεστήκασιν· οὐκοῦν εἴ τις καὶ 6
τούτοις, ὥσπερ τοῖς χοροῖς, ἆθλα προτιθείη καὶ εὐοπλίας, καὶ
εὐταξίας, καὶ ἱππικῆς, καὶ ἀλκῆς τῆς ἐν πολέμῳ, καὶ δικαιο-
σύνης τῆς ἐν συμβολαίοις, εἰκὸς καὶ ταῦτα πάντα διὰ φιλο-
νεικίαν εὐτόνως ἀσκεῖσθαι. Καὶ ναὶ μὰ Δία ὁρμῷντό γ' ἂν 7
θᾶττον, ὅποι δέοι, τιμῆς ὀρεγόμενοι, καὶ χρήματα θᾶσσον ἂν
εἰσφέροιεν, ὁπότε τούτου καιρὸς εἴη, καὶ (τὸ πάντων μὲν χρησι-
μώτατον, ἥκιστα δὲ εἰθισμένον διὰ φιλονεικίας πράσσεσθαι) ἡ
γεωργία αὐτὴ ἂν πολὺ ἐπιδοίη, εἴτις ἆθλα προτιθείη κατ'
ἀγροὺς ἢ κατὰ κώμας τοῖς κάλλιστα τὴν γῆν ἐξεργαζομένοις,
καὶ τοῖς εἰς τοῦτο τῶν πολιτῶν ἐῤῥωμένως τρεπομένοις πολλὰ
ἂν ἀγαθὰ περαίνοιτο. Καὶ γὰρ αἱ πρόσοδοι αὔξοιντ' ἄν, καὶ 8
ἡ σωφροσύνη πολὺ μᾶλλον σὺν τῇ ἀσχολίᾳ συμπαρομαρτοῖ.
Καὶ μὴν κακουργίαι γε ἧσσον τοῖς ἐνεργοῖς ἐμφύονται. Εἰ δὲ 9
καὶ ἐμπορία ὠφελεῖ τι πόλιν, τιμώμενος ἂν ὁ πλεῖστα τοῦτο
ποιῶν καὶ ἐμπόρους ἂν πλείους ἀγείροι. Εἰ δὲ φανερὸν γέ-
νοιτο, ὅτι καὶ ὁ πρόσοδόν τινα ἄλυπον ἐξευρίσκων τῇ πόλει τι-
μήσεται, οὐδ' αὕτη ἂν ἡ σκέψις ἀργοῖτο. Ὡς δὲ συνελόντι 10

bendum. Descriptio civium in μόρας fuit Laconica, uti notum; alia in φυλὰς fuit Attica; tertia κατὰ λόχους Thebanorum et Argivorum fuit, ut apparet ex Hellenicis vi. 4, 13. vii. 2, 4. Pertinuit hæc descriptio non solum ad munera civium civilia, sed etiam ad bellica. Memorat enim Xenophon in Hellenicis φυλὰς Atticas, ubi ordinem exercitus Attici enarrat.

6. τοῖς χοροῖς] Margo Villois. habet ἐπὶ χοροῖς.

καὶ εὐοπλίας] Stobæus locum ita posuit εὐταξίας καὶ εὐοπλίας ἱππικῆς καὶ ἀλκῆς ἐν πολέμῳ καὶ δικαιοσύνης ἐν τοῖς συμβολαίοις (in textu est συμβόλοις)—φιλονεικίας.

7. ναὶ μὰ Δία] Stobæus νὴ Δία.

ὁρμῷντό γ' ἂν] Sic ex Juntina, Cod. Lips. et Stobæo scripsi. Vulgo particula γε deest.

ὅποι] Stobæus ὅπου dat cum margine Villois.

θᾶσσον ἂν εἰσφέροιεν] Stobæus θᾶσσον ἂν εἰσφέροιντο· unde ἂν adscivi. θᾶττον Cod. Lips.

πάντων μὲν] Scripsi μὲν, ubi vulgo legitur γε, etsi δὲ sequens non habet quo referatur, et γε notione non sua positum sit.

γεωργία αὐτὴ] Stobæi καὶ αὐτὴ placuit Stephano. deinde ἥ τις ἆθλα Cod. Lips. τοῖς μάλιστα τὴν γῆν Stobæus. Postea προτρεπομένοις dat margo Villois. Ceterum narratio Plutarchi in Apophth. Regum p. 89. digna est quæ huc referatur de Gelone Hieronis fratre: ἐξῆγε δὲ πολλάκις τοὺς Συρακουσίους ὡς ἐπὶ στρατείαν καὶ φυτείαν, ὅπως ἥ τε χώρα βελτίων γένηται γεωργουμένη καὶ μὴ χείρους αὐτοὶ σχολάζοντες.

8. συμπαρομαρτοῖ] Edd. vett. συμπαρομαρτεῖ.

9. ὁ πλεῖστα τοῦτο ποιῶν] Estne ὁ ἐμπορευόμενος? an ὁ πλεῖστα ὠφελῶν?

ἀργοῖτο] Non cessaverit, sed fructus civitati varios afferet. Utitur passivo noster etiam in Cyrop. ii. 3,

εἰπεῖν, εἰ καὶ κατὰ πάντων ἐμφανὲς εἴη, ὅτι ὁ ἀγαθόν τι εἰσ-
ηγούμενος οὐκ ἀτίμητος ἔσται, πολλοὺς ἂν καὶ τοῦτο ἐξορμή-
σειεν ἔργον ποιεῖσθαι τὸ σκοπεῖν τι ἀγαθόν. Καὶ ὅταν γε
πολλοῖς περὶ τῶν ὠφελίμων μέλη, ἀνάγκη, εὑρίσκεσθαί τε
11 μᾶλλον καὶ ἐπιτελεῖσθαι. Εἰ δὲ φοβῇ, ὦ Ἱέρων, μὴ ἐν πολ-
λοῖς ἄθλων προτεθειμένων πολλαὶ δαπάναι γίγνωνται, ἐννόη-
σον, ὅτι οὐκ ἔστιν ἐμπορεύματα λυσιτελέστερα, ἢ ὅσα ἄνθρωποι
ἄθλων ὠνοῦνται. Ὁρᾷς ἐν ἱππικοῖς καὶ χορηγικοῖς ἀγῶσιν
ὡς μικρὰ ἆθλα μεγάλας δαπάνας καὶ πολλοὺς πόνους καὶ
πολλὰς ἐπιμελείας ἐξάγεται ἀνθρώπων;

CAP. X.

1 ΚΑΙ ὁ Ἱέρων εἶπεν, ἀλλὰ ταῦτα μὲν, ὦ Σιμωνίδη, καλῶς
μοι δοκεῖς λέγειν· περὶ δὲ τῶν μισθοφόρων ἔχεις τι εἰπεῖν, ὡς
μὴ μισεῖσθαι δι' αὐτούς; ἢ λέγεις, ὡς φιλίαν κτησάμενος ἄρ-
χων οὐδὲν ἔτι δεήσεται δορυφόρων; Ναὶ μὰ Δία, εἶπεν ὁ Σι-
2 μωνίδης, δεήσεται μὲν οὖν. Οἶδα γὰρ, ὅτι ὥσπερ ἐν ἵπποις,
οὕτω καὶ ἐν ἀνθρώποις τισὶν ἐγγίγνεται, ὅσῳ ἂν ἔκπλεω τὰ
3 δέοντα ἔχωσι, τοσούτῳ ὑβριστοτέροις εἶναι. Τοὺς μὲν οὖν τοι-
ούτους μᾶλλον ἂν σωφρονίζοι ὁ ἀπὸ τῶν δορυφόρων φόβος.
Τοῖς δὲ καλοῖς κἀγαθοῖς ἀπ' οὐδενὸς ἄν μοι δοκεῖς τοσαῦτα
4 ὠφελήματα παρασχεῖν, ὅσα ἀπὸ τῶν μισθοφόρων. Τρέφεις

3. γῆ ἀμεληθεῖσα καὶ ἐξαργηθεῖσα est in Plutarchi libello de liberorum educatione cap. iv.

10. ἀτίμητος] Margo Villois. ἄτιμος habet pejus.

τὸ σκοπεῖν τι] Stobæi τὸ σκοπεῖσθαι cum Welsio recepit Bachius, rejecit Zeune, mediæ formæ verbi rationem habens; de genitivo articuli non cogitabat. Vulgatum τοῦ nullo modo ferri debebat. Articulus enim aut omittitur, ut in Memor. ii. 10, 6. aut in eodem casu cum ἔργον collocandus erat. Dicitur enim τοῦτο ἔργον ποιοῦμαι vel ἔχω, non τούτου.

μέλη] Edd. vett. μέλλη. Rectum est etiam in margine Villois. Ceterum Stobæus ὅταν πολλοῖς omisso inutili γε dat, ut deinde εὑρίσκεσθαι μᾶλλον, omisso τε. Supra viii. 9. ὅταν γε similiter est.

ἐπιτελεῖσθαι] Edd. vett. cum Cod. Lips, ἐπιμελεῖσθαι. Alterum vertit Aretinus et ex Stobæo adsoivit Stephanus in altera editione.

11. ἐν πολλοῖς] Multis præmia proponenda, non in multis dicere Xenophon voluit; præpositionem igitur delendam censeo.

λυσιτελέστερα] Merces viliores recte Erasmus vertit.

2. ἔκπλεω] Cod. Lips. ἔκπλεα.

3. ἀπ' οὐδενὸς ἂν] Weiskio αὖ scribendum videbatur; sed verbum παρασχεῖν necessario adjunctum habet ἂν, hac quidem significatione.

μὲν γάρ δήπου καὶ σὺ αὐτοὺς σαυτῷ φύλακας· ἤδη δὲ πολλοὶ
καὶ δεσπόται βίᾳ ὑπὸ τῶν δούλων ἀπέθανον. Εἰ οὖν ἓν πρῶ-
τον τοῦτ' εἴη τῶν προστεταγμένων τοῖς μισθοφόροις, ὡς πάντων
ὄντας δορυφόρους τῶν πολιτῶν βοηθεῖν πᾶσιν, ἄν τι τοιοῦτον αἰ-
σθάνωνται· . . . γίγνονται δέ που, ὡς πάντες ἐπιστάμεθα, κα-
κοῦργοι ἐν πόλεσιν· εἰ οὖν καὶ τούτους φυλάττειν εἶεν τεταγ-
μένοι, καὶ τοῦτ' ἂν εἰδεῖεν ὑπ' αὐτῶν ὠφελούμενοι. Πρὸς δὲ 5
τούτοις, καὶ τοῖς ἐν τῇ χώρᾳ ἐργάταις καὶ κτήνεσιν οὗτοι ἂν
εἰκότως καὶ θάρσος καὶ ἀσφάλειαν δύναιντο μάλιστα παρέχειν,
ὁμοίως μὲν τοῖς σοῖς ἰδίοις, ὁμοίως δὲ τοῖς ἀνὰ τὴν χώραν.
Ἱκανοί γε μὴν εἰσὶ καὶ σχολὴν παρέχειν τοῖς πολίταις τῶν
ἰδίων ἐπιμελεῖσθαι, τὰ ἐπίκαιρα φυλάσσοντες. Πρὸς δὲ 6
τούτοις, καὶ πολεμίων ἐφόδους κρυφαίας καὶ ἐξαπιναίας
τίνες ἑτοιμότεροι ἢ προαισθέσθαι ἢ κωλῦσαι τῶν ἀεὶ ἐν ὅπλοις
τε ὄντων καὶ συντεταγμένων; ἀλλὰ μὴν καὶ ἐν τῇ στρατείᾳ
τί ἐστιν ὠφελιμώτερον πολίταις μισθοφόρων; τούτους γὰρ προ-
πονεῖν, καὶ προκινδυνεύειν, καὶ προφυλάττειν εἰκὸς ἑτοιμοτά-
τους εἶναι. Τὰς δ' ἀγχιτέρμονας πόλεις οὐκ ἀνάγκη διὰ 7
τοὺς ἀεὶ ἐν ὅπλοις ὄντας, καὶ εἰρήνης μάλιστα ἐπιθυμεῖν; οἱ
γὰρ συντεταγμένοι καὶ σώζειν τὰ τῶν φίλων μάλιστα, καὶ
σφάλλειν τὰ τῶν πολεμίων δύναιντ' ἄν. Ὅταν γε μὴν γνῶ- 8
σιν οἱ πολῖται, ὅτι οὗτοι κακὸν μὲν οὐδὲν ποιοῦσι τὸν μηδὲν

4. αἰσθάνωνται· . . .] Lacunæ signum apposuit Weiske, quia apodosis de servis seditiosis omissa est; nisi velis κακούργους de illis interpretari cum Interpretibus reliquis, qui verba γίγνονται—πόλεσιν parenthesi incluserant. At ita geminum καὶ fit plane otiosum et inutile. Ceterum δούλους a κακούργοις similiter distinguit noster supra cap. iv. sect. 3. Paulo antea ἅπασιν dat margo Villois.

καὶ τοῦτ' ἂν] Margo Villois. καί τι ἂν dat.

5. τῶν ἰδίων] Edd. vett. cum Cod. Lips. τῶν ἰδιωτῶν, quod in καὶ τῶν σῶν ἰδίων mutabat Brodæus.

ἐπίκαιρα] Brodæus aliunde memorat ἐπικαίρια. Cod. Lips. ἐπίκηρα a prima manu scriptum habet.

6. ἐν τῇ στρατείᾳ] Edd. vett. στρατιᾷ. quod mutavit Leonclavio auctore Zeune. Equidem Cod. Lips. scripturam ἐν στρατιᾷ unice probo. Articulus hic est inutilis. Sic supra vi. 9. ἡμεῖς γε ὅταν ὦμεν ἐν στρατιᾷ.

7. Τὰς δ' ἀγχιτέρμονας] Ex versione Aretini, edd. Stephani δὲ restituit Zeune, omissum in edd. vett. et Cod. Lips. Brodæus τὰς δὲ—πῶς οὐκ ἀνάγκη germanam lectionem esse ait.

ἐν ὅπλοις] Margo Steph. ἐνόπλους.

τὰ τῶν φίλων] Priorem articulum omittunt edd. vett. sed habet etiam margo Villois.

ἀδικοῦντα, τοὺς δὲ κακουργεῖν βουλομένους κωλύουσι, βοηθοῦσι δὲ τοῖς ἀδικουμένοις, προνοοῦσι δὲ καὶ προκινδυνεύουσι τῶν πολιτῶν, πῶς οὐκ ἀνάγκη καὶ δαπανᾶν εἰς τούτους ἥδιστα; τρέφουσι γοῦν καὶ ἰδίᾳ ἐπὶ μείοσι τούτων φύλακας.

CAP. XI.

1 ΧΡΗ δὲ, ὦ Ἱέρων, οὐδ᾽ ἀπὸ τῶν ἰδίων κτημάτων ὀκνεῖν
δαπανᾶν εἰς τὸ κοινὸν ἀγαθόν. Καὶ γάρ ἔμοιγε δοκεῖ τὰ εἰς
τὴν πόλιν ἀναλούμενα μᾶλλον εἰς τὸ δέον τελεῖσθαι ἢ τὰ εἰς
2 τὸ ἴδιον ἀνδρὶ τυράννῳ. Καθ᾽ ἓν δ᾽ ἕκαστον σκοπῶμεν. Οἰκίαν πότερον ὑπερβαλλούσῃ δαπάνῃ κεκαλλωπισμένην μᾶλλον ἡγῇ κόσμον ἄν σοι παρέχειν, ἢ πᾶσαν τὴν πόλιν τείχεσί τε καὶ ναοῖς καὶ παραστάσι καὶ ἀγοραῖς καὶ λιμέσι κατε-
3 σκευασμένην; Ὅπλοις δὲ πότερον τοῖς ἐκπαγλοτάτοις αὐτὸς κατακεκοσμημένος δεινότερος ἂν φαίνοιο τοῖς πολεμίοις, ἢ τῆς
4 πόλεως ὅλης εὐόπλου σοι οὔσης; Προσόδους δὲ ποτέρως ἂν δοκεῖς πλείονας γίγνεσθαι, εἰ τὰ σὰ ἰδίᾳ μόνον ἐνεργὰ ἔχοις, ἢ εἰ τὰ πάντων τῶν πολιτῶν μεμηχανημένος εἴης ἐνεργὰ εἶναι;
5 Τὸ δὲ πάντων κάλλιστον καὶ μεγαλοπρεπέστατον νομιζόμενον εἶναι ἐπιτήδευμα, ἁρματοτροφίαν, ποτέρως ἂν δοκεῖς μάλιστα κοσμεῖν, εἰ αὐτὸς πλεῖστα τῶν Ἑλλήνων ἅρματα τρέφοις τε, καὶ πέμποις εἰς τὰς πανηγύρεις, ἢ εἰ ἐκ τῆς πόλεως πλεῖστοι

2. παραστάσι] Pollux vii. 27. putatur ex h. l. παραστάδας interpretari ἐξέδρας. Sed ibi libri veteres παστάδας nominant, atque omnino hunc locum ibi respici negat Ernesti, qui παστάσι hic scribendum censet. Vulgatam lectionem defendere satagebat Weiske, sed is nisi conjecturas non attulit. Παραστάδες in loco Euripidis Phoen. 418. de foribus ædium dicuntur: et in locis Vitruvii iii. 1. ναὸς ἐν παραστάσιν dicitur, qui Latinis templum erat *in antis*. Hæ antæ seu παραστάδες cingunt utrinque cellæ ostium vel introitum. Similiter παραστατικὴ Vitruvio usurpatur; nec ullus extat locus, ubi παραστὰς ornamentum vel partem adjectam loco privato vel publico significet extra fores. Igitur h. l. præfero lectionem παστάσι, et intelligo porticus, inprimis eas, quæ foris Græcorum adjungi solebant, teste etiam Vitruvio v. 1. et quidem duplices. Cf. etiam Pausanias vi. 24.

4. ἂν δοκεῖς] Sic ex Cod. Lips. scripsi pro δοκῇς barbaro. ἂν pertinet ad γίγνεσθαι. Hoc iterum eodem auctore feci sect. 5.

ἰδίᾳ] H. Stephanus ἴδια malebat, ut cap. x. 5. et infra sect. 12. Deinceps ἔχεις edd. vett. dant.

5. μάλιστα κοσμεῖν] Margo Steph. et Villois. cum libro Lips. dant μᾶλλον, quod præferam.

εἰ αὐτὸς] Victorias Hieronis carmine celebravit Pindarus.

ἐκ τῆς πόλεως] Cod. Lips. τῆς σῆς πόλεως dat cum margine Villois.

μὲν ἱπποτρόφοι εἶεν, πλεῖστοι δ' ἀγωνίζοιντο; νικᾷν δὲ πότερα
δοκεῖς κάλλιον εἶναι ἅρματος ἀρετῇ, ἢ πόλεως, ἧς προστα-
τεύεις, εὐδαιμονίᾳ; Ἐγὼ μὲν γὰρ οὐδὲ προσήκειν φημὶ ἀνδρὶ 6
τυράννῳ πρὸς ἰδιώτας ἀγωνίζεσθαι. Νικῶν μὲν γὰρ οὐκ ἂν
θαυμάζοιο, ἀλλὰ φθονοῖο, ὡς ἀπὸ πολλῶν οἴκων τὰς δαπά-
νας ποιούμενος· νικώμενος δ' ἂν πάντων μάλιστα καταγε-
λῷο. Ἀλλ' ἐγώ σοι φημὶ, ὦ Ἱέρων, πρὸς ἄλλους προστά- 7
τας πόλεων τὸν ἀγῶνα εἶναι, ὧν ἐὰν σὺ εὐδαιμονεστάτην τὴν
πόλιν, ἧς προστατεύεις, παρέχῃς, εὖ ἴσθι νικῶν τῷ καλλίστῳ
καὶ μεγαλοπρεπεστάτῳ ἐν ἀνθρώποις ἀγωνίσματι. Καὶ πρῶ- 8
τον μὲν εὐθὺς κατειργασμένος ἂν εἴης τὸ φιλεῖσθαι ὑπὸ τῶν
ἀρχομένων· οὗ δὴ σὺ ἐπιθυμῶν τυγχάνεις· ἔπειτα δὲ τὴν σὴν
νίκην οὐκ ἂν εἷς εἴη ὁ ἀνακηρύττων, ἀλλὰ πάντες ἄνθρω-
ποι ὑμνοῖεν ἂν τὴν σὴν ἀρετήν. Περίβλεπτος δὲ ὢν, οὐχὶ ὑπὸ 9
ἰδιωτῶν μόνον, ἀλλὰ καὶ ὑπὸ πολλῶν πόλεων ἀγαπῷο ἂν,
καὶ θαυμαστὸς οὐκ ἰδίᾳ μόνον, ἀλλὰ καὶ δημοσίᾳ παρὰ πᾶ-
σιν ἂν εἴης. Καὶ ἐξείη μὲν ἄν σοι ἕνεκεν ἀσφαλείας, εἴ ποι 10
βούλοιο, θεωρήσοντι πορεύεσθαι, ἐξείη δ' ἂν αὐτοῦ μένοντι τοῦτο
πράττειν. Ἀεὶ γὰρ ἂν παρὰ σοὶ πανήγυρις εἴη τῶν βουλο-
μένων ἐπιδεικνύναι, εἴτις τι σοφὸν, ἢ καλὸν, ἢ ἀγαθὸν ἔχοι,
τῶν δὲ καὶ ἐπιθυμούντων ὑπηρετεῖν. Πᾶς δὲ ὁ μὲν παρὼν 11
σύμμαχος ἂν εἴη σοὶ, ὁ δὲ ἀπὼν ἐπιθυμοίη ἂν ἰδεῖν σε. Ὥστε
οὐ μόνον φιλοῖο ἂν, ἀλλὰ καὶ ἐρῷο ὑπ' ἀνθρώπων· καὶ τοὺς
καλοὺς οὐ πειρᾷν, ἀλλὰ πειρώμενον ὑπ' αὐτῶν ἀνέχεσθαι ἄν
σε δέοι· φόβον δὲ οὐκ ἂν ἔχοις, ἀλλ' ἄλλοις παρέχοις, μήτι

πότερα] Margo Steph. ποτέρᾳ.

7. παρέχῃς] Hoc ex libro Lips. prætuli vulgato παρέχοις. Exempla optativi modi juncti particulæ ἐὰν, quæ vulgo afferuntur, vitiosa esse egregie docuit G. Hermann. ad Vigerum p. 787.

εὖ ἴσθι νικῶν] Vulgatum εὖ ἔσῃ cum Cantero N. Lect. i. 13. et Leoncl. correxi, quod damnavit etiam Weiske.

ἐν ἀνθρώποις] An fuit τῶν ἐν ἀνθρώποις? Demosthenes Orat. p. 1246. ed. Reiskii: τῶν ἐν ἀνθρώποις ἁπάντων δεινότατον. Formulam illustravi in Indice Memorabil. Socrat. Adde Cyrop. ii. 2, 17.

8. πάντες ἄνθρωποι] Margo Villois. πάντες οἱ ἄνθρωποι dat.

9. οὐχὶ] Cod. Lips. οὐχ dat.

10. θεωρήσοντι] Cod. Lips. θεωρήσων τὶ supra scriptum habet. Cf. cap. i. sect. 12. Paulo antea εἴ ποι scribendum recte monuit Weiske pro vulgato εἴπου.

ὑπηρετεῖν] *Parare seu conficere aliquid scitum aut elegans aut commodum, quod non jam haberent paratum, aut quod ipse in animum induxeris parare.* Sic recte Weiske.

12 πάθῃς· ἑκόντας δὲ τοὺς πειθομένους ἔχοις ἄν, καὶ ἐθελουσίως
σου προνοοῦντας θεῷο ἄν. Εἰ δέ τις κίνδυνος εἴη, οὐ συμμά-
χους μόνον, ἀλλὰ καὶ προμάχους καὶ προθύμους ὁρῴης ἄν·
πολλῶν μὲν δωρεῶν ἀξιούμενος, οὐκ ἀπορῶν δὲ, ὅτῳ τούτων
εὐμενεῖ μεταδώσεις· πάντας μὲν συγχαίροντας ἔχων ἐπὶ τοῖς
σοῖς ἀγαθοῖς, πάντας δὲ πρὸ τῶν σῶν [ἰδίων], ὥσπερ τῶν
13 ἰδίων, μαχομένους. Θησαυρούς γε μὴν ἔχοις πάντας τοὺς
παρὰ τοῖς φίλοις πλούτους. Ἀλλὰ θαῤῥῶν, ὦ Ἱέρων, πλού-
τιζε μὲν τοὺς φίλους· σαυτὸν γὰρ πλουτιεῖς. Αὔξει δὲ τὴν
πόλιν· σαυτῷ γὰρ δύναμιν περιάψεις· κτῶ δὲ αὐτῇ συμμά-
14 χους, . . . Νόμιζε δὲ τὴν μὲν πατρίδα οἶκον, τοὺς δὲ πολίτας,
ἑταίρους· τοὺς δὲ φίλους, τέκνα σεαυτοῦ· τοὺς δὲ παῖδας, ὅ
τι περ τὴν σὴν ψυχήν. Καὶ τούτους πάντας πειρῶ νικᾷν εὖ
15 ποιῶν. Ἐὰν γὰρ τοὺς φίλους κρατῇς εὖ ποιῶν, οὐ μή σοι
δύνωνται ἀντέχειν οἱ πολέμιοι. Κἂν ταῦτα πάντα ποιῇς, εὖ
ἴσθι πάντων τῶν ἐν ἀνθρώποις κάλλιστον καὶ μακαριώτατον
κτῆμα κεκτημένος· εὐδαιμονῶν γὰρ οὐ φθονηθήσῃ.

12. *συμμάχους μόνον*] Cod. Lips. *μόνον συμμάχους*.

τῶν σῶν [*ἰδίων*]] Seclusi *ἰδίων* tanquam suspectum et inutile. Quid enim eo opus erat? Contra distinctionem plane tollit, et sententiam turbat. Alia est ratio cap. x. 5. Mecum sentit Weiske in Addendis.

13. *κτῶ δὲ αὐτῇ συμμάχους*] Lacunæ signum recte apposuit Weiske; deest enim apodosis, hujus fere sententiæ: *σαυτῷ γὰρ ἕξεις συμμαχοῦντας*.

15. *κρατῇς*] Edd. vett. *κρατεῖς*.

οὐ μή σοι δύνωνται] Cod. Lips. *δύνανται*. Noster Cyrop. iii. 2, 8. *ὡς οἵγε Ἀρμένιοι οὐ μὴ δέξωνται τοὺς πολεμίους*. Plato Gorgiæ sect. 49. *σὺ δὲ οὐ μὴ ἐκπλαγῇς οὐδὲ μὴ αἰσχυνθῇς*. Longe est diversa ratio formulæ *οὐ μὴ παύσεσθε* et similium positarum pro imperativo *παύσασθε*, de quibus Brunck. ad Aristoph. Lysistr. 704. qui tamen inter exempla male posuit locum Soph. Electr. 42. *οὐ γάρ σε μὴ γήρᾳ τε καὶ χρόνῳ μακρῷ γνῶσ', οὐδ' ὑποπτεύσουσιν ὧδ' ἠνθισμένον*. Aliter enim locus est distinguendus, et major interpunctio post *γνῶσι* ponenda. Prior enim sententia hæc est: *οὐ γὰρ* (*φόβος*) *μή σε γνῶσι*· sequitur *οὐδὲ ὑποπτεύσουσι*, ne suspectum quidem te habebunt.

κεκτημένος] Vulgato *κεκτῆσθαι* cum H. Stephano, Cantero N. Lect. i. 13. Cod. Lips. et margine Villois. libri recte prætulit Zeune.

φθονηθήσῃ] Sic Junt. et Cod. Lips. *φθονήσῃ* Basil. Bryl. et margine libri Villois.

DESCRIPTIO

ENCOMII AGESILAI,

EJUS AUCTORITAS ET FIDES.

OMNEM encomii materiam distribuit et argumentum definiit Xenophon ita, ut capite primo et secundo res ab Agesilao gestas narraret, et verbis plerumque iisdem, quibus in Hellenicis erat usus, repeteret, subjunctis tamen quibusdam, quæ spatium Hellenicorum non ceperat. Consilium hujus narrationis edit. cap. i. sect. 6. *ἀπὸ γὰρ τῶν ἔργων καὶ τοὺς τρόπους αὐτοῦ κάλλιστα νομίζω καταδήλους ἔσεσθαι.* Scilicet *τρόποι* et *τρόπος* dicitur ratio et via vivendi, quam quis ingreditur, a *τρέπεσθαι* ductum, unde in Memorab. ii. 1, 21. est: *εἴτε τὴν δι' ἀρετῆς ὁδὸν τρέψονται ἐπὶ τὸν βίον εἴτε τὴν διὰ κακίας.* Hinc mores atque animi indoles, quatenus hominum factis conspiciuntur, *τρόποι* vocantur. Isocrates ad Demonicum *τὰ τῶν τρόπων ἤθη* dixit, quos idem paulo post *τὸν τρόπον* vocat p. 2. ed. Langianæ. Hinc Aristoteles de Moribus iv. 14. ubi *εὐτραπέλους* dictos ait quasi *εὐτρόπους*, commodis moribus, addit: videri has esse morum quasi motiones et conversiones, (*τοῦ ἤθους αἱ τοιαῦται δοκοῦσι κινήσεις εἶναι,*) atque ut corpora ita etiam mores ex motu judicari. Manifesto ille respicit ad formam dicendi, qua *ἠθῶν τρόποι* vocantur. Atque idem in Eudemiis ii. 2. ubi ponit *ἤθη* dicta fuisse ab *ἔθη* id est consuetudine, quæ vim animi ingenitam et mobilitatem varie moveat, addit in morali disciplina videndum, qua in parte animi resideant mores, *κατὰ τί τῆς ψυχῆς ποῖ' ἄττα ἤθη.* Sedem igitur eorum esse in viribus affectionum, (*κατὰ τὰς δυνάμεις τῶν παθημάτων*) et in habitu adversus has affectiones (*κατὰ τὰς ἕξεις πρὸς τὰ πάθη*). Igitur *τρόπους* mores Agesilai Xenophon putavit narratione simplice rerum ab eo gestarum satis argui et manifestos fieri. Et primum quidem res publice in Asia et Græcia gestas ab eo narravit cap. i. et ii. quibus absolutis subjungit, hæc plurimis testibus et arbitris gesta argumentis et

demonstratione virtutum ejus non indigere, sed satis esse, ut in mentem lectorum revocentur. (cap. iii. 1. τὰ γὰρ τοιαῦτα οὐ τεκμηρίων προσδεῖται.)

Transit inde ad narrationem factorum, quæ quanquam etiam habuerunt testes, tamen ipsas causas et argumenta morum non tam conspicua et in oculos occurrentia habent, sed abdita et latentia in animo Agesilai, in illa τοῦ ἐνεργητικοῦ τῆς ψυχῆς conditione et vi, a qua proficiscitur omnis virtus. Itaque Xenophon ingreditur demonstrare, quam penitus animo Agesilai fuerit insita pietas, justitia, continentia, fortitudo, sapientia et amor patriæ Græciæque omnino. Hos enim veluti cardines quosdam omnis humanæ virtutis esse putabant antiqui doctrinæ moralis magistri. Atque has Agesilai virtutes quasi publicas enarrat Xenophon usque ad extremum caput vii. Tum vero subjungit alias quasdam, quas privatas dicere possis et priorum asseclas et comites, quanquam interdum ab earum consortio dissociatæ, sed minus per se gratæ atque utiles humanæ vitæ, reperiantur. Primo loco appellatur τὸ εὔχαρι, quod uno verbo Latine dicere vix licet. *Comitas* enim partem tantum ejus reddit. Sequitur magnitudo animi et frugalitas. Abhinc vita et mores Agesilai comparantur cum vita et moribus regis Persarum, contra quem uti virtus Agesilai in bello spectata præcipue eminuit, ita decebat utriusque etiam mores et vitæ institutum inter se comparari, quo magis virtutum Agesilai magnitudo fieret conspicua et illustris, quibus hic confisus imperium regis Persarum labefactavit. Nolim enim cum Weiskio totam comparationem ad artem rhetoricam referre, similem illi, qua Isocrates Euagoram cum Cyro majori contendit. Caput x. conclusionem habet totius encomii et causam; tamen subjungit cap. xi. sententias breves, quæ fere ad eadem laudationis et virtutum capita referuntur, quæ supra posui. Initium fit a pietatis sensu sect. 1. et 2. ad fortitudinem et sapientiam pertinet sectio 9. ad justitiam sect. 3. ad continentiam et temperantiam sect. 10. et 11. Sed insunt etiam sententiæ, quæ referuntur ad secundarias illas virtutes capite viii. 9. et 10. commemoratas, nempe τὸ εὔχαρι, magnitudinem animi et frugalitatem.

Hæc est descriptio totius encomii, cujus quidem tertia pars quasi extranea tum parum arcte cum prioribus juncta hæret, ut ablata ea nihil desideres. Plena sententiis argutis et concinnis magnopere videtur abhorrere a reliqua Xenophontis oratione,

qualem in Cyri disciplina inprimis, ut in opere elaboratissimo, spectare licet. Sed animi grati sensibus et desiderio amici vela orationis immisisse videtur Xenophon, quo factum videri potest, ut supra placidam illam ingenii sui ἀφέλειαν assurgeret et se ipse excelleret.

Quod vero Weiske in loco cap. iii. sect. 1. rationem istam Xenophontis improbat: νῦν δὲ τὴν ἐν τῇ ψυχῇ αὐτοῦ ἀρετὴν πειράσομαι δηλῶσαι, δι' ἣν ταῦτα ἔπραττε, et propter eandem hanc causam de bonis animi prius dicendum fuisse putat, in eo viro docto equidem assentiri non possum. Causam jam supra dixi, cum eundem Xenophontis locum tractarem. Prooemium deinde illi non satis luculentum et justo brevius videtur; mihi contra caput totum xi. displicet ideo, quod a reliquis membris orationis separari potest, ita ut lacuna aut damnum non fiat. Unum superest, quod moneam. Quærit idem Weiske p. 417. cum Agesilai privati hominis virtus recte usurpetur, cur non inde a capite iii. mentio ejus fiat: illique hoc ob eam causam sic institutum a Xenophonte videtur, quia regis maxime, non hominis aut civis hoc sit encomium. In quo iterum viro docto non possum omnino assentiri. A capite enim viii. enarrat Xenophon eas Agesilai virtutes, quæ civem et hominem eum amabilem nobis conspiciendum præbent, uti supra in descriptione argumenti obiter annotavi: quanquam etiam reliquis capitibus insunt dispersa virtutis humanæ civilisque atque omnino privatæ exempla. Ceterum reliquæ Weiskii disputationi, qua auctoritatem hujus encomii contra Valckenarii dubitationem asserere conatus est, tam plane assentior, ut, si quid forte in lectoris assidui Xenophonteorum scriptorum animo resederit scrupuli, id omne docta Weiskii disputatione exemtum iri confidam. Mihi quidem Xenophontis libris a prima juventute statim assueto nihil unquam hic liber habere visus est, quod ab ingenio miti et animo pio gratoque viri alienum atque abhorrens existimari jure possit.

Fides historica Xenophontis etiam in hac laudatione Agesilai non major esse videtur quam in Hellenicis, multo major certe auctoris amicitia et grati animi pietas adversus Agesilaum in libro spectatur. Ita etiam antiquis scriptoribus visum fuisse docet locus Plutarchi in comparatione Agesilai cum Pompeio, ubi est de Xenophonte: ᾧ διὰ τἆλλα καλὰ καθάπερ γέρας ἐξαίρετον δέδοται καὶ γράφειν ὃ βούλοιτο καὶ λέγειν περὶ τοῦ ἀνδρός. i. e. quanquam huic scri-

ptori propter ceteras virtutes tanquam singulare præmium datum fuit et concessum, et scribere, et dicere de illo, quæ visum ei fuerit. Fuerat autem Plutarchus in conscribendis Agesilai rebus gestis usus præter Xenophontem historia Duridis Samii, Alcibiadis consanguinei, et Theopompi Chii; præter eos nominat etiam Theophrastum, aliosque, sed hos multo recentiores.

ΞΕΝΟΦΩΝΤΟΣ

ΛΟΓΟΣ ΕΙΣ ΑΓΗΣΙΛΑΟΝ.

CAP. I.

ΟΙΔΑ μὲν, ὅτι τῆς Ἀγησιλάου ἀρετῆς τε καὶ δόξης οὐ ῥά- 1
διον ἄξιον ἔπαινον γράψαι· ὅμως δ' ἐγχειρητέον. Οὐ γὰρ
ἂν καλῶς ἔχοι, εἰ, ὅτι τελέως ἀνὴρ ἀγαθὸς ἐγένετο, διὰ τοῦτο
οὐδὲ μειόνων ἂν τυγχάνοι ἐπαίνων. Περὶ μὲν οὖν εὐγενείας 2

ΞΕΝΟΦΩΝΤΟΣ] Edd. vet. addunt ῥήτορος. Codex Guelferbytanus membranaceus in forma octava scriptus elegantissime Ξενοφῶντος Ἀγησιλάου ἐγκώμιον inscriptum habet. Fuit olim Guarini Veronensis. Continet præterea librum i. Ἀπομνημονευμάτων. Fere ubique cum Codice Harleiano facit, sed solus addit i. sect. 24. membrum orationis, quod inde adscivi. Liber hic Xenophontis scriptus est post mortem Agesilai, quam Olympiadis 104. anno 3. assignavit Diodorus Siculus libri xv. cap. 93. Mortuus est Agesilaus in reditu ex Ægypto per Cyrenaicam facto, posteaquam Nectanebum in regno Ægypti confirmaverat.

ΕΙΣ ΑΓΗΣΙΛΑΟΝ.] Vulgo additum τὸν βασιλέα omisit Weiske, qui sic simpliciter λόγον hunc libellum a Xenophonte inscriptum fuisse censebat, quia ipse auctor infra cap. x. sect. 3. λόγον appellet. Ibi nempe est: ἀλλὰ γὰρ μὴ, ὅτι τετελευτηκὼς ἐπαινεῖται, τούτου ἕνεκα θρῆνόν τις τοῦτον τὸν λόγον νομισάτω, ἀλλὰ πολὺ μᾶλλον ἐγκώμιον. unde liceret potius conjicere inscriptionem Codicis Guelferbytani Ἀγησιλάου Ἐγκώμιον fuisse ab ipso Xenophonte profectam.

Cap. I. 1. διὰ τοῦτο οὐδὲ] Vulgatum τοῦτο ex Steph. secunda, Welsiana, Hutchinsoniana et Codice Harleiano correxit Zeune, cum quo facit Guelf. et Aristides, qui in libro περὶ ἀφελείας plurima ex hoc libro exempla posuit, quæ singula comparavi cum Codice manuscripto Guelferbytano, qui librum istum Aristidis continet diligentissime scriptum. Ibi igitur hæc Aristides ex h. l. excerpsit: ἢ διότι καλὸς ἢ ἀγαθὸς ὑπερβαλλόντως ἐγένετο, διὰ τοῦτο μηδὲ μετρίως ἐπαίνων τύχῃ. Ita scilicet Codex habet, editio vero Jebbiana: εἰ διότι καλὸς κἀγαθὸς—μετρίων ἐπ. τύχῃ. Unde simul confirmatur scriptura οὐδὲ, quam ex edd. vetustis, Hutchins. et Bachiana revocavit Zeune, cum Reuchlini et Stephani edd. item liber Harlei. et Guelf. dent δὲ, quod Stephanus interpretatur *profecto, utique, vero.* Sed ratio hæc contorta et a totius loci sententia satis plana et aperta aliena est. μείονες ἔπαινοι sunt non *pauciores*, ut Stephano visum erat, sed *inferiores* virtutibus Agesilai. Ceterum ex loco Aristidis suspicari quis possit, eum hic olim καλὸς κἀγαθὸς scriptum legisse.

αὐτοῦ τί ἄν τις μεῖζον καὶ κάλλιον εἰπεῖν ἔχοι, ἢ ὅτι ἔτι καὶ
νῦν τοῖς προγόνοις ὀνομαζομένοις ἀπομνημονεύεται, ὁποστὸς
ἐγένετο ἀφ' Ἡρακλέους, καὶ τούτοις οὐκ ἰδιώταις ἀλλ' ἐκ
3 βασιλέων βασιλεῦσιν; Ἀλλὰ μὴν οὐδὲ ταύτῃ γ' ἄν τις ἔχοι
καταμέμψασθαι αὐτοὺς, ὡς βασιλεύουσι μὲν, πόλεως δὲ τῆς
ἐπιτυχούσης· ἀλλ' ὥσπερ τὸ γένος αὐτῶν τῆς πατρίδος ἐντι-
μότατον, οὕτω καὶ ἡ πόλις ἐν τῇ Ἑλλάδι ἐνδοξοτάτη· ὥστε
4 οὐ δευτέρων πρωτεύουσιν, ἀλλ' ἡγεμόνων ἡγεμονεύουσι. Τῇδέ
γε μὴν καὶ κοινῇ ἄξιον ἐπαινέσαι τήν τε πατρίδα, καὶ τὸ γένος
αὐτοῦ. Ἥ τε γὰρ πόλις οὐδεπώποτε φθονήσασα τοῦ προ-
τετιμῆσθαι αὐτοὺς, ἐπεχείρησε καταλῦσαι τὴν ἀρχὴν αὐτῶν,
οἵ τε βασιλεῖς οὐδεπώποτε μειζόνων ὠρέχθησαν, ἢ ἐφ' οἷσπερ
ἐξαρχῆς τὴν βασιλείαν παρέλαβον. Τοιγαροῦν ἄλλη μὲν οὐ-

2. τοῖς προγόνοις ὀνομαζομένοις] Dativos consequentiæ seu absolutos esse cum Zeunio et Bachio statuit Weiske. Quam quidem rationem amplexi videntur esse viri docti, quoniam ἀπόγονοι dicuntur vulgari significatione, qui a genere Herculis descenderunt, contra πρόγονοι, qui natos postea ex genere eo antecesserunt. Breviter ut dicam, ἀπόγονοι sunt *progeniès*, πρόγονοι *majores*. Itaque a majoribus ἀπομνημονεύεσθαι dici non potest recte gradus affinitatis, quo fuit Agesilaus cum genere Herculis conjunctus, a majoribus dico, et quidem ἔτι καὶ νῦν, *etiamnum* memorari, quasi majores isti vivi etiamnum essent. Hæc fuit causa, ut viri docti verba τοῖς προγόνοις, καὶ τούτοις—βασιλεῦσιν cum nullo verbo conjuncta et quasi insititia adhibita figura ista vel exceptione dativorum absolutorum excusarent vel defenderent. At enim ita verbum ἀπομνημονεύεται non habet, quo referatur, nec editur auctor genealogiæ, quem tamen nominare voluisse et debuisse Xenophon videtur. Mihi quid videatur, dicam. Additum ὀνομαζομένοις satis arguit peculiarem aliquam significationem inesse vocabulo Lacedæmonio πρόγονοι; eoque potius progeniem Herculis Spartanam, quam majores significasse Lacedæmonios censeo. Auctorem opinionis habeo Solonem, in cujus Fragmento vi. collectionis Brunckianæ est hic locus: αὖτις ἀναίτιοι ἔργα τίνουσιν ἢ παῖδες τούτων ἢ γένος ἐξοπίσω. Ita scilicet edidit ista verba ex margine Codicis Stobæani Brunckius in Analectis i. p. 66. et in Poetis Gnomicis. Sed Codex A. Parisiensis Stobæi ab H. Grotio olim comparatus vulgatam scripturam ἡγεμόνων ὀπίσω mutat in προγόνων ὀπίσω, unde verissima emendatio ἢ προγόνων ὀπίσω existit. Ita πρόγονοι sunt *posteri*; quo sensu dicti fuerunt Lacedæmone, *qui principes ex progenie Herculis Spartæ reges fuerunt ex duabus familiis Procli et Eurysthenis*, ut ait Nepos in Agesilai cap. i. Ab his genealogia regum diligentissime observata commemorabatur etiamnum tempore Xenophontis, qui ad eam refert judicium de genere Agesilai regio.

4. ἐφ' οἷσπερ] De Republ. Laced. c. xv. 1. est: βούλομαι δὲ καὶ ἃς βασιλεῖ πρὸς τὴν πόλιν συνθήκας ὁ Λυκοῦργος ἐποίησε, διηγήσασθαι.

δημία ἀρχὴ φανερά ἐστι διαγεγενημένη ἀδιάσπαστος οὔτε δη-
μοκρατία οὔτε ὀλιγαρχία οὔτε τυραννὶς οὔτε βασιλεία· αὕτη
δὲ μόνη διαμένει συνεχὴς βασιλεία. Ὡς γε μὴν καὶ πρὶν 5
ἄρξαι ἄξιος τῆς βασιλείας ἐδόκει εἶναι Ἀγησίλαος, τάδε τὰ
σημεῖα. Ἐπεὶ γὰρ Ἆγις, βασιλεὺς ὤν, ἐτελεύτησεν, ἐρισάν-
των περὶ τῆς ἀρχῆς Λεωτυχίδα μὲν, ὡς Ἄγιδος ὄντος υἱοῦ,
Ἀγησιλάου δὲ, ὡς Ἀρχιδάμου, κρίνασα ἡ πόλις ἀνεπικλη-
τότερον εἶναι Ἀγησίλαον καὶ τῷ γένει καὶ τῇ ἀρετῇ, τοῦτον
ἐστήσατο βασιλέα. Καί τοι τὸ ἐν τῇ κρατίστῃ πόλει ὑπὸ
τῶν ἀρίστων κριθέντα τοῦ καλλίστου γέρως ἀξιωθῆναι, ποίων
ἔτι τεκμηρίων προσδεῖται τῆς γε πρὶν ἄρξαι αὐτὸν ἀρετῆς;

Ὅσα γε μὴν ἐν τῇ βασιλείᾳ διεπράξατο, νῦν διηγήσομαι· 6
ἀπὸ γὰρ τῶν ἔργων καὶ τοὺς τρόπους αὐτοῦ κάλλιστα νομίζω
καταδήλους ἔσεσθαι. Ἀγησίλαος τοίνυν ἔτι μὲν νέος ὢν ἔτυχε
τῆς βασιλείας· ἄρτι δὲ ὄντος αὐτοῦ ἐν τῇ ἀρχῇ, ἐξηγγέλθη
βασιλεὺς ὁ Περσῶν ἀθροίζων καὶ ναυτικὸν καὶ πεζὸν πολὺ
στράτευμα ὡς ἐπὶ τοὺς Ἕλληνας· βουλευομένων δὲ περὶ τού- 7
των Λακεδαιμονίων καὶ τῶν συμμάχων, Ἀγησίλαος ὑπέστη,
ἐὰν δῶσιν αὐτῷ τριάκοντα μὲν Σπαρτιατῶν, δισχιλίους δὲ

ἀδιάσπαστος] Non interrupta, quod deinde συνεχὴς dicitur. Vulgatum ἀδιασπάστως correxi, quia verba διατελεῖν, διαγίγνεσθαι et similia junctum habent aut participium aut adjectivum; atque ita de eadem re est de Lacedæmoniorum Republica cap. xv. 1. μόνη γὰρ δὴ αὕτη διατελεῖ οἵαπερ ἐξ ἀρχῆς κατεστάθη· τὰς δὲ ἄλλας πολιτείας εὕροι ἄν τις μετακεκινημένας, καὶ ἔτι καὶ νῦν μετακινουμένας. Est quidem in Anabasi i. 10, 19. ταύτην οὖν τὴν νύκτα οὕτω διεγένοντο. sed ibi significatio paulo est diversa verbi, ideo adjungitur accusativus νύκτα, *atque ita noctem hanc tolerarunt.*

5. ἐρισάντων] Contentionem narrat ipse in Hellenicis iii. 3, 1. et Nepos Agesilai c. i.

ἀνεπικλητότερον] Idem vocabulum ex Cyrop. ii. 1, 22. laudavit Pollux viii. 68. ubi tamen Codices alii ἀνεπίκληκτον et ἀνεπίληπτον dant.

τὸ ἐν τῇ] Margo Steph. τὸν, Aristidis edd. τότε habent. γέρας est ipsa regia dignitas.

6. νῦν διηγήσομαι] Harleianus et Guelf. liber νῦν ἤδη διηγ. dant.

ἔτι μὲν νέος ὢν] Anno ætatis 43. teste Plutarcho Agesilai c. xl. Tam late dicitur etiam Latine *juvenis.* Sequentia ita tradidit Plutarchus: τοῦ Ἀγησιλάου τὴν βασιλείαν νεωστὶ παρειληφότος. Historiam belli exorti narrat noster Hellenic. iii. 3, 4. et iii. 4, 1.

ὡς ἐπὶ τοὺς] In edd. vetustis ἐπὶ omissum inseruit primus Castalio.

7. τούτων Λακεδαιμ.] τούτων τῶν Λακεδ. corrigebat Leonclav. ad Histor. Gr. p. 1089. ed. Paris. 1625.

τριάκοντα] Edd. veteres πεντήκοντα, quod recte sprevit Leonclavius et ex Codicis Harleiani sigla Λ correxit Hutchinson, quem secuti sunt ceteri editores. Ita est etiam in Hel-

νεοδαμώδεις, εἰς ἑξακισχιλίους δὲ τὸ σύνταγμα τῶν συμμάχων, διαβήσεσθαι εἰς τὴν Ἀσίαν, καὶ πειράσεσθαι εἰρήνην ποιῆσαι, ἢ, ἂν πολεμεῖν βούληται ὁ βάρβαρος, ἀσχολίαν αὐτῷ
8 παρέξειν στρατεύειν ἐπὶ τοὺς Ἕλληνας. Εὐθὺς μὲν οὖν πολλοὶ πάνυ ἠγάσθησαν αὐτὸ τοῦτο τὸ ἐπιθυμῆσαι, ἐπειδὴ ὁ Πέρσης πρόσθεν ἐπὶ τὴν Ἑλλάδα διέβη, ἀντιδιαβῆναι ἐπ' αὐτὸν, τό, τε αἱρεῖσθαι ἐπιόντα μᾶλλον ἢ ὑπομένοντα μάχεσθαι αὐτῷ, καὶ τὸ τἀκείνου δαπανῶντα βούλεσθαι μᾶλλον ἢ τὰ τῶν Ἑλλήνων πολεμεῖν· κάλλιστον δὲ πάντων ἐκρίνετο, μὴ περὶ τῆς Ἑλλάδος ἀλλὰ περὶ τῆς Ἀσίας τὸν ἀγῶνα καθιστάναι.
9 Ἐπεί γε μὴν λαβὼν τὸ στράτευμα ἐξέπλευσε, πῶς ἄν τις σαφέστερον ἐπιδείξειεν, ὡς ἐστρατήγησεν, ἢ εἰ αὐτὰ διηγήσαιτο,
10 ἃ ἔπραξεν; Ἐν τοίνυν τῇ Ἀσίᾳ ἥδε πρώτη πρᾶξις ἐγένετο. Τισσαφέρνης μὲν ὤμοσεν Ἀγησιλάῳ, εἰ σπείσαιτο ἕως ἔλθοιεν,

lenicis, Plutarcho et Diodoro xiv. 79. Intelliguntur triginta principes Spartani, qui regem ad bellum proficiscentem comitari eique in consilio adesse solebant. Plutarchus dicit τριάκοντα ἡγεμόνας καὶ συμβούλους. Cf. Hellenicorum v. 3, 8. et de Lacedæm. Republ. xiii. 1. ubi est: πρῶτον μὲν γὰρ ἐπὶ φρουρᾶς τρέφει ἡ πόλις βασιλέα καὶ τοὺς σὺν αὐτῷ· συσκηνοῦσι δὲ αὐτῷ οἱ πολέμαρχοι, ὅπως ἀεὶ συνόντες μᾶλλον καὶ κοινοβουλῶσιν, ἤν τι δέωνται. συσκηνοῦσι δὲ καὶ ἄλλοι τρεῖς ἄνδρες τῶν ὁμοίων. Hoc ibi institutum refertur ad Lycurgum; itaque non est probabilis ratio Weiskii ducta ex loco Hellenicorum v. 3, 8. rem fuisse novam et tum primum introductam; itaque Xenophontem non dixisse τοὺς τριάκοντα. Articulum enim additum maluit Bachius, cui Zeune recte ita occurrit, ut moneret articulum abesse etiam in locis Xenophontis, Plutarchi et Diodori antea laudatis. Cum vulgata lectione facit Guelf. hic et paulo post, ubi edd. ante Hutchinsonum dabant τρισχιλίους. Idem Guelf. νεοδαμωδεῖς scriptum habet.

σύνταγμα] Cf. p. 249. et 296.

διαβήσεσθαι] Edd. veterum διαβήσεται correxit Castalio. Deinde τοῦ στρατεύειν ex Leonclaviana cum Hutchinsono et Bachio revocavit Weiske; articulum τοῦ edd. veteres cum Steph. et Zeuniana omittunt. Exempla articuli omissi posuit Zeune Œcon. iv. 3. vi. 9. et Cyrop. viii. 1, 13. Addo de Republ. Laced. xiii. 1. In Cyrop. viii. 7, 12. est ἅ, σάφ' ἴσθι, τῷ εὐφραίνεσθαι πολλὰς ἀσχολίας παρέχει· qui casus mihi suspectus est.

8. αὐτὸ τοῦτο] Juntina et Harlei. liber omittunt sequens τὸ, unde Brodæus scriptum malebat αὐτὸν τοῦτο ἐπιθ. sed ita αὐτὸν post ἐπιθυμῆσαι collocari debere, monuit Weiske, qui αὐτοῦ malebat scriptum, id est: *hanc ejus rationem admirati sunt.* Sed ita pronomen τοῦτο fit non solum languidum, sed etiam inutile. Quare vulgata scriptura bene habere videtur.

τό, τε αἱρεῖσθαι] Castalio τότε δὲ dedit; paulo post βουλεύεσθαι habet Aristides.

οὓς πέμψειεν πρὸς βασιλέα ἀγγέλους, διαπράξεσθαι αὐτῷ
ἀφεθῆναι αὐτονόμους τὰς ἐν τῇ Ἀσίᾳ πόλεις Ἑλληνίδας·
Ἀγησίλαος δὲ ἀντώμοσε, σπονδὰς ἄξειν ἀδόλως, ὁρισάμενος
τῆς πράξεως τρεῖς μῆνας. Ὁ μὲν δὴ Τισσαφέρνης, ἃ ὤμο- 11
σεν, εὐθὺς ἐψεύσατο· ἀντὶ γὰρ τοῦ εἰρήνην πράσσειν, στρά-
τευμα πολὺ παρὰ βασιλέως, πρὸς ᾧ πρόσθεν εἶχε, μετεπέμ-
πετο. Ἀγησίλαος δὲ, καίπερ αἰσθόμενος ταῦτα, ὅμως ἐνέ-
μεινε ταῖς σπονδαῖς. Ἐμοὶ (μὲν) οὖν τοῦτο πρῶτον καλὸν 12
δοκεῖ διαπράξασθαι, ὅτι Τισσαφέρνην μὲν ἐμφανίσας ἐπίορκον
ἄπιστον πᾶσιν ἐποίησεν· ἑαυτὸν δ' ἀντεπιδείξας πρῶτον μὲν
ὅρκους ἐμπεδοῦντα, ἔπειτα συνθήκας μὴ ψευδόμενον, πάντας
ἐποίησε καὶ Ἕλληνας καὶ βαρβάρους θαῤῥοῦντας συντίθεσθαι
αὐτῷ, εἴ τι βούλοιτο. Ἐπεὶ δὲ μέγα φρονήσας ὁ Τισσαφέρνης 13
ἐπὶ τῷ καταβάντι στρατεύματι, προεῖπεν Ἀγησιλάῳ πόλε-
μον, εἰ μὴ ἀπίοι ἐκ τῆς Ἀσίας· οἱ μὲν ἄλλοι σύμμαχοι καὶ
Λακεδαιμονίων οἱ παρόντες μάλα ἀχθεσθέντες φανεροὶ ἐγένον-
το, νομίζοντες μείονα τὴν παροῦσαν δύναμιν Ἀγησιλάῳ τῆς
βασιλέως παρασκευῆς εἶναι· Ἀγησίλαος δὲ μάλα φαιδρῷ τῷ
προσώπῳ ἀπαγγεῖλαι τῷ Τισσαφέρνει τοὺς πρέσβεις ἐκέλευ-
σεν, ὡς πολλὴν χάριν αὐτῷ ἔχοι, ὅτι ἐπιορκήσας αὐτὸς μὲν
πολεμίους τοὺς θεοὺς ἐκτήσατο, τοῖς δ' Ἕλλησι συμμάχους
ἐποίησεν. Ἐκ δὲ τούτου εὐθὺς τοῖς μὲν στρατιώταις παρήγ- 14
γειλε συσκευάζεσθαι ὡς εἰς στρατείαν· ταῖς δὲ πόλεσιν, εἰς

10. πέμψειεν] Ita edd. veteres, Harlei. et Guelf. πέμψοιεν Steph. deinde διαπράξασθαι dant Junt. et Guelf. Postea τὰς ἐν Ἀσίᾳ omisso articulo τῇ dat Guelf. liber. Verbum διαπράξεσθαι Weiske interpretatur *se illud acturum, operam daturum, ut,* et de *studio* et *conatu* accipiendum monet. Sed διαπράττεσθαι est *opera sua perficere,* et affirmavit Persa *se perfecturum esse opera sua, ut causa belli præcideretur et libertas civitatibus Asiæ Græcis redderetur.* Plutarchus Agesilai ix. ἐποιήσατο σπονδὰς ὡς τὰς πόλεις αὐτῷ τὰς Ἑλληνίδας ἀφήσοντος αὐτονόμους βασιλέως.

11. πρὸς ᾧ] Harlei. et Guelf. liber πρὸς ὃ dant.

12. Ἐμοὶ (μὲν) οὖν] Particulam μὲν de meo inserui, quam sensus et proprietas sermonis flagitare mihi videtur.

θαῤῥοῦντας] Participium ab edd. vett. omissum vertit etiam Philelphus. Sequens αὐτῷ in ἑαυτῷ mutavit Stephanus.

13. καταβάντι] Hellenica addunt παρὰ βασιλέως.

Τισσαφέρνει] Hanc formam cum Castal. vulgatæ Τισσαφέρνῃ prætulit Zeune. Idem Castalio edd. veterum τὰς πρέσβεις correxit.

ἂς ἀνάγκη ἦν ἀφικνεῖσθαι στρατευομένῳ ἐπὶ Καρίαν, προεῖπεν
ἀγορὰν παρασκευάζειν. Ἐπέστειλε δὲ καὶ Ἴωσι καὶ Αἰο-
λεῦσι καὶ Ἑλλησποντίοις πέμπειν πρὸς αὐτὸν εἰς Ἔφεσον τοὺς
15 συστρατευσομένους. Ὁ μὲν οὖν Τισσαφέρνης, καὶ ὅτι ἱππι-
κὸν οὐκ εἶχεν ὁ Ἀγησίλαος, ἡ δὲ Καρία ἄφιππος ἦν, καὶ ὅτι
ἡγεῖτο αὐτὸν ὀργίζεσθαι αὐτῷ διὰ τὴν ἀπάτην, τῷ ὄντι νομίσας
ἐπὶ τὸν αὐτοῦ οἶκον εἰς Καρίαν ὁρμήσειν αὐτὸν, τὸ μὲν πεζὸν
ἅπαν διεβίβασεν ἐκεῖσε, τὸ δὲ ἱππικὸν εἰς τὸ Μαιάνδρου πε-
δίον περιήγαγε, νομίζων ἱκανὸς εἶναι καταπατῆσαι τῇ ἵππῳ
16 τοὺς Ἕλληνας πρὶν εἰς τὰ δύσιππα ἀφικέσθαι. Ὁ δὲ Ἀγη-
σίλαος, ἀντὶ τοῦ ἐπὶ Καρίαν ἰέναι, εὐθὺς ἀντιστρέψας ἐπὶ Φρυ-
γίας ἐπορεύετο· καὶ τάς τε ἐν τῇ πορείᾳ ἀπαντώσας δυνάμεις
ἀναλαμβάνων ἦγε, καὶ τὰς πόλεις κατεστρέφετο, καὶ ἐμβα-
17 λὼν ἀπροσδοκήτως, παμπληθῆ χρήματα ἔλαβε. Στρατηγι-
κὸν οὖν καὶ τοῦτο ἐδόκει διαπράξασθαι, ὅτι, ἐπεὶ πόλεμος
προεῤῥήθη, καὶ τὸ ἐξαπατᾶν ὅσιόν τε καὶ δίκαιον ἐξ ἐκείνου
ἐγένετο, παῖδα ἀπέδειξε τὸν Τισσαφέρνην τῇ ἀπάτῃ· φρονίμως
18 δὲ καὶ τοὺς φίλους ἐνταῦθα ἔδοξε πλουτίσαι. Ἐπεὶ γὰρ, διὰ
τὸ πολλὰ χρήματα εἰλῆφθαι, ἀντίπροικα τὰ πάντα ἐπωλεῖτο,
τοῖς μὲν φίλοις προεῖπεν ὠνεῖσθαι, εἰπὼν, ὅτι καταβήσοιτο ἐπὶ
θάλασσαν ἐν τάχει τὸ στράτευμα κατάγων· τοὺς δὲ λαφυρο-

14. πρὸς αὐτὸν] Edd. vett. αὐτόν. In Hellenicis est ἑαυτόν. Guelf. deinde dat συστρατευσαμένους. Plutarchus Ages. ix. εὐθὺς οὖν ἀμυνόμενος ἀπάτῃ δικαίᾳ τὴν Τισσαφέρνους ἐπιορκίαν, ὑπέδειξεν ὡς ἐπὶ Καρίαν προσάξων. ubi vulgo male legitur ἐπέδειξεν—προάξων.

15. τὸν αὐτοῦ οἶκον] Nepos cap. xvii. 3. *quod ipsius erant plurima domicilia in Caria.* Weiske h. l. vertit, *in regionem, ubi maximam partem facultatum suarum haberet.* In Hellenicis iv. 8, 6. Pharnabazus dicitur ἐπ' οἴκου ἀπελθεῖν, ubi Phrygia significatur, sed τὰ βασίλεια Pharnabazi erant Dascylii in Phrygia, iv. 1, 15. Ad rem pertinet locus Plutarchi Eumenis cap. viii. περὶ δὲ τὰς Σάρδεις ἐβούλετο μὲν ἱπποκρατῶν τοῖς Λυδοῖς ἐναγωνίσασθαι πεδίοις.

16. ἀντιστρέψας—Φρυγίας] Hellenica dant τἀναντία ἀποστρέψας. Deinde Guelf. Φρυγίαν habet cum Junt. Wels. Hutchins.

ἀπαντώσας δ. ἀ. ἦ. καὶ τὰς] Hæc desunt in Hellenicis, ubi contra ἐλάμβανε est, quod ut rectius præferebat Bachius. Sed ita statim ἐδόκει est et sequitur de eadem re ἔδοξε. Deinde παμπληθεὶ habet Guelf.

18. ἀντίπροικα τὰ πάντα] Guelf. κατὰ πάντα. Alterum vocabulum alibi non reperitur, significans vilissimum pretium, quasi dicas *halb umsonst.*

ἐπὶ θάλασσαν] Ad emporium aliquod, ubi majori pretio vendere liceat res emtas.

πώλας ἐκέλευσε γραφομένους, ὁπόσου τι πρίαιντο, προΐεσθαι
τὰ χρήματα. Ὥστ' οὐδὲν προτελέσαντες οἱ φίλοι αὐτοῦ,
οὐδὲ τὸ δημόσιον βλάψαντες, πάντες παμπληθῆ χρήματα
ἔλαβον. Ἔτι δὲ ὁπότε αὐτόμολοι, ὡς εἰκὸς, πρὸς βασιλέα 19
ἰόντες χρήματα ἐθέλοιεν ὑφηγεῖσθαι, καὶ ταῦτα ἐπεμέλετο ὡς
διὰ τῶν φίλων ἁλίσκοιτο, ὅπως ἅμα μὲν χρηματίζοιντο, ἅμα
δὲ ἐνδοξότεροι γίγνοιντο. Διὰ μὲν δὴ ταῦτα εὐθὺς πολλοὺς
ἐραστὰς τῆς αὐτοῦ φιλίας ἐποιήσατο. Γιγνώσκων δ' ὅτι ἡ 20
μὲν πορθουμένη καὶ ἐρημουμένη χώρα οὐκ ἂν δύναιτο πολὺν
χρόνον στράτευμα φέρειν, ἡ δ' οἰκουμένη μὲν, σπειρομένη δὲ,
ἀένναον ἂν τὴν τροφὴν παρέχοι, ἐπεμέλετο οὐ μόνον τοῦ βίᾳ
χειροῦσθαι τοὺς ἐναντίους, ἀλλὰ καὶ τοῦ πρᾳότητι προσάγε-
σθαι. Καὶ πολλάκις μὲν προηγόρευε τοῖς στρατιώταις τοὺς 21

γραφομένους—προΐεσθαι] i. e. sine pretio tradere res emtas, sed pretio in tabulas relato cum nominibus. Index Zeunianus ex h. l. interpretatur *vendere, tradere*, Œcon. ix. 10. ἀπαριθμήσαντες καὶ γραψάμενοι ἕκαστα διδόναι—ἕκαστον. ubi Cicero vertit *annumerata exscribere.*

δημόσιον] Noster de Laced. Republica xiii. 11. ἢν δὲ λῄδα ἄγων (τις ἔλθῃ πρὸς βασιλέα in expeditione bellica versatum) πρὸς λαφυροπώλας τοῦτον ὁ βασιλεὺς ἀποπέμπει, ut adeo omnis pecunia ex præda redacta ad ærarium conferretur. Phylarchus tamen apud Polybium ii. 62. tertiam partem prædæ regi fuisse attributam refert. Deinde παμπληθεὶ dat Guelf.

19. ἁλίσκοιτο] Hanc vulgatæ ἁλίσκοιεν scripturam e margine Steph. et Harleiano libro cum Hutchinsono recte prætulit Bach. In margine tamen Steph. est pluralis numerus ἁλίσκοιντο. Ceterum mira est ad h. l. dubitatio Weiskii de sententia loci, in qua vertenda aberrasse docet Philelphum, Gallum Charpentier et civem nostrum Goldhagen. Verba ὡς εἰκὸς ipse vertit, *transfugæ, ut facile existimatur.* Pro ἰόντες scriptum fuisse censet οἴσοντας vel ἀποίσοντας, addens accusativum regi ab intellecto κατά. Sed non dixit, quid significari voluerit verbis ὁπότε αὐτόμολοι κατὰ οἴσοντας πρὸς βασιλέα χρήματα ἐθέλοιεν ὑφηγεῖσθαι. Deinde vulgatum ἁλίσκοιεν præfert eo sensu, *ut transfugæ caperent.* Neque enim dici ὡς ὑπὸ τῶν φίλων, sed ὡς διὰ τ. φ. ἁλίσκοιτο. Sed ita transfugæ dicerentur etiam ἐνδοξότεροι fieri, cujus rei minima erat cura Agesilao. Hic enim amicorum gloriæ et fortunæ favebat ubique; idque solum demonstrare voluit Xenophon. Χρήματα ὑφηγεῖσθαι est *thesauros absconditos alicubi aut pecunias, res pretiosas aut copias alio transferendas indicare hosti et eum perducere ad prædam capiendam.* Transfugæ primum adeunt regem eique soli indicium faciunt prædæ capiendæ. Hoc X. dicit ἰόντες πρὸς βασιλέα. An forte Weiske in nomine regis aberravit et Persarum regem hic cogitavit?

20. ἀένναον] Edd. veteres ἀέναον dant; deinde Aristides, etiam Guelf. dat παρέχεται omisso ἄν.

ἁλισκομένους μὴ ὡς ἀδίκους τιμωρεῖσθαι, ἀλλ' ὡς ἀνθρώπους
ὄντας φυλάσσειν. πολλάκις δὲ ὁπότε μεταστρατοπεδεύοιτο,
εἰ αἴσθοιτο καταλελειμμένα παιδάρια μικρὰ ἐμπόρων, (ἃ
πολλοὶ ἐπώλουν, διὰ τὸ νομίζειν μὴ δύνασθαι ἂν φέρειν αὐτὰ
καὶ τρέφειν) ἐπεμέλετο καὶ τούτων, ὅπως συγκομίζοιντό ποι.
Τοῖς δ' αὖ διὰ γῆρας καταλειπομένοις αἰχμαλώτοις προσ-
έταττεν ἐπιμελεῖσθαι αὐτῶν, ὡς μήτε ὑπὸ κυνῶν, μήθ' ὑπὸ
λύκων διαφθείροιντο. Ὥστε οὐ μόνον οἱ πυνθανόμενοι ταῦτα,
ἀλλὰ καὶ αὐτοὶ οἱ ἁλισκόμενοι εὐμενεῖς αὐτῷ ἐγίγνοντο.
22 Ὁπόσας δὲ πόλεις προσαγάγοιτο, ἀφαιρῶν αὐτῶν, ὅσα δοῦ-
λοι δεσπόταις ὑπηρετοῦσι, προσέταττεν, ὅσα ἐλεύθεροι ἄρχουσι
πείθονται· καὶ τῶν κατὰ κράτος ἀναλώτων τειχέων τῇ φιλαν-
23 θρωπίᾳ ὑπὸ χεῖρα ἐποιεῖτο. Ἐπεὶ μέντοι ἀνὰ τὰ πεδία οὐδὲ
ἐν τῇ Φρυγίᾳ ἐδύνατο στρατεύεσθαι, διὰ τὴν Φαρναβάζου ἱπ-
πείαν, ἔδοξεν αὐτῷ ἱππικὸν κατασκευαστέον εἶναι, ὡς μὴ δρα-
πετεύοντα πολεμεῖν δέοι αὐτόν. Τοὺς μὲν οὖν πλουσιωτάτους
ἐκ πασῶν τῶν ἐκεῖ πόλεων ἱπποτροφεῖν κατέλεξε· προεῖπε δὲ,
ὅστις παρέχοιτο ἵππον καὶ ὅπλα καὶ ἄνδρα δόκιμον, ὡς ἐξέ-

21. μεταστρατοπεδεύοιτο] Ita margo Steph. et Harleiani libri, contra edd. veteres futurum, Stephanianæ imperfectum μετεστρατοπεδεύετο habent. Rectum dedit Hutchinson.

ἐμπόρων] Ad prædam pertinere videntur infantes cum parentibus abducti, an potius in exercitu nati? Sed additum ἐμπόρων videtur prædam arguere; etiam verbum ἐπώλουν difficultatem habere videtur. Quis enim infantes emisse in exercitu putandus est? ἔμποροι sunt qui exercitum sequuntur, uti Cyropædiæ iv. 5, 42. et vi. 2, 38.

συγκομίζοιντό ποι] i. e. ut in locum aliquem tutum conferrentur extra castra, ubi senibus captivis cura eorum mandabatur. Contra vero Interpretes omnes verba sequentia τοῖς δ' αὖ δ. γ. καταλειπομένοις aiunt esse dativos absolutos, quasi senum captivorum cura habita fuerit ab Agesilao, ne a canibus lupisve lacerarentur! Quis in præda senes abductos fuisse a militibus credet?

22. ἀφαιρῶν] Liberans eos a servilibus ministeriis dominis præstandis.

τειχέων] Intellige τινὰ, quod addi voluere Stephanus et Leoncl. Pro ὑπὸ χεῖρα Brodæus ὑπόχειρα malebat, quod est in Harleiano. Sed forma ὑποχείρια frequentata fuit tantum usu scriptorum.

23. παρέχοιτο ἵππον] Ita pro παρέχοι τὸ ἱππικὸν cum Leonclavio scripsit Hutchins. et reliqui editores. Plutarchus Agesilai ix. προειπὼν τοῖς εὐπόροις, εἰ μὴ βούλονται στρατεύεσθαι, παρασχεῖν ἕκαστον ἵππον ἀνθ' ἑαυτοῦ καὶ ἄνδρα. Ceterum Guelf. paulo antea habet ἐκ πασῶν τῶν ἐκεῖ πόλεων, plane uti est scriptum in Hellenicis et in Harleiano. Vulgo verba ἐκ πασῶν deerant.

σοιτο αὐτῷ μὴ στρατεύεσθαι· καὶ ἐποίησεν οὕτως ἕκαστον προθύμως ταῦτα πράττειν, ὥσπερ ἄν τις τὸν ὑπὲρ αὐτοῦ ἀποθανούμενον προθύμως μαστεύοι. Ἔταξε δὲ καὶ πόλεις, ἐξ ὧν 24
δέοι τοὺς ἱππέας παρασκευάζειν, νομίζων ἐκ τῶν ἱπποτρόφων πόλεων εὐθὺς καὶ φρονηματίας μάλιστα ἂν ἐπὶ τῇ ἱππικῇ γενέσθαι. Καὶ τοῦτ' οὖν ἀγαστῶς ἔδοξε πρᾶξαι, ὅτι κατεσκεύαστο τὸ ἱππικὸν αὐτῷ, καὶ εὐθὺς ἐρρωμένον ἦν καὶ ἐνεργόν.
Ἐπειδὴ δὲ ἔαρ ὑπέφαινε, συνήγαγε πᾶν τὸ στράτευμα εἰς 25
Ἔφεσον· ἀσκῆσαι δὲ καὶ αὐτὸ βουλόμενος, ἆθλα προὔθηκε καὶ ταῖς ἱππικαῖς τάξεσιν, ἥτις κράτιστα ἂν ἱππεύοι, καὶ ταῖς ὁπλιτικαῖς, ἥτις ἂν ἄριστα σωμάτων ἔχοι· καὶ πελτασταῖς δὲ καὶ τοξόταις ἆθλα προὔθηκεν, οἵτινες κράτιστοι τὰ προσήκοντα ἔργα φαίνοιντο. Ἐκ τούτου δὲ παρῆν ὁρᾶν τὰ μὲν γυμνάσια μεστὰ τῶν ἀνδρῶν γυμναζομένων, τὸν δὲ ἱππόδρομον, ἱππέων ἱππαζομένων, τοὺς δὲ ἀκοντιστὰς καὶ τοὺς

ταῦτα πράττειν, ὥσπερ ἄν τις—προθύμως μαστεύοι] Vulgo in omnibus edd. legitur *ἕκαστον προθύμως μαστεύειν.* sententia manca, qua de re tacent tamen Interpretes. In Hellenicis iii. 4, 15. est *ἐποίησεν οὕτω ταῦτα ξυντόμως πράττεσθαι, ὥσπερ ἄν τις τὸν ὑπὲρ αὐτοῦ ἀποθανούμενον προθύμως ζητοίη.* Unde apparet, egregium Codicis Guelferb. supplementum habere veram utriusque loci scripturam *μαστεύοι* pro *ζητοίη*. Propter geminatum *προθύμως* excidit h. l. alterum orationis membrum; deinde *μαστεύοι* mutatum est in *μαστεύειν*, ut conveniret cum antecedente *ἐποίησεν*.

24. *φρονηματίας*] Deteriori sensu *superbos, elatos, meritis suis fidentes* interpretatur Weiske, cujus animi ne Agesilaus haberet equites, hos ex aliis oppidis cepisse putat Agesilaum, quippe modestiores, eum scirent, equum sibi ad usum bellicum esse dono datum. At vero hoc si dicere voluit Xenophon, scriptum oportuit *ἥκιστ' ἂν ἐπὶ τ. ἱ. φρονηματίας γενέσθαι*. Sed Xenophon dicit, quid voluerit assequi Agesilaus in equitibus legendis, non quid vitare conatus fuerit. Non omnibus oppidis permisit equitatum præbere, sed hanc aliquot quasi prærogativam dedit, quo magis equites ab iis exhibiti præstare et digni hac prærogativa haberi studerent.

25. *καὶ αὐτὸ*] Edd. veteres præter Castal. et Halensem *δὲ* omittunt, contra Castal. et Halensis *καὶ* omittunt. In Harleiano *αὐτὸ* deest. In Hellenicis est *ἀσκῆσαι δ' αὐτὸ βουλόμενος—ὅσοι κράτιστοι πρὸς τὰ προσήκοντα ἔργα φανεῖεν.*

ἆθλα] Additum vulgo *τε* cum Castal. Aristide et Hellenicis omisit Zeune. Deinde *κράτιστος ἂν* dat Guelf. postea *εἴ τις ἄν*. Contra Aldina, Junt. Harlei. liber utroque loco *εἴ τις* dant, quod Castal. et Halensis in *ἥτις* mutarunt, quod est in Aristide.

ἂν ἱππεύοι—ἂν ἄριστα] Castal. Hellenica et Aristides bis *ἂν* omittunt, pro *ἔχοι* Aristides Guelf. dat *ἔχῃ*.

μεστὰ τῶν ἀνδρῶν] Rectius in Hellenicis est *πάντα μεστὰ ἀνδρῶν τῶν γυμν.*

26 τοξότας ἐπὶ στόχον ἱέντας· ἀξίαν δὲ καὶ ὅλην τὴν πόλιν, ἐν ᾗ ἦν, θέας ἐποίησεν. Ἥ τε γὰρ ἀγορὰ μεστὴ ἦν παντοδαπῶν καὶ ὅπλων καὶ ἵππων ὠνίων, οἵ τε χαλκοτύποι καὶ οἱ τέκτονες καὶ οἱ σιδηρεῖς καὶ σκυτεῖς καὶ γραφεῖς πάντες πολεμικὰ ὅπλα κατεσκεύαζον. Ὥστε τὴν πόλιν ὄντως ἡγήσω ἂν πολέ-
27 μου ἐργαστήριον εἶναι. Ἐπεῤῥώσθη δ' ἄν τις κἀκεῖνα ἰδὼν, Ἀγησίλαον μὲν πρῶτον, ἔπειτα δὲ καὶ τοὺς ἄλλους στρατιώτας ἐστεφανωμένους τε, ὅπου ἀπὸ τῶν γυμνασίων ἴοιεν, καὶ ἀνατιθέντας τοὺς στεφάνους τῇ Ἀρτέμιδι. Ὅπου γὰρ ἄνδρες θεοὺς μὲν σέβοιεν, πολεμικὰ δὲ ἀσκοῖεν, πειθαρχίαν δὲ μελετῷεν, πῶς οὐκ εἰκὸς ἐνταῦθα πάντα μεστὰ ἐλπίδων ἀγαθῶν
28 εἶναι; Ἡγούμενος δὲ καὶ τὸ καταφρονεῖν τῶν πολεμίων ῥώμην τινὰ ἐμβαλεῖν πρὸς τὸ μάχεσθαι, προεῖπε τοῖς κήρυξι τοὺς ὑπὸ τῶν λῃστῶν ἁλισκομένους βαρβάρους γυμνοὺς πωλεῖν. Ὁρῶντες οὖν οἱ στρατιῶται λευκοὺς μὲν, διὰ τὸ μηδέποτε

ἐπὶ στόχον ἱέντας] Ex Juntina ἱέντας in locum vulgati ἰόντας revocavi, et στοίχων mutavi in στόχον cum Wyttenbachio in Bibliotheca Critica Amstelod. iii. p. 71. ἐπὶ στοίχων ἰόντας interpretantur κατὰ στοίχους ἰόντας, ineptissime ad meditationem bellicam jaculatorum et sagittariorum. In Hellenicis brevius est μελετῶντας.

26. μεστὴ ἦν παντοδαπῶν] Ita est in Hellenicis et Steph. παντοδαπὴ ἦν, μεστὴ edd. veteres, contra παντοδαπῶν ἦν μεστὴ Halensis. Pro σιδηρεῖς in Hellenicis sunt χαλκεῖς, ibidem σκυτοτόμοι.

γραφεῖς] Hæc est Leoncl. Stephanique emendatio vulgati κναφεῖς, quam cum Hutchinsono receperunt editores recentiores, quia in Hellenicis ζωγράφοι nominantur. Quod vero Ernesti quærit, *quis fullonum usus in armorum apparatu?* non cogitasse 'is videtur, ad apparatum militarem pertinere varia vestium genera lanearum, quæ cum e tela textoria descenderunt, a fullonibus apparabantur. Pictores ornamenta armis et armamentis addebant.

ἡγήσω ἂν] Cum Castal. et Stephano ἂν addidit Zeune; ἂν ἡγήσω edidit Hutchinson, et sic est in Guelf. suprascripto ἄν. In Symposio i. 8. est similiter ἐννοήσας τις τὰ γιγνόμενα ἡγήσατ' ἂν—εἶναι. Plutarchi imitationem in Marcello c. xxi. annotavit Zeune. Addo Polybium x. 20. οὐκ ἔστιν ὅστις οὐκ ἂν εἶπε κατὰ τὸν Ξενοφῶντα, τότε θεασάμενος ἐκείνην τὴν πόλιν, ἐργαστήριον εἶναι πολέμου.

27. τις κἀκεῖνα] Ex Junt. Harleiano libro et versione Philelphi κἀκεῖνα, quod est etiam in Hellenicis, revocavit Zeune; τις deest in Harleiano. Verbum ἐπεῤῥώσθη ipse auctor interpretatur addens in oratione extrema μεστὰ πάντα ἐλπίδων ἀγαθῶν. Est igitur *confirmatum animum bona spe habere.*

Ἀρτέμιδι] Quæ Ephesi maxime colebatur et templum insigne habebat. Deinde est in Hellenicis σέβοιντο, τὰ πολεμικὰ—πειθαρχεῖν—ἐμβάλλειν.

28. λευκοὺς] In Hellenicis pro πίονας est μαλακούς. Plutarchus Ages.

ἐκδύεσθαι, πίονας δὲ καὶ ἀπόνους, διὰ τὸ ἀεὶ ἐπ' ὀχημάτων
εἶναι, ἐνόμισαν μηδὲν διοίσειν τὸν πόλεμον, ἢ εἰ γυναιξὶ δέοι
μάχεσθαι. Προεῖπε δὲ καὶ τοῦτο τοῖς στρατιώταις, ὡς εὐθὺς
ἡγήσοιτο τὴν συντομωτάτην ἐπὶ τὰ κράτιστα τῆς χώρας, ὅπως
αὐτόθεν αὐτῷ τὰ σώματα καὶ τὴν γνώμην παρασκευάζοιντο,
ὡς ἀγωνιούμενοι. Ὁ μέντοι Τισσαφέρνης ταῦτα μὲν ἐνόμισε 29
λέγειν αὐτὸν πάλιν βουλόμενον ἐξαπατῆσαι, εἰς Καρίαν δὲ
νῦν τῷ ὄντι ἐμβαλεῖν. Τό τε οὖν πεζὸν, καθάπερ τὸ πρόσθεν,
εἰς Καρίαν διεβίβασε, καὶ τὸ ἱππικὸν εἰς τὸ Μαιάνδρου πε-
δίον κατέστησεν. Ὁ δὲ Ἀγησίλαος οὐκ ἐψεύσατο, ἀλλ'
ὥσπερ προεῖπεν, εὐθὺς εἰς τὸν Σαρδιανὸν τόπον ἐχώρησε, καὶ
τρεῖς μὲν ἡμέρας δι' ἐρημίας πολεμίων πορευόμενος πολλὰ τὰ
ἐπιτήδεια τῇ στρατιᾷ παρεῖχε· τῇ δὲ τετάρτῃ ἡμέρᾳ ἧκον οἱ
τῶν πολεμίων ἱππεῖς. Καὶ τῷ μὲν ἄρχοντι τῶν σκευοφόρων 30
εἶπεν ὁ ἡγεμὼν, διαβάντι τὸν Πακτωλὸν ποταμὸν στρατοπε-
δεύεσθαι· αὐτοὶ δὲ κατιδόντες τοὺς τῶν Ἑλλήνων ἀκολούθους
ἐσπαρμένους καθ' ἁρπαγὴν, πολλοὺς αὐτῶν ἀπέκτειναν. Αἰ-
σθόμενος δὲ ὁ Ἀγησίλαος, βοηθεῖν ἐκέλευσε τοὺς ἱππέας. Οἱ
δ' αὖ Πέρσαι ὡς εἶδον τὴν βοήθειαν, ἠθροίσθησαν καὶ ἀντι-
παρετάξαντο παμπληθέσι τῶν ἱππέων τάξεσιν. Ἔνθα δὴ ὁ 31
Ἀγησίλαος, γιγνώσκων, ὅτι τοῖς μὲν πολεμίοις οὔπω παρείη
τὸ πεζὸν, αὐτῷ δὲ οὐδὲν ἀπείη τῶν παρεσκευασμένων, καιρὸν
ἡγήσατο μάχην συνάψαι, εἰ δύναιτο. Σφαγιασάμενος οὖν,
τὴν μὲν φάλαγγα εὐθὺς ἦγεν ἐπὶ τοὺς ἀντιτεταγμένους ἱπ-

ix. τῶν δὲ σωμάτων λευκῶν καὶ ἁπαλῶν παντάπασι διὰ τὴν σκιατραφίαν. Polyænus ii. 1, 5. διὰ τὴν τρυφὴν ait. Pro ὀχημάτων Brodæus ait esse in Codd. aliis οἰκημάτων. vitiose.

ἐπὶ τὰ κράτιστα] Plutarchus εἰς Λυδίαν. Vide ad Hellenic. iii. 4, 20. ubi est ὅπως αὐτόθεν οὕτω τὰ σώματα et cet. Harleianus liber αὐτῷ omittit.

29. εὐθὺς εἰς] Ita cum Steph. secunda, Wels. et Hutchins. Zeune, cum in reliquis edd. ut in Codd. εἰς desit. In Hellenicis est ἐς τὸν Σαρδιανὸν τόπον ἐνέβαλε. ubi vide annotata.

παρεῖχε] Hellenica εἶχε habent, et ἡμέρᾳ omittunt.

30. εἶπεν ὁ ἡγεμὼν] Persa scilicet. In Hellenicis excidit ἡγεμὼν, ex loco nostro recte restitutum a Leonclavio et Weiskio. Ipse enim in eo loco interpretando erravi.

ἐσπαρμένους] Vulgato ἐπηρμένους ex libro Stephani vetusto et Hellenicis suadente Ernestio cum Hutchinsono hoc substituit verbum Zeune.

31. καιρὸν] In Hellenicis est καλὸν, et deinde παρατεταγμένους, pro ὁπλιτῶν est ἱππέων.

πέας, ἐκ δὲ τῶν ὁπλιτῶν ἐκέλευσε τοὺς δέκα ἀφ' ἥβης θεῖν
ὁμόσε αὐτοῖς, τοῖς δὲ πελτασταῖς εἶπε δρόμῳ ὑφηγεῖσθαι.
Παρήγγειλε δὲ καὶ τοῖς ἱππεῦσιν ἐμβάλλειν, ὡς αὐτοῦ τε
32 καὶ παντὸς τοῦ στρατεύματος ἑπομένου. Τοὺς μὲν δὴ ἱπ-
πέας ἐδέξαντο οἱ ἀγαθοὶ τῶν Περσῶν· ἐπειδὴ δὲ ἅμα πάντα
τὰ δεινὰ παρῆν ἐπ' αὐτούς, ἐνέκλιναν, καὶ οἱ μὲν αὐτῶν εὐθὺς
ἐν τῷ ποταμῷ ἔπεσον, οἱ δὲ ἄλλοι ἔφευγον. Οἱ δὲ Ἕλληνες
ἑπόμενοι αἱροῦσι καὶ τὸ στρατόπεδον αὐτῶν. Καὶ οἱ μὲν πελ-
τασταί, ὥσπερ εἰκός, ἐφ' ἁρπαγὴν ἐτρέποντο· ὁ δὲ Ἀγησί-
λαος ἔχων κύκλῳ πάντα καὶ φίλια καὶ πολέμια, περιεστρα-
33 τοπεδεύσατο. Ὡς δὲ ἤκουσε τοὺς πολεμίους ταράσσεσθαι,
διὰ τὸ αἰτιᾶσθαι ἀλλήλους τοῦ γεγενημένου, εὐθὺς ἦγεν ἐπὶ
Σάρδεις. Κἀκεῖ ἅμα μὲν ἔκαιε καὶ ἐπόρθει τὰ περὶ τὸ ἄστυ,
ἅμα δὲ καὶ κηρύγματι ἐδήλου, τοὺς μὲν ἐλευθερίας δεομένους
ὡς πρὸς σύμμαχον αὐτὸν παρεῖναι· εἰ δέ τινες τὴν Ἀσίαν
ἑαυτῶν ποιοῦνται, πρὸς τοὺς ἐλευθεροῦντας διακρινουμένους ἐν

τοὺς δέκα] Ita vulgatum *τινὰς* ex Hellenicis correxit Leoncl. Sequens *αὐτοῖς* pro vulgato *αὐτῷ* indidem restituit Zeune, et statim *ἐμβάλλειν* pro *ἐμβάλειν*.

32. *οἱ ἀγαθοὶ τῶν Περσῶν*] Hellenica *οἱ Πέρσαι*. Articulum *τὰ* ante *δεινὰ* ex Harlei. libro et Hellenic. addidit Hutchinson. Verba *ἐπ' αὐτοὺς* desunt in Hellenicis. Denique *ἔφευγον* Weiske ex Hellen. mutavit in *ἔφυγον*, lectore non monito.

ἔχων] Participium omittunt Hellenica. Verbum *περιεστρατοπεδεύσατο* vertunt varie. Leoncl. quidem: *omnes tum hostium tum suorum res castris positis complectitur*. Philelphus: *inter amicos hostesque medius constitutus castra circumlocavit*. Hutchinson: *undique omnia tenens tum amica tum hostilia, castris ea circumdedit*. Weiske putat *φίλια καὶ πολέμια* proverbialiter dici ita, ut maxime *τὰ πολέμια* intelligantur; significare igitur Xenophontem, Agesilaum, cum tot hostibus se circumdatum vidisset, castris se muniisse. Tum bene sequi *ὡς δ' ἤκουσε* et cet. Timoris enim et castrorum nullam amplius fuisse causam. Zeunianus Index verbum interpretatur *exercitu et castris cingere*. In Cyrop. iii. 1, 6. est: *καὶ ὁ Κῦρος λαβὼν εἰς τὸ μέσον κἀκεῖνον καὶ τὰ ἄλλα πάντα περιεστρατοπεδεύσατο ὁμοῦ ἔχων πᾶσαν ἤδη τὴν δύναμιν*. Unde etiam hic *κύκλῳ* non refero ad *ἔχων*, sed potius ad *περιεστρατ.* verbum, ita ut *ἔχων* potius desideret *ἐν τῷ μέσῳ* adjungenda. Sententia erit, Agesilaum post pugnam loca omnia amica et hostilia istius regionis exercitu cinxisse, ut opibus et copiis ab hoste relictis et desertis potiretur. De præda enim agi, docent quæ sequuntur in Hellenicis: *καὶ ἄλλ' ἄττα πολλὰ χρήματα ἐλήφθη—καὶ αἱ κάμηλοι δὲ τότε ἐλήφθησαν*.

33. *κηρύγματι*] Vulgatum *κήρυγμά τι* ex Aristide, Castal. Bryl. et libro Harleiano correxerunt Hutchinson et Bach.

ἑαυτῶν ποιοῦνται] Quod vulgari verbo *προσποιοῦνται* dicitur, impe-

ὅπλοις παρεῖναι. Ἐπεὶ μέντοι οὐδεὶς ἀντεξῄει, ἀδεῶς δὴ τὸ 34
ἀπὸ τούτου ἐστρατεύετο, τοὺς μὲν πρόσθεν προσκυνεῖν Ἕλληνας
ἀναγκαζομένους ὁρῶν τιμωμένους, ὑφ᾽ ὧν ὑβρίζοντο, τοὺς δ᾽
ἀξιοῦντας καὶ τὰς τῶν θεῶν τιμὰς καρποῦσθαι, τούτους ποιή-
σας μηδ᾽ ἀντιβλέπειν τοῖς Ἕλλησι δύνασθαι, καὶ τὴν μὲν
τῶν φίλων χώραν ἀδῄωτον παρέχων, τὴν δὲ τῶν πολεμίων οὕτω
καρπούμενος, ὥστε ἐν δυοῖν ἐτοῖν πλέον τῶν ἑκατὸν ταλάντων
τῷ θεῷ ἐν Δελφοῖς δεκάτην ἀποθῦσαι. Ὁ μέντοι Περσῶν 35
βασιλεύς, νομίσας Τισσαφέρνην αἴτιον εἶναι τοῦ κακῶς φέρε-
σθαι τὰ ἑαυτοῦ, Τιθραύστην καταπέμψας, ἀπέτεμεν αὐτοῦ
τὴν κεφαλήν. Μετὰ δὲ τοῦτο τὰ μὲν τῶν βαρβάρων ἔτι ἀθυ-
μότερα ἐγένετο, τὰ δὲ Ἀγησιλάου πολὺ ἐρρωμενέστερα. Ἀπὸ
πάντων γὰρ τῶν ἐθνῶν ἐπρεσβεύοντο περὶ φιλίας, πολλοὶ δὲ
καὶ ἀφίσταντο πρὸς αὐτόν, ὀρεγόμενοι τῆς ἐλευθερίας, ὥστε

rium ejus sibi vindicant. Deinde edd. veteres τῷ ἐλευθεροῦν τοὺς διακρινομένους. Castalio τὸ ἐλευθεροῦν dedit, quod receperunt edd. recentiores. Liber Harleianus dat τῷ ἐλευθεροῦντας, quæ scriptura perduxit me ad veram, cujus partem conjectura fuit Weiske assecutus διακρινουμένους corrigens. Leonclavius post διακρινομένους incidens vertit: *Sin aliqui Asiam sibi vindicarent, ad liberandum eos, de quibus disceptaretur, armati adessent.* Hutchinson τοὺς διακρινομένους contra ad Agesilaum ejusque copias refert: *Agesilaus, quicunque imperium Asiæ sibi vindicarent, adesse jubebat in armis, ut de imperio decerneretur eorum, quos ipse liberasset.*

34. προσκυνεῖν] Regem scilicet Persarum; hic est honos divinus, quem Xenophon paulo post τὰς τῶν θεῶν τιμὰς dicit.

πλέον τῶν ἑκατὸν ταλάντων] Si hæc decima pars fuit prædæ, ut visum interpreti Goldhagen, immensa prædæ summa efficitur; contra si totius prædæ summa fuit centum et amplius talentorum, tum Græca ita sunt interpretanda, quasi post πλέον additum legatur ἢ ἐκ, ut decima pars horum centum talentorum fuerit Delphico deo dedicata; quam rationem cum Zeunio probat Weiske. Conf. Hellenica iii. 4, 24. et 25. Sed in iisdem Hellenicis iv. 4, 21. est: καὶ Ἀγησίλαος μὲν ἐς Δελφοὺς ἀφικόμενος δεκάτην τῶν ἐκ τῆς λείας τῷ θεῷ ἀπέθυσεν οὐκ ἔλαττω ἑκατὸν ταλάντων. ex quo loco prior opinio confirmatur. Plutarchus Ages. c. xix. καὶ τὴν δεκάτην ἀπέθυε τῷ θεῷ τῶν ἐκ τῆς Ἀσίας λαφύρων ἑκατὸν ταλάντων γενομένην. Pro ἀποθῦσαι Halensis et Castal. habent ἀποθῆσαι. Cum more Græcorum convenit Romanus, quo divites opum decumam Herculi consecrabant. Cf. Plutarchi Q. Romanæ cap. xviii. et quæ collegit Wesselingius ad Diodori iv. 21.

35. Ὁ μέντοι] Aristides habet ὁ δὲ τῶν Π. β. νομίσας ἁπάντων τούτων Τισσ. αἴτιον εἶναι, τοῦ κακῶς φ. τὰ αὐτοῦ. Idem deinde μεταπέμψας ἀποκόπτει dat in Guelf. libro; Hellenica ἀποτέμνει. Denique sequens ἔτι omisit Aristides.

οὐκέτι Ἑλλήνων μόνον, ἀλλὰ καὶ βαρβάρων πολλῶν ἡγεμὼν
36 ἦν Ἀγησίλαος. Ἄξιόν γε μὴν καὶ ἐντεῦθεν ὑπερβαλλόντως ἄγασθαι αὐτοῦ, ὅστις ἄρχων μὲν παμπόλλων ἐν τῇ ἠπείρῳ πόλεων, ἄρχων δὲ καὶ νήσων, ἐπεὶ καὶ τὸ ναυτικὸν προσῆψεν αὐτῷ ἡ πόλις, αὐξανόμενος δὲ καὶ εὐκλείᾳ καὶ δυνάμει, παρὸν δ᾽ αὐτῷ πολλοῖς καὶ ἀγαθοῖς χρῆσθαι ὅ, τι ἐβούλετο, πρὸς δὲ τούτοις τὸ μέγιστον, ἐπινοῶν καὶ ἐλπίζων καταλύσειν τὴν ἐπὶ τὴν Ἑλλάδα στρατεύσασαν πρότερον ἀρχήν, ὅμως ὑπ᾽ οὐδενὸς τούτων ἐκρατήθη· ἀλλ᾽ ἐπειδὴ ἦλθεν αὐτῷ ἀπὸ τῶν οἴκοι τελῶν, βοηθεῖν τῇ πατρίδι, ἐπείθετο τῇ πόλει οὐδὲν διαφερόντως, ἢ εἰ ἐν τῷ ἐφορείῳ ἔτυχεν ἑστηκὼς μόνος παρὰ τοὺς πέντε· μάλα ἔνδηλον ποιῶν, ὡς οὔτε ἂν πᾶσαν τὴν γῆν δέξαιτο ἀντὶ τῆς πατρίδος, οὔτε τοὺς ἐπικτήτους ἀντὶ τῶν ἀρχαίων φίλων, οὔτε αἰσχρὰ καὶ ἀκίνδυνα κέρδη μᾶλλον, ἢ μετὰ κινδύνων τὰ
37 καλὰ καὶ δίκαια. Ὅσον γε μὴν χρόνον ἐπὶ τῆς ἀρχῆς ἔμεινε, πῶς οὐκ ἀξιεπαίνου βασιλέως καὶ τοῦτ᾽ ἔργον ἐπεδείξατο, ὅστις παραλαβὼν πάσας πόλεις, ἐφ᾽ ἃς ἄρξων ἐξέπλευσε, στασιαζούσας, διὰ τὸ τὰς πολιτείας κινηθῆναι, ἐπεὶ οἱ Ἀθηναῖοι τῆς ἀρχῆς ἔληξαν, ἐποίησεν, ὥστ᾽ ἄνευ φυγῆς καὶ θανάτων, ἕως αὐτὸς παρῆν, ὁμονόως πολιτευομένας καὶ εὐδαίμονας
38 τὰς πόλεις διατελέσαι; Τοιγαροῦν οἱ ἐν τῇ Ἀσίᾳ Ἕλληνες οὐχ ὡς ἄρχοντος μόνον ἀλλὰ καὶ ὡς πατρὸς καὶ ἑταίρου ἀπε-

ἦν Ἀγησίλαος] Articulum ex edd. vett. addidit Zeune.

36. αὐξανόμενος δὲ] Ex Guelf. δὲ inserui, quod vulgo omissum orationem facit elumbem.

ὅ, τι ἐβούλετο] *Ad imperium adeo sibi parandum in Asia nullis legibus circumscriptum*, interpretatur Weiske. Deinde στρατεύουσαν dat margo Steph.

ἦλθεν αὐτῷ] Similiter est in Hellenicis, ubi Leoncl. ὁ ἐπιστέλλων inseri voluit, alii τις, vel σκυτάλη intelligunt.

ἐφορείῳ] Hanc Philelphi, Brodaei, Stephan. secundae et Hutchins. lectionem scripturae edd. veterum φορεῖ, Halensis et Castal. φορείῳ substituit Zeune. Nepos: *ut si privatus esset Spartae in comitio.*

τοὺς πέντε] Ephoros intelligit. Sequentem articulum τῆς ante πατρίδος ex Guelf. inserui.

37. ἄρξων] Ita pro ἄρχων ex margine Steph. Harlei. et Guelf. scripsi.

κινηθῆναι] Athenienses enim ubique democratiam, Lacedæmonii contra aristocratiam civitates amplecti cogebant. Hinc cum imperio utriusque populi variabat et fluctuabat status civitatum Græcarum etiam in Asia minore. Compara Plutarchi Ages. cap. xv.

τὰς πόλεις] Hæc duo vocabula abesse poterant, numeri oratorii causa addita.

ὄντος αὐτοῦ ἐλυποῦντο. Καὶ τέλος ἐδήλωσαν, ὅτι οὐ πλαστὴν τὴν φιλίαν παρείχοντο. Ἐθελούσιοι γοῦν αὐτῷ συνεβοήθησαν τῇ Λακεδαίμονι· καὶ ταῦτα, εἰδότες, ὅτι οὐ χείροσιν ἑαυτῶν δεήσει μάχεσθαι. Τῶν μὲν δὴ ἐν τῇ Ἀσίᾳ πράξεων τοῦτο τέλος ἐγένετο.

CAP. II.

ΔΙΑΒΑΣ δὲ τὸν Ἑλλήσποντον ἐπορεύετο διὰ τῶν αὐτῶν 1
ἐθνῶν, ὧνπερ ὁ Πέρσης τῷ παμπληθεῖ στόλῳ· καὶ ἣν ἐνιαυσίαν
ὁδὸν ὁ βάρβαρος ἐποιήσατο, ταύτην μεῖον ἢ ἐν μηνὶ κατήνυσεν ὁ
Ἀγησίλαος. Οὐ γὰρ ὡς ὑστερήσειε τῆς πατρίδος, προεθυμεῖτο.
Ἐπεὶ δὲ ἐξαμείψας Μακεδονίαν εἰς Θετταλίαν ἀφίκετο, Λα- 2
ρισσαῖοι μὲν καὶ Κρανώνιοι καὶ Σκοτουσαῖοι καὶ Φαρσάλιοι,
σύμμαχοι ὄντες Βοιωτοῖς, καὶ πάντες δὲ Θετταλοὶ, πλὴν ὅσοι
αὐτῶν φυγάδες τότε ὄντες ἐτύγχανον, ἐκακούργουν οὗτοι ἐφεπό-
μενοι. Ὁ δὲ τέως μὲν ἦγεν ἐν πλαισίῳ τὸ στράτευμα, τοὺς
ἡμίσεις μὲν ἔμπροσθεν, τοὺς ἡμίσεις δὲ ἐπ' οὐρὰν ἔχων τῶν ἱπ-
πέων· ἐπεὶ δ' ἐκώλυον τῆς πορείας αὐτὸν οἱ Θετταλοὶ ἐπιτιθέ-
μενοι τοῖς ὄπισθεν, παραπέμπει ἐπ' οὐρὰν καὶ τὸ ἀπὸ τοῦ προ-
ηγουμένου στρατεύματος ἱππικὸν καὶ τῶν περὶ αὐτόν. Ὡς δὲ 3
παρετάξαντο ἀλλήλοις, οἱ μὲν Θετταλοὶ νομίσαντες οὐκ ἐν
καλῷ εἶναι πρὸς τοὺς ὁπλίτας ἱππομαχεῖν, στρέψαντες βά-

38. δεήσει] Editio Halensis et Castal. δεήσοι dant.

Cap. II. 1. ὧνπερ ὁ] Guelf. ὧν ὁ, sed ὁ a secunda manu accessit. ὁ Πέρσης est Xerxes. Nepos c. iv. *tanta usus est celeritate, ut, quod iter Xerxes anno vertente confecerat, hic transierit triginta diebus.*

Οὐ γὰρ ὡς] Weiske vult dictum pro ὡς οὐκ ὑστερήσειε. Debebat esse ὡς μὴ ὑστερήσειε. Sic est infra cap. ii. 31. ὡς μὴ ἀργὸς ἡ πόλις γένοιτο. Mihi talis transpositio in Xenophonte nondum occurrit. Deinde προεθυμεῖτο cum edd. Halensi, Castal. et libro Guelf. dedi pro vulgato ἐπροθυμεῖτο.

2. οὗτοι ἐφεπόμενοι] In Hellenicis est: αὐτῷ ἐπακολουθοῦντες, deinde ἐπ' οὐρᾷ.

καὶ τὸ ἀπὸ] Hellenica habent καὶ τὸ ἀπὸ τοῦ στόματος ἱππικὸν πλὴν τῶν περὶ αὐτόν. quod Weiske cum Leonclavio, Bachio et Simsono etiam hic restituit in locum vulgati καὶ τῶν —αὐτόν. Sed Zeune monuit, τῶν περὶ αὐτὸν de parte equitum Agesilaum comitantium si intelligantur, sequentia παραπέμπει τοὺς ἀμφ' αὐτὸν minime. cum his pugnare. Addo, si πλὴν receperis, antecedens καὶ in verbis καὶ τὸ ἀπὸ τ. στ. inutile esse. Rectius ex altero Xenophontis loco ἱππικὸν addidissent Interpretes, quod vulgo hic deerat.

3. στρέψαντες] Pro vulgato antea τρέψαντες ex Hellenicis monente Leonclavio receperunt Hutchinson

δην ἀπεχώρουν· οἱ δὲ μάλα σωφρόνως ἐφείποντο. Γνοὺς δὲ ὁ
Ἀγησίλαος, ἃ ἑκάτεροι ἡμάρτανον, παραπέμπει τοὺς ἀμφ᾿
αὐτὸν μάλα εὐρώστους ἱππέας, καὶ κελεύει τοῖς τε ἄλλοις
παραγγέλλειν, καὶ αὐτοὺς διώκειν κατὰ κράτος, καὶ μηκέτι
δοῦναι αὐτοῖς ἀναστροφήν. Οἱ δὲ Θετταλοὶ ὡς εἶδον παρὰ
δόξαν ἐλαύνοντας, οἱ μὲν αὐτῶν οὐδ᾿ ἀνέστρεψαν, οἱ δὲ, καὶ
ἀναστρέφειν πειρώμενοι, πλαγίους ἔχοντες τοὺς ἵππους ἡλί-
4 σκοντο. Πολύχαρμος μέντοι ὁ Φαρσάλιος ἱππαρχῶν ἀνέ-
στρεψέ τε, καὶ μαχόμενος σὺν τοῖς ἀμφ᾿ αὐτὸν ἀποθνήσκει.
Ὡς δὲ τοῦτο ἐγένετο, φυγὴ γίνεται ἐξαισία· ὥσθ᾿ οἱ μὲν ἀπέ-
θνησκον αὐτῶν, οἱ δὲ καὶ ζῶντες ἡλίσκοντο. Ἔστησαν δ᾿ οὖν οὐ
5 πρόσθεν, πρὶν ἢ ἐπὶ τῷ ὄρει τῶν Ναρθακιέων ἐγένοντο. Καὶ
τότε μὲν δὴ ὁ Ἀγησίλαος τρόπαιόν τε ἐστήσατο μεταξὺ Πραν-
τὸς καὶ Ναρθακίου· καὶ αὐτοῦ κατέμεινε, μάλα ἡδόμενος τῷ

et Bach. Weiske monet intelligendum esse, *Thessalos vidisse, utrumque agmen equitum Agesilai mox collocatum iri ad cornua; ita conversi pedites in prima acie starent.* Equidem locum Xenophontis non satis intelligo, multo minus Weiskianam rationem. ἐν καλῷ hic, ut alibi, *locum aptum et opportunum* significare videtur.

μάλα σωφρόνως] Vulgatum μάλ᾿ ἀφρόνως ita ex Hellenicis correxit Weiske. Durum certe est ἀφρόνως interpretari de *stulto consilio lentæ insecutionis* cum Moro et Zeunio.

πλαγίους ἔχοντες τοὺς ἵππους] Weiske putabat equites Thessalos vel propter celeritatem Laconicorum irruentium vel propter armamenta equorum cataphractorum fuisse lentiores, adeo ut in ipso circumagendi actu caperentur. Comparat igitur locum Curtii iii. 11, 15. de equitibus Persarum armatis graviter: *Quippe in circumagendis equis suis Thessali multos occuparunt.* De equitibus Thessalis graviter armatis mihi non constat, quod vero ex Polybio iv. 8. annotatur, melius convenit huic loco. Ibi igitur est: Θετταλῶν γοῦν ἱππεῖς κατ᾿ ἴλην μὲν καὶ φαλαγγηδὸν ἀνυπόστατοι, χωρὶς δὲ παρατάξεως πρὸς καιρὸν καὶ τόπον κατ᾿ ἄνδρα κινδυνεῦσαι δύσχρηστοι καὶ βραδεῖς. Leonclavius hic ἱππεῖς scribi voluit et in Hellenicis.

4. Πολύχαρμος] In Hellenicis est Πολύμαχος. ibidem est φυγὴ τῶν Θετταλῶν ἐξαισία γίγνεται.

πρὶν ἢ ἐπὶ τῷ] Hellenica πρὶν ἐν τῷ ὄρει Ναρθακίῳ. Hic vero ante Zeunium vulgabatur Ἀνθρακέων et sequenti sectione Ναρθηκίου, qui monente Leonclavio ex Hellen. correxit. Hal. Castal. et Guelf. Ἀνθρακίων dant. Plutarchus Agesilai xvi. ὑπὸ τῷ Ναρθακίῳ τρόπαιον ἔστησε. Vide ad Hellenica annotata. Oppidum Narthacium cum monte memorat Ptolemæus, monente Zeunio.

5. μάλα ἡδόμενος] Aristides Guelferb. πάλιν ἡδόμενος. Idem deinde ὑπερβάλλοντα τὰ—ὄρη. καὶ τὴν λοιπὴν πᾶσαν omisso ἤδη, quod deest etiam in Hellenicis. Denique ὄργια pro ὅρια dant Aldina, Juntina, et in edd. vett. abest τῶν ante Βοιωτῶν, quod omisit etiam Aristides Guelf. habet tamen Jebbianus, ubi est ὄρεια. Montes Achaicos illustrat Weiske

ἔργῳ, ὅτι τοὺς μέγιστον φρονοῦντας ἐφ' ἱππικῇ ἐνενικήκει σὺν ᾧ αὐτὸς ἐμηχανήσατο ἱππικῷ. Τῇ δ' ὑστεραίᾳ ὑπερβάλλων τὰ Ἀχαϊκὰ τῆς Φθίας ὄρη, τὴν λοιπὴν ἤδη πᾶσαν διὰ φιλίας ἐπορεύθη εἰς τὰ τῶν Βοιωτῶν ὅρια. Ἐνταῦθα δὴ ἀντιτεταγμένους εὑρὼν Θηβαίους, Ἀθηναίους, Ἀργείους, Κορινθίους, Αἰνιᾶνας, Εὐβοέας, καὶ Λοκροὺς ἀμφοτέρους, οὐδὲν ἐμέλλησεν, ἀλλ' ἐκ τοῦ φανεροῦ ἀντιπαρέταττε, Λακεδαιμονίων μὲν ἔχων μόραν καὶ ἥμισυ, τῶν δ' αὐτόθεν συμμάχων Φωκέας καὶ Ὀρχομενίους μόνους, τό, τ' ἄλλο στράτευμα, ὅπερ ἠγάγετο αὐτός. 6
Καὶ οὐ τοῦτο λέξων ἔρχομαι, ὡς πολὺ μὲν ἐλάττους πολὺ δὲ 7
χείρονας ἔχων ὅμως συνέβαλεν· εἰ γὰρ ταῦτα λέγοιμι, Ἀγησίλαόν τ' ἂν μοι δοκῶ ἄφρονα ἀποφαίνειν καὶ ἐμαυτὸν μωρόν, εἰ ἐπαινοίην τὸν περὶ τῶν μεγίστων εἰκῇ κινδυνεύοντα. Ἀλλὰ μᾶλλον τάδ' αὐτοῦ ἄγαμαι, ὅτι πλῆθός τε οὐδὲν μεῖον, ἢ τὸ τῶν πολεμίων, παρεσκευάσατο, ὥπλισέ τε οὕτως, ὡς ἅπαντα μὲν χαλκόν, ἅπαντα δὲ φοινικᾶ φαίνεσθαι. Ἐπεμελήθη δ' 8
ὅπως οἱ στρατιῶται τοὺς πόνους δυνήσοιντο ὑποφέρειν. Ἐνέπλησε δὲ καὶ φρονήματος τὰς ψυχὰς αὐτῶν, ὡς ἱκανοὶ εἶεν, πρὸς οὕστινας δέοι, μάχεσθαι· ἔτι δὲ φιλονεικίαν ἐνέβαλε

ex loco Livii xlii. 62. ubi Achaia Phthiotis memoratur.

6. Ἀργείους] Hoc ex Hellenicis et Aristide cum Hutchinsono inseruit Zeune. Αἰνειᾶνας deinde dat Guelf. cum edd. vett. hic et sect. 24. Idem Guelf. postea μόρον dat cum edd. vett.

Λοκροὺς ἀμφοτέρους] Ozolas et Epizephyrios. Deinde ἠμέλησεν Castal. habet.

τό, τ' ἄλλο] Cum Leonclavio, Stephano et Hutchinsono vulgatum τὸ δ' ἄλλο correxi, quod cum Bachio et Zeunio revocavit Weiske. Sic δὲ nuspiam positum reperi, exemplumque a Bachio appositum alienum est ab hoc loco.

7. συνέβαλεν] Vulgato συνέβαλλεν ex Halensi, Castal. Harlei. libro substituit Hutchinson.

φοινικᾶ] Junt. Ald. φοινικῇ. Steph. pr. Leoncl. φοινικᾶ. Steph. secunda, Hutchins. Bachiana φοίνικα, cum Halensi, Castal. Bryl. Zeune φοινικά. Ita enim apud Xenophontem aliis in locis scribi ait. Sed nullibi φοινικὸς reperi in Xenophonte, sæpiuscule φοινικίδα, ut in Lacedæm. Republ. xi. 3. στολὴν μὲν ἔχειν φοινικίδα καὶ χαλκῆν ἀσπίδα. Sed φοίνιξ dicitur puniceus color ab Homero inde, et locus plane similis est in Cyrop. vi. 4, 1. ὥστε ἤστραπτε μὲν χαλκῷ, ἤνθει δὲ φοινικίσι πᾶσα ἡ στρατιά. Quare aut scribendum h. l. φοινικᾶ, quod feci, aut, quod malim, φοινικίδα. In Aristide Guelf. φοίνικα et bis πάντα scriptum reperi.

8. δυνήσοιντο] Vitium Steph. prioris δυνήσαιντο translatum est in Leoncl. et Welsianam. Deinde πρὸς ante οὕστινας omittunt edd. vett. præter Castal. Ad verbum ἐπεμελήθη intellige *corporum exercitationes*, recte monente Weiskio.

πρὸς ἀλλήλους τοῖς μετ' αὐτοῦ, ὅπως ἕκαστοι αὐτῶν ἄριστοι
φαίνοιντο. Ἐλπίδων γε μὴν πάντας ἐνέπλησεν, ὡς πᾶσι
πολλὰ κἀγαθὰ ἔσοιτο, εἰ ἄνδρες ἀγαθοὶ γίγνοιντο· νομίζων ἐκ
τῶν τοιούτων ἀνθρώπους προθυμότατα τοῖς πολεμίοις μάχε-
9 σθαι. Καὶ μέντοι οὐκ ἐψεύσθη. Διηγήσομαι δὲ καὶ τὴν
μάχην· καὶ γὰρ ἐγένετο, οἵαπερ οὐκ ἄλλη τῶν ἐφ' ἡμῶν· συν-
ῆεσαν μὲν γὰρ εἰς τὸ κατὰ Κορώνειαν πεδίον οἱ μὲν σὺν Ἀγη-
σιλάῳ ἀπὸ τοῦ Κηφισοῦ, οἱ δὲ σὺν τοῖς Θηβαίοις ἀπὸ τοῦ
Ἑλικῶνος. Ἑώρων δὲ τάς τε φάλαγγας ἀλλήλων μάλα
ἰσομάλους, σχεδὸν δὲ καὶ οἱ ἱππεῖς ἦσαν ἑκατέρων ἰσοπληθεῖς.
Εἶχε δὲ ὁ Ἀγησίλαος μὲν τὸ δεξιὸν τοῦ μεθ' ἑαυτοῦ, Ὀρχο-
μένιοι δὲ ἔσχατοι ἦσαν αὐτῷ τοῦ εὐωνύμου. Οἱ δ' αὖ Θηβαῖοι
αὐτοὶ μὲν δεξιοὶ ἦσαν, Ἀργεῖοι δ' αὐτοῖς τὸ εὐώνυμον εἶχον.
10 Συνιόντων δὲ τέως μὲν σιγὴ πολλὴ ἦν ἀπ' ἀμφοτέρων· ἡνίκα
δὲ ἀπεῖχον ἀλλήλων ὅσον στάδιον, ἀλαλάξαντες οἱ Θηβαῖοι
δρόμῳ ὁμόσε ἐφέροντο· ὡς δὲ τριῶν ἔτι πλέθρων ἐν μέσῳ ὄντων,
ἀντεξέδραμον ἀπὸ τῆς Ἀγησιλάου φάλαγγος, ὧν Ἡριππίδας
11 ἐξενάγει. Ἦσαν δ' αὐτοὶ τῶν τε ἐξ οἴκου αὐτῷ συστρατευ-
σαμένων καὶ τῶν Κυρείων τινὲς, καὶ Ἴωνες δὲ καὶ Αἰολεῖς καὶ
Ἑλλησπόντιοι ἐχόμονοι. Καὶ πάντες οὗτοι τῶν συνεκδρα-
μόντων τε ἐγένοντο, καὶ εἰς δόρυ ἀφικόμενοι ἐτρέψαντο τὸ καθ'
ἑαυτούς. Ἀργεῖοι μέντοι οὐκ ἐδέξαντο τοὺς ἀμφ' Ἀγησίλαον,
ἀλλ' ἔφυγον ἐπὶ τὸν Ἑλικῶνα. Κἀνταῦθα οἱ μέν τινες τῶν

ἀνθρώπους] Vulgatum ἀνθρώπων sic correxit Weiske. Leonclavius vertit: *viros ejusmodi promtissime in hostem dimicaturos.*

9. οὐκ ἄλλη τῶν] Junt. Aldina οὐκ omittunt. Hellenica οὐκ ἄλλη τῶν γ' rectius habent. Plutarchus Ages. xviii. λέγει δὲ τὴν μάχην Ξενοφῶν ἐκείνην οἵαν οὐκ ἄλλην τῶν πώποτε γενέσθαι.

Κηφισοῦ] Ita cum Ald. Junt. liber Harlei. et Guelf. pro Κηφισσοῦ.

τάς τε φάλαγγας] Sine causa τάς γε scribi maluit Zeune. Sequens ἰσομάλους in ἰσομάχους Leoncl. in ἰσοπάλους mutarunt Hutchinson et Bachius. Convenit cum ἀγχώμαλος, alibi non repertum.

10. ὡς δὲ τριῶν] i. e. fere, circiter trium. Deinde Ἡριπίδας edd. vett. et Guelf. Postea Κυριείων edd. vett. et Guelf. quod vitium correxit Hutchins. Κυρεῖοι sunt Græci de Cyri minoris exercitu, reduces cum ipso Xenophonte in Græciam. Vide Hellenic. iii. 4, 20.

11. ἦσαν δ' οὗτοι.] Legebatur ἦσαν δ' αὐτοί. DIND.

ἐγένοντο] Ita ex Juntina vulgatum ἐγίνοντο correxit Zeune. Ita est in Hellenicis, ubi deinde pejus ἔτρεψαν legitur.

Ἀργεῖοι μέντοι] Ex Hellenicis vulgatum μὲν correxit Weiske, monente jam olim Stephanianæ margine.

ξένων ἐστεφάνουν ἤδη τὸν Ἀγησίλαον, ἀγγέλλει δέ τις αὐτῷ,
ὅτι Θηβαῖοι τοὺς Ὀρχομενίους διακόψαντες ἐν τοῖς σκευοφό-
ροις εἰσί. Καὶ ὁ μὲν εὐθὺς ἐξελίξας τὴν φάλαγγα ἦγεν ἐπ'
αὐτούς· οἱ δ' αὖ Θηβαῖοι ὡς εἶδον τοὺς συμμάχους πρὸς τῷ
Ἑλικῶνι πεφευγότας, διαπεσεῖν βουλόμενοι πρὸς τοὺς ἑαυτῶν,
ἐχώρουν ἐρρωμένως. Ἐνταῦθα δὴ Ἀγησίλαον ἀνδρεῖον μὲν ἔξε- 12

ὅτι Θηβαῖοι] In Hellen. est ὅτι οἱ Θηβαῖοι. indidem συσπειραθέντες ἐχώρουν scriptum malebat Weiske.

12. Ἐνταῦθα δὴ Ἀγησίλαον ἀνδρεῖον μὲν ἔξεστιν εἰπεῖν ἀναμφιλόγως, οὐ μέντοι εἵλετό γε τὰ ἀσφαλέστατα· ἐξὸν γὰρ αὐτῷ παρέντι τοὺς διαπίπτοντας ἑπομένῳ χειροῦσθαι τοὺς ὄπισθεν, οὐκ ἐποίησε τοῦτο, ἀλλ' ἀντιμέτωπος συνέῤῥαξε τοῖς Θηβαίοις, καὶ συμβαλόντες τὰς ἀσπίδας ἐωθοῦντο, ἐμάχοντο, ἀπέκτεινον, ἀπέθνησκον.] Quam ego priore hujus libri editione impugnaveram conjecturam Schæferi συμβαλόντες τὰς ἀσπίδας ἐώθουν, ἐωθοῦντο, ἐμάχοντο, ἀπέκτεινον, ἀπέθνησκον, eam etsi ipse jam deseruit Schæferus Indice ad Euripidis Hecubam Porsoni p. 130., tamen ne nunc quidem in vulgata acquiescit sed aliam protulit emendationem hanc: ἐμάχοντο, ἐώθουν, ἐωθοῦντο, ἀπέκτεινον, ἀπέθνησκον. Se enim vulgatam, quippe membro ad integritatem orationis carentem rerumque ordinem pervertentem, non adductum esse ut sanam credat quibus ego eam rationibus vindicare conatus sim. Id igitur denuo faciamus. Membrum quod desiderat Schæferus, etsi ipse non dixit, videor videre quodnam dicat et quid eum in errorem induxerit. Nempe quum Agesilaus hostes, non hostes Agesilaum adorti dicantur, ineptum censet ὠθεῖσθαι dici Agesilaum priusquam ὠθεῖν dictus esset. Atqui hoc ut alibi ineptum esset, hic ne fieri quidem aliter potuit. Nam impetum quidem Agesilai satis descripserat verbis ἀλλ' ἀντιμέτωπος συνέῤῥαξε τοῖς Θηβαίοις. Jam autem quum conflixisset, id ipsum vult demonstrare Xenophon quam arduam et periculosam rem aggressus esset. Inconsiderate enim egerat et prope aberat ut vinceretur: ἐνταῦθα δὴ Ἀγησίλαον ἀνδρεῖον μὲν ἔξεστιν εἰπεῖν ἀναμφιλόγως, οὐ μέντοι εἵλετό γε τὰ ἀσφαλέστατα, quibus leniter eum reprehendit. Præclare igitur sic rem exponit: Irruit adversa fronte in Thebanos: collatisque scutis non pellebant primo sed ipsi pellebantur, denuo invadebant, cædebant, cadebant. Quippe contulerant illi quidem scuta hac mente ut pellerent hostem, at prius ipsi ab irruentibus, erant enim οἱ διαπίπτοντες, pellebantur, donec rursum redirent. Jam nolo repetere quæ de contrariis inter se ὠθεῖσθαι et μάχεσθαι verbis attuli Platonis Xenophontisque exempla, quæque de summa vulgatæ concinnitate disputavi, quam corrumpit Schæferi tum prior tum posterior conjectura. Et hujus quidem causa quot ei fingenda sunt. Primo excidisse ἐώθουν ante ἐωθοῦντο, deinde ἐμάχοντο transpositum esse, tum hanc corruptelam intulisse quempiam in Longinum, quem suam conjecturam posuisse Schæferus putat, denique alium eandem in Agesilaum. Quorum postremum quidem prorsus incredibile est. Nam quum multæ sint et magnæ varietates in ea particula Hellenicorum quæ est tralata in Agesilaum, nulla unquam ullo in libro aut Agesilai aut historiæ Græcæ reperta est talis quæ collatos ab quoquam hos li-

στιν εἰπεῖν ἀναμφιλόγως, οὐ μέντοι εἵλετό γε τὰ ἀσφαλέστατα· ἐξὸν γὰρ αὐτῷ παρέντι τοὺς διαπίπτοντας, ἑπομένῳ χειροῦσθαι τοὺς ὄπισθεν, οὐκ ἐποίησε τοῦτο, ἀλλ' ἀντιμέτωπος συνέῤῥαξε τοῖς Θηβαίοις. Καὶ συμβαλόντες τὰς ἀσπίδας ἐωθοῦντο, ἐμάχοντο, ἀπέκτεινον, ἀπέθνησκον. Καὶ κραυγὴ μὲν οὐδεμία παρῆν, οὐ μὴν οὐδὲ σιγή· φωνὴ δέ τις ἦν τοιαύτη, οἵαν ὀργή τε καὶ μάχη παράσχοιτ' ἄν. Τέλος δὲ τῶν Θηβαίων οἱ μὲν διαπίπτουσι πρὸς τὸν Ἑλικῶνα, πολλοὶ δ' ἀποχωροῦντες
13 ἀπέθανον. Ἐπειδὴ δὲ ἡ μὲν νίκη σὺν Ἀγησιλάῳ ἐγένετο, τετρωμένος δ' αὐτὸς προσηνέχθη πρὸς τὴν φάλαγγα, προσελάσαντες τινὲς τῶν ἱππέων, λέγουσιν αὐτῷ, ὅτι τῶν πολεμίων ὀγδοήκοντα σὺν τοῖς ὅπλοις ὑπὸ τῷ νεῷ εἰσί· καὶ ἠρώτων, τί χρὴ ποιεῖν; Ὁ δὲ καίπερ πολλὰ τραύματα ἔχων πάντοσε καὶ παντοίοις ὅπλοις, ὅμως οὐκ ἐπελάθετο τοῦ θείου, ἀλλ' ἐᾶν τε ἀπιέναι, ὅποι βούλοιντο, ἐκέλευε, καὶ ἀδικεῖν οὐκ εἴα, καὶ προπέμψαι ἐπέταξε τοὺς ἀμφ' αὐτὸν ἱππεῖς, ἔστε ἐν τῷ
14 ἀσφαλεῖ ἐγένοντο. Ἐπεί γε μὴν ἔληξεν ἡ μάχη, παρῆν δὴ θεάσασθαι ἔνθα συνέπεσον ἀλλήλοις, τὴν μὲν γῆν αἵματι πεφυρμένην, νεκροὺς δὲ κειμένους φιλίους καὶ πολεμίους μετ' ἀλλήλων, ἀσπίδας δὲ διατεθρυμμένας, δόρατα συντεθραυσμένα,

bros inter se proderet. Jam vero sibi ipse repugnat Schæferus quum licet initio disputationis suæ librorum Agesilai fidem sustulisset omnem, tamen ad eorum denique redit auctoritatem, quippe quorum in nonnullis major sit lacuna quam cui ἐμάχοντο, quod excidit in omnibus, satis sit explendæ. Atqui ne in his quidem ante sed post ἐωθοῦντο est lacuna, et in aliis iisque melioribus prorsus tantundem est spatii quantum capiat unum ἐμάχοντο, octo nempe litterarum. DIND.

ἀνδρεῖον μὲν] Guelf. omittit μὲν, deinde τοῖς ὄπισθεν dat.

Καὶ συμβάλοντες] Ita Halens. Castal. Steph. secunda, Hutchins. Bachiana et reliquæ pro συμβάλλοντες edd. veterum. Ex iisdem libris Zeune addidit ἀσπίδας, quas habet ex h. l. etiam Longinus sect. 19. περὶ ὕψους, ubi h. l. laudat.

13. ὀγδοήκοντα] Hellenica: ὡς ὀγδοήκοντα σὺν ὅπλοις. Sequens νεῷ ex Hellenicis pro ναῷ restituit Zeune. Templum Minervæ Itoniæ vocat Plutarchus Ages. c. xix. Ceterum vide annotanda infra ad cap. xi. 1.

ἱππεῖς]. Ex Attico more ἱππέας scriptum malebat Zeune: deinde γένοιντο Weiske. recte.

14. συντεθραυσμένα] Eustathius ad Il. x. 298. ex h. l. posuit παρατεθρ. deinde σώμασι pro σώματι dedit primus Hutchinson. τὰ δὲ σώμασιν ἐμπεπηγότα laudat Eustathius ex h. l.

Hunc locum præter Eustathium ab me post alios laudatum citavit scholiasta Victorianus apud Heynium vol. vi. p. 626. hoc modo: ἐπεὶ δ' ἔληξεν ἡ μάχη, παρῆν ἡδὺ (ἤδη corrigit Heynius) θεάσασθαι ἔνθα

ἐγχειρίδια γυμνὰ κουλεῶν τὰ μὲν χαμαὶ, τὰ δ' ἐν σώμασι, τὰ
δ' ἔτι μετὰ χεῖρας. Τότε μὲν οὖν (καὶ γὰρ ἦν ἤδη ὀψὲ) 15
συνελκύσαντες τοὺς τῶν πολεμίων νεκροὺς εἴσω φάλαγγος,
ἐδειπνοποιήσαντο καὶ ἐκοιμήθησαν· πρωῒ δὲ Γῦλον τὸν πολέ-
μαρχον παρατάξαι τε ἐκέλευσε τὸ στράτευμα καὶ τρόπαιον
ἵστασθαι, καὶ στεφανοῦσθαι πάντας τῷ θεῷ, καὶ τοὺς αὐλη-
τὰς πάντας αὐλεῖν. Καὶ οἱ μὲν ταῦτ' ἐποίουν· οἱ δὲ Θηβαῖοι 16
ἔπεμψαν κήρυκα, ὑποσπόνδους τοὺς νεκροὺς αἰτοῦντες θάψαι.
Καὶ οὕτω δὴ αἵ τε σπονδαὶ γίνονται, καὶ ὁ Ἀγησίλαος οἴκαδε
ἀπεχώρει, ἑλόμενος, ἀντὶ τοῦ μέγιστος εἶναι ἐν τῇ Ἀσίᾳ, οἴκοι
τὰ νόμιμα μὲν ἄρχειν, τὰ νόμιμα δὲ ἄρχεσθαι.

συνέπεσον ἀλλήλοις τὴν μὲν γῆν αἵματι πεφυραμένην, νεκροὺς δὲ κειμένους, ἀσπίδας δὲ πεπρισμένας, δόρατα παρατεθραυσμένα, ἐγχειρίδια γυμνὰ κολεῶν, τὰ μὲν χαμαὶ, τὰ δ' ἐν τοῖς σώμασιν ἐμπεπηγότα.

15. *τοὺς τῶν πολεμίων νεκροὺς*] Plutarch. Agesilai xix. *φοράδην ἐνεχθῆναι πρὸς τὴν φάλαγγα καὶ τοὺς νεκροὺς ἰδεῖν ἐντὸς τῶν ὅπλων συγκεκομισμένους.* Etiam ex Polyæni narratione ii. 1, 23. apparet, Agesilaum numerum suorum cæsorum in prælio celare hostem voluisse: ideo cadavera intra castra comportari jussit. Quare verba *τῶν πολεμίων*, uti nunc leguntur, spuria censui ad Hellenica iv. 3, 20. Rationem probabilem esse fatetur Weiske, itaque conjicit scribendum *τοὺς ἐκ τῶν πολεμίων νεκροὺς*, i. e. cadavera suorum cum hostilibus mixta. Sed hæc vel emendatio vel excusatio mihi dura et minime probabilis videtur. Contra egregie idem vir doctus Ernestii conatum vocabulum *φάλαγγος* impugnantis et tentantis conjectura retudit, docens ex Laced. Republ. xii. 3. castra Lacedæmonios *φάλαγγα* vocasse.

Γῦλον] Hellenica *Γῦλιν* nominant, rectius, puto.

παρατάξαι] Plutarchus causam enarrat: *ἐξελέγξαι βουλόμενος τοὺς Θηβαίους, εἰ διαμαχοῦνται.* Nam victoria dubia fuerat.

τῷ θεῷ] *Apollini* interpretatur Zeune, *cui parta victoria ἐπινίκιον cani solitum sit*, nescio quam recte.

16. *οἴκαδε ἀπεχώρει*] Agesilaus dimisit Gylin polemarchum cum exercitu, ipse Delphos abiit, ibique vulnera curavit, teste Xenophonte in Hellenicis et Diodoro xiv. 84.

ἑλόμενος—ἄρχεσθαι] Hæc plane alieno loco apponuntur hic, et miror a Weiskio nihil monitum. Sed ea superiori loco cap. i. sect. 36. extrema posita olim legit et vertit Nepos cap. iv. *qui quum victori præesset exercitui maximamque haberet fiduciam regni Persarum potiundi, tanta modestia dicto audiens fuit jussis absentium magistratuum, ut si privatus in comitio esset Spartæ—Agesilaus opulentissimo regno præposuit bonam existimationem, multoque gloriosius duxit, si institutis patriæ paruisset, quam si bello superasset Asiam,* Saltim Zeune apposuit postrema verba Nepotis ad hunc locum, et monet Nepotem huc respexisse. Quod quamvis contra negantem affirmare non ausim, nimia enim in vertendo libertate Nepos usus esse videtur, tamen statuo inepto et alieno loco Xenophontem membrum hoc orationis

17 Ἐκ δὲ τούτου κατανοήσας τοὺς Ἀργείους τὰ μὲν οἴκοι καρπουμένους, Κόρινθον δὲ προσειληφότας, ἡδομένους δὲ τῷ πολέμῳ, στρατεύει ἐπ' αὐτούς· καὶ δῃώσας πᾶσαν αὐτῶν τὴν χώραν, εὐθὺς ἐκεῖθεν ὑπερβαλὼν κατὰ τὰ στενὰ εἰς Κόρινθον, αἱρεῖ τὰ ἐπὶ τὸ Λέχαιον τείνοντα τείχη· καὶ ἀναπετάσας τῆς Πελοποννήσου τὰς πύλας, οὕτως οἴκαδε ἀπελθὼν εἰς τὰ Ὑακίνθια, ὅπου ἐτάχθη ὑπὸ τοῦ χοροποιοῦ, τὸν παιᾶνα τῷ θεῷ συνεπε-
18 τέλει. Ἐκ τούτου δὲ αἰσθανόμενος τοὺς Κορινθίους πάντα μὲν τὰ κτήνη ἐν τῷ Πειραίῳ σωζομένους, πᾶν δὲ τὸ Πείραιον σπείροντας καὶ καρπουμένους, μέγιστον δὲ ἡγησάμενος, ὅτι Βοιωτοὶ ταύτῃ ἐκ Κρεύσιος ὁρμώμενοι εὐπετῶς τοῖς Κορινθίοις παρεγίγνοντο, στρατεύει ἐπὶ τὸ Πείραιον. Ἰδὼν δὲ ὑπὸ πολλῶν φυλαττόμενον, ὡς ἐνδιδομένης τῆς πόλεως, ἐξ ἀρίστου με-

addidisse, quod superiori loco aptissime inseri potest.

17. *κατανοήσας*] Vulgatum *κατανοήσαντες* ex Philelphi versione, Brodæo, editione Halensi et Castal. Harleiano libro et Guelf. primus Hutchinson correxit.

κατὰ τὰ στενὰ] In Hellenicis est *κατὰ* Τεγέαν, ubi viri docti Τενέαν corrigunt.

Λέχαιον] Guelf. Λέχιον, edd. vett. Λέχεον. In Hellen. est *τὰ ἀνοικοδομηθέντα ὑπὸ τῶν Ἀθηναίων τείχη*. Plutarch. Ages. xxi. *τὰ μακρὰ τείχη*. Strabo viii. p. 271. ed. Sieb. *τὸ δὲ Λέχαιον ὑποπέπτωκε τῇ πόλει κατοικίαν ἔχον οὐ πολλήν, σκέλη δὲ καθείλκυσται σταδίων περὶ δώδεκα ἑκατέρωθεν τῆς ὁδοῦ τῆς περὶ τὸ Λέχαιον*, ubi Codd. dant *παρὰ τὸ Λ.*

Ὑακίνθια] Ita cum Philelpho Leoncl. Steph. sec. et Hutchinson vulgatum *Ὑακίνθινα* correxerunt. De festo vide Herodotum ix. 6. Thucyd. v. 23. *Χοροποιὸς* est, qui alias *χοροστάτης* et apud Dores *χοραγὸς* dicitur.

18. *Πειραίῳ*] Edd. veteres cum Guelf. hic et postea *Περαίῳ* dant, quam scripturam correxit Brodæus, Halensis, Castal. Hutchinson et alii editores.

πᾶν δὲ τὸ Πείραιον σπείροντας καὶ καρπουμένους] Hæc vulgo omissa ex Harleiano et Guelf. libro inserui. Sed margo Guelf. ubi hæc adscripta sunt, habet *Πέραιον*. Eadem Philelphum vertisse monuit Weiske. In Hellenicis iv. 5. 1. est: *ἀκούσαντες ὅτι οἱ ἐν τῇ πόλει πάντα μὲν τὰ βοσκήματα ἔχοιεν καὶ σώζοιντο ἐν τῷ Πειραίῳ, πολλοὶ δὲ τρέφοιντο αὐτόθι.* ubi bene *αὐτόθεν* ex hoc supplemento corrigendum esse vidit Weiske.

παρεγίγνοντο] Hoc ex Harleiano libro cum Hutchinsono et Bachio recepit Weiske in locum *συνεγίγνοντο*, quod ex Halensi, Castal. Steph. secunda dederat Zeune. In edd. vett. est *γίγνοντο* simplex. Guelf. dat *παραγίγνοιντο*, non spernendum. Paulo antea *Κεράσιος* Ald. Juntina. De portu Peiræo Corinthiorum in sinu Crissæo plura disputavit ad h. l. Weiske, quæ repetere non opus est. Cum Xenophontis narratione convenit topographia Strabonis, contra *Πείραιος* Thucydidis viii. 10. portus Corinthiorum desertus fuit in sinu Saronico.

ἐνδιδομένης] In Hellenicis est *προδιδομένης*, quod præferebat Leoncla-

τεστρατοπεδεύετο πρὸς τὸ ἄστυ· αἰσθόμενος δὲ ὑπὸ νύκτα βε- 19
βοηθηκότας ἐκ τοῦ Πειραίου εἰς τὴν πόλιν πασσυδὶ, ὑποστρέ-
ψας ἅμα τῇ ἡμέρᾳ, αἱρεῖ τὸ Πείραιον, ἔρημον εὑρὼν φυλακῆς,
καὶ τά τε ἄλλα τὰ ἐνόντα λαμβάνει, καὶ τὰ τείχη, ἃ ἐνετετεί-
χιστο. Ταῦτα δὲ ποιήσας οἴκαδε ἀπεχώρησε. Μετὰ δὲ 20
ταῦτα προθύμων ὄντων τῶν Ἀχαιῶν εἰς τὴν συμμαχίαν, καὶ
δεομένων συστρατεύειν αὐτοῖς εἰς Ἀκαρνανίαν, καὶ ἐπιθεμένων
ἐν στενοῖς τῶν Ἀκαρνάνων, καταλαβὼν τοῖς ψιλοῖς τὰ ὑπὲρ
κεφαλῆς αὐτῶν, μάχην συνάπτει· καὶ πολλοὺς ἀποκτείνας
αὐτῶν, τρόπαιον ἐστήσατο, καὶ οὐ πρότερον ἔληξε, πρὶν μὲν
Ἀχαιοῖς φίλους ἐποίησεν Ἀκαρνᾶνας καὶ Αἰτωλοὺς καὶ Ἀρ-
γείους, ἑαυτῷ δὲ καὶ συμμάχους. Ἐπειδὴ δὲ εἰρήνης ἐπιθυ- 21
μήσαντες οἱ πολέμιοι ἐπρεσβεύοντο, Ἀγησίλαος ἀντεῖπε τῇ
εἰρήνῃ, ἕως τοὺς διὰ Λακεδαιμονίους φυγόντας Κορινθίων καὶ
Θηβαίων ἠνάγκασε τὰς πόλεις οἴκαδε καταδέξασθαι. Ὕστε-
ρον δ' αὖ καὶ Φλιασίων τοὺς διὰ Λακεδαιμονίους φυγόντας
κατήγαγεν, αὐτὸς στρατευσάμενος ἐπὶ Φλιοῦντα. Εἰ δέ τις
ἄλλῃ πῃ ταῦτα μέμφεται, ἀλλ' οὖν φιλεταιρείᾳ γε πραχθέντα
φανερά ἐστι. Καὶ γὰρ ἐπεὶ τοὺς ἐν Θήβαις τῶν Λακεδαι- 22

vius. Sed ἐνδιδόναι pro *tradere, dedere urbem proditione* usurpat noster Hellenic. vii. 4, 14. et Plutarchus in Alcibiade cap. xxii. Ceterum strategema in eo fuisse monet Weiske, quod Agesilaus cum exercitu non ita magno ad Corinthum firmiter munitam præsidiis et operibus abiit, atque ita proditionis suspicionem movit, ut Piræi præsidium ad oppidi defensionem eliceret.

19. πασσυδὶ] Harleianus liber πασσυδίᾳ dat. Sequens ἃ ἐνετετείχιστο ex Hellenicis de sententia Stephani recepit Hutchinson pro vulgato ἀνατετείχιστο. Harleianus liber ἀνετετείχιστο dat, quod est in Halensi et Cast. editione. Leoncl. malebat ἃ ἀνετετείχιστο, quæ restaurata erant. H. Stephani Thes. Gr. L. ex editionibus nescio quibus apposuit κατατετείχιστο. In Hellenicis est Οἰνόην τὸ ἐντετειχισμένον τεῖχος αἱρεῖ. Strabo viii. p. 272. ἐν δὲ τῷ μεταξὺ τοῦ Λεχαίου καὶ Παγῶν τὸ τῆς Ἀκραίας μαντεῖον Ἥρας ὑπῆρχε τὸ παλαιὸν, καὶ αἱ Ὀλμιαὶ, τὸ ποιοῦν ἀκρωτήριον τὸν κόλπον, ἐν ᾧ ἥ τε Οἰνόη καὶ Παγαὶ, τὸ μὲν τῶν Μεγαρέων φρούριον, ἡ δὲ Οἰνόη τῶν Κορινθίων.

20. αὐτοῖς εἰς] Margo Steph. cum Guelf. αὐτοὺς εἰς. Expeditionem narrant Hellenica iv. 6. Deinde Guelf. vocabulum πρὶν per notam scriptum habet ita, ut appareat πρὶν ἢ aut simile quid voluisse dare librarium.

21. τῇ εἰρήνῃ] Per Antalcidem conciliatæ. Cf. Hellen. v. 1, 32.

τοὺς διὰ] Junt. Aldina, Guelf. διὰ omittunt; deinde τοὺς διὰ Λακεδαιμονίων Guelf. dat. De Phliasia expeditione Hellenica narrant v. 2, 8.

φιλεταιρείᾳ] Guelf. φιλεταιρίᾳ. De Thebana expeditione vide Hellenica v. 4, 11. et 35. seqq.

μονίων κατέκτανον οἱ ἐναντίοι, βοηθῶν αὖ τούτοις στρατεύει ἐπὶ
τὰς Θήβας. Εὑρὼν δὲ ἀποτεταφρευμένα καὶ ἀπεσταυρωμένα
ἅπαντα, ὑπερβὰς τὰς Κυνὸς κεφαλὰς ἐδῄου τὴν χώραν μέχρι
τοῦ ἄστεος, παρέχων καὶ ἐν πεδίῳ καὶ ἀνὰ τὰ ὄρη μάχεσθαι
Θηβαίοις, εἰ βούλοιντο. Ἐστράτευσε δὲ καὶ τῷ ἐπιόντι πάλιν
ἔτει ἐπὶ Θήβας· καὶ ὑπερβὰς τὰ κατὰ Σκῶλον σταυρώματα
23 καὶ τάφρους, ἐδῄωσε τὰ λοιπὰ τῆς Βοιωτίας. Τὰ μὲν δὴ
μέχρι τούτου κοινῇ αὐτός τε καὶ ἡ πόλις εὐτύχει· ὅσα γε μὴν
μετὰ τοῦτο σφάλματα ἐγένοντο, οὐδεὶς ἂν εἴποι, ὡς Ἀγησι-
λάου ἡγουμένου ἐπράχθη. Ἐπεὶ δ' αὖ, τῆς ἐν Λεύκτροις συμ-
φορᾶς γεγενημένης, κατακαίνουσι τοὺς ἐν Τεγέᾳ φίλους καὶ
ξένους αὐτοῦ οἱ ἀντίπαλοι σὺν Μαντινεῦσι, συνεστηκότων ἤδη
Βοιωτῶν τε πάντων καὶ Ἀρκάδων καὶ Ἠλείων, στρατεύει
σὺν μόρᾳ, πολλῶν νομιζόντων, οὐδ' ἂν ἐξελθεῖν Λακεδαιμονίους
πολλοῦ χρόνου ἐκ τῆς αὐτῶν. Δῃώσας δὲ τὴν χώραν τῶν κα-
24 τακανόντων τοὺς φίλους, οὕτως αὖ οἴκαδε ἀπεχώρησεν. Ἀπό
γε μὴν τούτου ἐπὶ τὴν Λακεδαίμονα στρατευσαμένων Ἀρκάδων
τε πάντων καὶ Ἀργείων καὶ Ἠλείων καὶ Βοιωτῶν καὶ
σὺν αὐτοῖς Φωκέων καὶ Λοκρῶν ἀμφοτέρων καὶ Θετταλῶν
καὶ Αἰνιάνων καὶ Ἀκαρνάνων καὶ Εὐβοέων, πρὸς δὲ τού-
τοις ἀφεστηκότων μὲν τῶν δούλων, πολλῶν δὲ περιοικίδων
πόλεων, καὶ αὐτῶν Σπαρτιατῶν οὐ μειόνων ἀπολωλότων ἐν τῇ
ἐν Λεύκτροις μάχῃ ἢ λειπομένων, ὅμως διεφύλαξε τὴν πόλιν,

22. πάλιν ἔτει] Halensis, Castal. Guelf. ἔτει πάλιν dant. Deinde στρατεύματα Guelf. a prima manu scriptum habet pro σταυρώματα. Ita etiam Aldina cum Juntina.

23. οὐδεὶς, ἂν εἴποι] Nam toto anno insequenti ægrotavit. Cf. Hellenica v. 4, 58. seqq.

Ἐπεὶ δ' αὖ, τῆς] Hanc Guelf. libri scripturam, a secunda manu adscriptam, prætuli vulgato δ' αὐτοῖς. De re vide Hellenica vi. 5, 4. seqq.

πολλοῦ χρόνου] Aldina, Junt. πολλοῦ omittunt, Halensis, Castal. dant πολὺν χρόνον. In vulgata intellige διά. Sic est in Anab. i. 7. 18. οὐ μαχεῖται δέκα ἡμερῶν, monente Weiskio. Deinde αὐτῶν edd. veteres dant.

24. ἢ λειπομένων] Quod dubitaveram ad Hellenica vi. 4, 15, num hæc verba de numero universo Spartiatarum an de illis tantum intelligenda sint, qui e pugna Leuctrica superfuerunt, Weiske admonet sibi numerum universum ideo placere, quia non dicitur λελειμμένων sed λειπομένων, qui magis videantur esse nunc residui quam antea relicti. Speciem habet hæc viri docti ratio, dubitationem tamen mihi meam nondum exemit. Cogitemus Xenophontem oratione recta narrare: ἐν τῇ ἐν Λεύκτροις μάχῃ τῶν Σπαρτιατῶν οὐ μείονες ἀπολώλασιν ἢ λείπονται. hæc ita posita nihil aliud significabunt,

καὶ ταῦτα ἀτείχιστον οὖσαν, ὅπου μὲν τῷ παντὶ πλεῖον ἂν
εἶχον οἱ πολέμιοι, οὐκ ἐξάγων ἐνταῦθα, ὅπου δὲ οἱ πολῖται
πλέον ἕξειν ἔμελλον, εὐρώστως παρατεταγμένος· νομίζων, εἰς
μὲν τὸ πλατὺ ἐξιὼν πάντοθεν ἂν περιέχεσθαι, ἐν δὲ τοῖς στε-
νοῖς καὶ ὑπερδεξίοις τόποις ὑπομένων, τῷ παντὶ κρατεῖν ἄν.
Ἐπεί γε μὴν ἀπεχώρησε τὸ στράτευμα, πῶς οὐκ ἂν φαίη 25
τις αὐτὸν χρῆσθαι εὐγνωμόνως ἑαυτῷ; Ὡς γὰρ τοῦ στρα-
τεύεσθαι αὐτὸν καὶ πεζῇ καὶ ἐφ' ἵππων ἀπεῖργεν ἤδη τὸ γῆρας,
χρημάτων δὲ ἑώρα τὴν πόλιν δεομένην, εἰ μέλλοι σύμμαχόν
τινα ἕξειν, ἐπὶ τὸ πορίζειν ταῦτα ἑαυτὸν ἔταξε. Καὶ ὅσα μὲν
ἐδύνατο, οἴκοι μένων ἐμηχανᾶτο. Ἃ δὲ καιρὸς ἦν, οὐκ ὤκνει
μετιέναι, οὐδ' ᾐσχύνετο, εἰ μέλλοι τὴν πόλιν ὠφελήσειν, πρε-
σβευτὴς ἐκπορευόμενος ἀντὶ στρατηγοῦ. Ὅμως δὲ καὶ 26
ἐν τῇ πρεσβείᾳ μεγάλου στρατηγοῦ ἔργα διεπράξατο. Αὐ-
τοφραδάτης γάρ τοι πολιορκῶν ἐν Ἄσσῳ Ἀριοβαρζάνην

quam si scripsisset ἢ λελειμμένοι εἰσὶ, et dubitationem videntur eandem habere de numero universo an de superstitibus ex pugna Spartiatis sint intelligenda. Sed recte idem vir doctus admonuit rationes non satis recte subduci ex loco Herodoti vii. 234. ubi Spartiatarum octo millia numerantur. Ex eo enim numero auferendos esse, qui terræ motu perierunt, teste Diodoro xi. 63. qui sub Agide bello Peloponnesiaco ceciderunt, quique Lysandro duce occubuerunt ad Haliartum mille numero. Dubito tamen an hac etiam ratione assequi possit vir doctus, ut nobis approbet opinionem, civium Spartanorum fuisse numerum majorem 8 millibus, quia leges eorum procreandæ soboli mirifice faverint. Eædem illæ enim leges sobolem succrescentem, si ad bellum inhabilis et parte aliqua vitiosa videretur esse, tollebant; eædem terræ portiones certas et numero definitas familiis assignaverant certis; quas tamen procedente tempore migrarunt.

ὅπου μὲν τῷ παντὶ] Articulum addidi de meo, qui abesse posse non videtur. Ita sequitur τῷ παντὶ κρατεῖν.

25. χρῆσθαι] Guelf. εὐγνωμόνως χρῆσθαι. Idem deinde post στρατεύεσθαι inserit αὐτὸν, quod Hutchinson tacitus addidit ex Harleiano libro, rejectum a Zeunio et Weiskio.

ἐπὶ τὸ] Edd. vett. cum Guelf. ἐπὶ τῷ. Ceterum quam vera sit excusatio senectutis Xenophontea, nescio. Nam sequitur statim narratio de suscepta ab Agesilao legatione ad socios exteros in Asia, in qua dicitur ducis egregii opera edidisse. Deinde narratur profectio ejus in Ægyptum, ubi præfuit copiis Græcis Tachum adjuvantibus. Hinc suspicio mihi suborta est de vitio vocabuli γῆρας.

πρεσβευτὴς] De hac Agesilai legatione in Asiam nullibi reperi quicquam significatum, cum de ejus in Ægyptum profectione ad Tachum juvandum loquantur scriptores qui supersunt omnes.

26. γάρ τοι πολιορκῶν] Vulgatum γάρ τε monente Weiskio correxi. Poetæ soli γάρ τε dicunt. De re

σύμμαχον ὄντα, δείσας Ἀγησίλαον, φεύγων ᾤχετο. Κότυς δ' αὖ Σηστὸν πολιορκῶν, Ἀριοβαρζάνου ἔτι οὖσαν, λύσας καὶ οὗτος τὴν πολιορκίαν ἀπηλλάγη. Ὥστ' οὐκ ἀλόγως καὶ ἀπὸ τῆς πρεσβείας τρόπαιον τῶν πολεμίων εἱστήκει αὐτῷ. Μαύσωλός γε μὴν κατὰ θάλασσαν ἑκατὸν ναυσὶ πολιορκῶν ἀμφότερα τὰ χωρία ταῦτα, οὐκέτι δείσας, ἀλλὰ πεισθεὶς, ἀπέπλευσεν οἴκαδε.
27 Ἄξια θαύματος διεπράξατο. Οἵ τε γὰρ εὖ πεπον-

vide Diodorum xv. 91. et Nepotis xiv. 2. Ceterum edd. vett. cum Guelf. habent ἐν Νάσσῳ. Verum est in Halensi, Castal. Stephani secunda.

σύμμαχον] Agesilai. Defecerat enim a rege Persarum. Cotys idem videtur, de quo dicetur ad cap. iii. 4.

εἱστήκει] Halensis ἑστήκοι, Castal. ἑστήκει.

οὐκέτι δείσας] Kuhnii emendationem ad Æliani V. H. xii. 12. propositam: οὔ γέ τι rejecit Zeune, vulgatum interpretans: *qui jam non*, seu similiter, ut Cotys et Autophradatas, metu deterritus est. Assentitur Weiske, comparato loco Cyrop. viii. 1, 10.

πεισθεὶς] Fuit enim ξένος Agesilai, ut paulo postea narrabitur, Mausolus, unus ducum, qui a rege defecerant. Cf. Diodori xv. 90.

27. Ἄξια θαύματος διεπράξατο] Philelphi versio: *dignas certe admiratione res gessit.* Legit igitur particulam aliquam additam. Brodæus καὶ ἄξια, vel καὶ πῶς οὐκ ἄξια conjecit, Stephanus ἄξια δὲ θαύματος. In Guelf. est suprascriptum ἄξια θαύματος δέ. Sed vel sic sententiam loci mancam esse, recte admonuit Ernesti, qui tentabat πρεσβείας vel πρέσβεως ἔργα, vel πρὸς δὲ τὰ χρήματα, πρὸς δὲ τὴν χρημάτισιν, Weiske οὕτω μὲν οὖν πρεσβευτὴς ὤν. Quid mihi videatur de hoc loco, nunc dicam. Docere voluit Xenophon Agesilaum, cum defectus viribus et senectute impeditus, quo minus expeditiones bellicas susciperet geretque, patriam tamen juvare vellet, opibus et pecunia inprimis indigentem, suscepto legationis munere peregre profectum etiam legatum magni imperatoris opera præstitisse. Legationem hanc Agesilai nullibi commemoratam legi, nec qualis ea fuerit ad quosve suscepta, Xenophon dixit. Cum tamen οἱ φεύγοντες αὐτὸν deinceps commemorentur, et Autophradates Agesilaum fugiens obsidionem Assi deseruisse dicatur, conjectura inde licet assequi, Agesilaum sociis consilio adfuisse eosque in bello administrando adjuvisse. Ad eandem legationem pertinere censent Interpretes omnia quæ sectione 26. et 27. leguntur, quanquam initium sect. 27. novæ narrationis initium habere videatur: Ἄξια θαύματος διεπράξατο. Sed sequentia docent, etiam hanc orationis partem pertinere ad eam legationem, quam Agesilaus eo maxime consilio susceperat, ut patriam collectis pecuniis sublevaret. Inepte igitur initium sect. 27. verbis importunis ἄξια—διεπράξατο cursum narrationis interpellat. Quæ mihi tamen non tam tollenda quam a loco alieno in suum restituenda esse videntur; cujusmodi transpositionis exemplum jam supra ad sect. 16. tractavimus. Primum igitur verba sect. 26. ὅμως δὲ καὶ ἐν τῇ πρεσβείᾳ μεγάλου στρατηγοῦ ἔργα διεπράξατο ita copulanda censeo cum initio sect. 27. ut scribamus μεγάλου στρατηγοῦ ἔργα θαύματος ἄξια

θέναι νομίζοντες ὑπ' αὐτοῦ, καὶ οἱ φεύγοντες αὐτὸν, χρήματα ἀμφότεροι ἔδοσαν. Ταχὼς γε μὴν καὶ Μαύσωλος διὰ τὴν πρόσθεν Ἀγησιλάου ξενίαν συμβαλόμενος καὶ οὗτος χρήματα τῇ Λακεδαίμονι, ἀπέπεμψαν αὐτὸν οἴκαδε, προπομπὴν δόντες μεγαλοπρεπῆ. Ἐκ δὲ τούτου ἤδη μὲν ἐγεγόνει ἔτη ἀμφὶ τὰ 28
ὀγδοήκοντα· κατανενοηκὼς δὲ τὸν Αἰγυπτίων βασιλέα ἐπιθυ-

vel *μεγάλου στρατηγοῦ ἄξια θαύματος ἔργα διεπράξατο*. Verba scilicet *ἄξια θαύματος* librarius suo loco omissa repetiit alieno loco, ne liber lituris deformis fieret, vel in margine apposuit, unde fuerunt postea ab alio librario alieno loco inserta. Utriusque rei exempla insignia nuper in Codicibus scriptis Vitruvii tractavi et explicavi. Quæ sequuntur varie ordinari atque invicem conjungi possunt. Si enim verba *οἵ τε γὰρ εὖ πεπονθέναι νομίζοντες—ἔδοσαν* anteposueris, tum subjungenda videntur hæc: *Αὐτοφραδάτας γάρ τοι—ἀπέπλευσεν οἴκαδε*. Nam Tachus et Mausolus non possunt inter exempla eorum nominari, qui dicuntur *εὖ πεπονθέναι νομίζοντες* et *οἱ φεύγοντες αὐτόν*. Tachus quidem sect. 29. *εὐεργετῆσαι τὴν Λακεδαίμονα* dicitur; Mausoli vero hospitium memoratur, cum militaret in Asia Agesilaus, ut videtur, contractum. Igitur post verba *ἀπέπλευσεν οἴκαδε* recte sequi videntur hæc: *Ταχὼς γε μὴν καὶ Μαύσωλος, διὰ τὴν πρόσθεν—καὶ οὗτος χρ. τῇ Λακεδαίμονι*, ita ut uterque largiti esse dicantur pecunias Lacedæmoniis, Mausolus tamen peculiariter ob hospitium olim cum Agesilao contractum. Itaque incisum post nomen *Μαύσωλος* ponendum erit, ut verba *διὰ τὴν—Λακεδαίμονι* quasi parenthesi includantur.

Ταχὼς γε μὴν] Vulgabatur: *Ταχέως γε μὴν*, vel minorem post distinctionem *ταχέως*. Itaque quæ sequuntur verba *ἀπέπεμψαν—δόντες* viri docti, cum ad unum Mausolum referri videantur, mutari voluerunt in *ἀπέπεμψεν—δοὺς*, præeunte Stephano. Leonclavius totum hoc membrum *προπομπὴν μεγαλοπρεπῆ* hinc sublatum transferri voluit ad sect. præcedentis finem *ἀμφότεροι ἔδοσαν, προπομπὴν—μεγαλοπρεπῆ*. Verum etiamsi cum viris doctis *ἀπέπεμψεν δοὺς* scribas, relinquitur tamen vel ita magna difficultas, quam miror a Weiskio non animadversam. Primum enim quid esse caussæ dicamus, quod *ταχέως* *celeriter* dimittit Mausolus Agesilaum? Deinde cur dicitur *καὶ Μαύσωλος*, et tamen additur statim *καὶ οὗτος*, si nullius alius regis vel reguli mentio cum Mausoli nomine fuit conjuncta? Nam si ad verba *χρήματα ἀμφότεροι ἔδοσαν* referre velis, tum *καὶ Μαύσωλος* sufficiebat. Quid multa? nulla mutatione vel correctione opus est, nisi ut *ταχέως* in nomen regis Ægyptio *Ταχὼς* mutetur, quod feci. Tachus et Mausolus Agesilai patriæ pecuniam largiti sunt, ille quidem spe futuri auxilii contra regem Persarum, hic vero propter jus antiqui hospitii cum Agesilao contracti. Hinc Xenophon sect. 29. addit: *ἐνόμιζε γὰρ τῇ αὐτῇ ὁρμῇ τῷ μὲν Αἰγυπτίῳ χάριν ἀποδώσειν ἀνθ' ὧν εὐεργετήκει τὴν Λακεδαίμονα*. Hoc est beneficium Tachi antea commemoratum.

συμβαλόμενος] Edd. vett. cum Guelf. *συμβαλλόμενος*.

28. *τὸν Αἰγυπτίων*] Harleianus liber *τῶν Αἰγύπτιον*. Deinde edd. vett. cum Guelf. *ὑπισχνούμενον*. Verum est in Castal.

μοῦντα τῷ Πέρσῃ πολεμεῖν, καὶ πολλοὺς μὲν πεζοὺς, πολλοὺς
δὲ ἱππέας, πολλὰ δὲ χρήματα ἔχοντα, ἄσμενος ἤκουσεν, ὅτι
μετεπέμπετο αὐτόν· καὶ ταῦτα, ἡγεμονίαν ὑπισχνούμενος.
29 Ἐνόμιζε γὰρ τῇ αὐτῇ ὁρμῇ τῷ μὲν Αἰγυπτίῳ χάριν ἀποδώσειν,
ἀνθ' ὧν εὐεργετήκει τὴν Λακεδαίμονα, τοὺς δ' ἐν τῇ Ἀσίᾳ Ἕλ-
ληνας πάλιν ἐλευθερώσειν, τῷ δὲ Πέρσῃ δίκην ἐπιθήσειν καὶ
τῶν πρόσθεν, καὶ ὅτι νῦν σύμμαχος εἶναι φάσκων, ἐπέταττε
30 Μεσσήνην ἀφιέναι. Ἐπεὶ μέντοι ὁ μεταπεμψάμενος, οὐκ
ἀπεδίδου τὴν ἡγεμονίαν αὐτῷ, ὁ μὲν Ἀγησίλαος ὡς τὸ μέγι-
στον ἐξηπατημένος ἐφρόντιζε, τί δεῖ ποιεῖν· ἐκ τούτου δὲ πρῶτον
μὲν οἱ δίχα στρατευόμενοι τῶν Αἰγυπτίων ἀφίστανται τοῦ βα-
σιλέως· ἔπειτα δὲ καὶ οἱ ἄλλοι πάντες ἀπέλιπον αὐτόν.
Καὶ αὐτὸς μὲν δείσας ἀπεχώρησε φυγῇ εἰς Σιδῶνα τῆς Φοινί-
κης· οἱ δ' Αἰγύπτιοι στασιάζοντες δισσοὺς βασιλέας αἱροῦν-
31 ται. Ἐνταῦθα δὴ Ἀγησίλαος, γνοὺς, ὅτι εἰ μὲν μηδετέρῳ
συλλήψοιτο, μισθὸν οὐδέτερος λύσει τοῖς Ἕλλησιν, ἀγορὰν δὲ
οὐδέτερος παρέξει, ὁπότερός τ' ἂν κρατήσῃ, οὗτος ἐχθρὸς ἔσται·
εἰ δὲ τῷ ἑτέρῳ συλλήψοιτο, οὗτός γε εὖ παθὼν, ὡς τὸ εἰκὸς,
φίλος ἔσοιτο· οὕτω δὴ κρίνας, ὁπότερος φιλέλλην μᾶλλον
ἐδόκει εἶναι, στρατευσάμενος μετὰ τούτου, τὸν μὲν μισέλληνα

29. τῇ αὐτῇ ὁρμῇ] *Eadem expeditione seu profectione*, monente Weiskio.

εὐεργετήκει] Simsonus edidit εὐηργετήκει. Ceterum Antalcidæ quæ dicitur pax Græcas Asiæ civitates sub imperium Persarum redegerat, Messeuios vero liberaverat, antea Lacedæmoniis parentes. Quæ causa fuit odii adversus Persarum regem. Cf. Diodori xv. 90. Plutarchi Agesilaum. Denique Μεσήνην dat Guelf. cum Juntina.

30. ἀπεδιδου] Juntinæ ἐπεδίδου temere cum Stephano probavit Zeune. De re vide Plutarchi Agesil. c. xxxvii. Diodori xv. 92. cum annotatione Wesselingii.

οἱ δίχα στρατ.] Ægyptii, qui, duce Nectanebo, præsidio relicti erant in Ægypto. Diodorus l. c.

Καὶ αὐτὸς] Tachus nempe. Cf. Diodorus l. c. et Æliani V. H. v. 1. cum annotatione Perizonii.

δισσοὺς] Nectanebum et Mendesium, uti narrant Diodorus et Plutarchus.

31. μηδετέρῳ] Harleianus liber μηδ' ἑτέρῳ. Deinde Aldina, Juntina συλλήψει τόν.

λύσει] Verbum suspectum habent omnes Interpretes, et certatim δώσει vel οἴσει reponunt.

οὕτω δὴ] Ita cum Zeunio scripsit Weiske pro vulgato οὕτω δέ. Præcesserat idem δὴ jam initio sectionis 31. Pugnam Nectanebi cum Mendesio narrat Plutarchi Agesilaus c. viii. Dona Nectanebi idem cap. xl. æstimat talentis ducentis triginta, Nepos cap. viii. ducentis viginti.

μάχῃ νικήσας χειροῦται, τὸν δ' ἕτερον συγκαθίστησι· καὶ φίλον ποιήσας τῇ Λακεδαίμονι, καὶ χρήματα πολλὰ προσλαβὼν οὕτως ἀποπλεῖ οἴκαδε, καίπερ μέσου χειμῶνος ὄντος, σπεύδων, ὡς μὴ ἀργὸς ἡ πόλις εἰς τὸ ἐπιὸν θέρος πρὸς τοὺς πολεμίους γένοιτο.

CAP. III.

ΚΑΙ ταῦτα μὲν δὴ εἴρηται, ὅσα τῶν ἐκείνου ἔργων μετὰ 1
πλείστων μαρτύρων ἐπράχθη. Τὰ γὰρ τοιαῦτα οὐ τεκμηρίων προσδεῖται, ἀλλ' ἀναμνῆσαι μόνον ἀρκεῖ, καὶ εὐθὺς πιστεύεται. Νῦν δὲ τὴν ἐν τῇ ψυχῇ αὐτοῦ ἀρετὴν πειράσομαι δηλοῦν, δι' ἣν ταῦτα ἔπραττε, καὶ πάντων τῶν καλῶν ἤρα, καὶ πάντα τὰ αἰσχρὰ ἐδίωκεν. Ἀγησίλαος γὰρ τὰ μὲν θεῖα οὕτως 2
ἐσέβετο, ὡς καὶ οἱ πολέμιοι τοὺς ἐκείνου ὅρκους καὶ τὰς ἐκείνου σπονδὰς πιστοτέρας ἐνόμιζον, ἢ τὴν ἑαυτῶν φιλίαν. . . . μὲν ὤκνουν εἰς ταὐτὸν ἰέναι, Ἀγησιλάῳ δὲ αὐτοὺς ἐνεχείριζον. Ὅπως δὲ μή τις ἀπιστῇ, καὶ ὀνομάσαι βούλομαι τοὺς ἐπιφανεστάτους αὐτῶν. Σπιθριδάτης μέν γε ὁ Πέρσης, εἰδὼς 3
ὅτι Φαρνάβαζος γῆμαι μὲν τὴν βασιλέως ἔπραττε θυγατέρα, τὴν δ' αὐτοῦ ἄνευ γάμου λαβεῖν ἐβούλετο· ὕβριν νομίσας τοῦτο, Ἀγησιλάῳ ἑαυτὸν καὶ τὴν γυναῖκα καὶ τὰ τέκνα καὶ

Cap. III. 1. τεκμηρίων] Dixi de h. l. in Disputatione de argumento et auctoritate hujus libri.

ἐν τῇ ψυχῇ αὐτοῦ ἀρετὴν] Etiam de h. l. disputatum est eodem loco.

πάντα τὰ αἰσχρὰ] Articulum τὰ recte inserendum censuit Weiske. ἐξεδίωκε deinde habet scriptum liber Harleianus.

2. φιλίαν] Lacunam Victorius Var. Lect. xxx. cap. 19. ex scripto libro una addita syllaba interpolavit: φιλίαν οἳ μὲν ὤκνουν. Philelphus ita locum vertit: *Nam in contrahendis inter se rebus plerumque ad eundem ire verebantur* et cet. Itaque in ejus Codice fuisse scriptum conjiciebat Zeune: καὶ γὰρ τοῦ συντίθεσθαι τὰ πολλὰ τοῖς ἑαυτῶν μὲν ὤκνουν εἰς et cet. quæ Græce scripta sicubi legissem, barbari hominis putassem. Contra Weiske conjiciebat Philelphum habuisse in Græco: καὶ τοῖς μὲν ἑαυτῶν ἐν ταῖς πρὸς ἑαυτοὺς συνθήκαις τὰ πολλὰ ὤκνουν et cet. Quæ non magis intelligo quam Leonclavii καὶ τοῖς ἑαυτῶν μὲν ὤκνουν. In Guelf. libro lacuna est signata septem vel octo vocabulorum. Cum liber Victorii οἳ scriptum habuerit, suspicor sequentia ita fere fuisse scripta in libro quidem Philelphi: οἵ τινες συντιθέμενοι ἀλλήλοις τὰ πολλὰ μὲν ὤκνουν εἰς ταὐτὸν ἰέναι. Denique H. Valesii conjecturam φιλίαν παρὰ βασιλέως· καὶ γὰρ πρὸς ἐκεῖνον μὲν ὤκνουν posuit Weiske in Append. ad extremum volumen suæ editionis Operum Xenoph. p. 339.

Ὅπως δὲ] Margo Steph. cum Guelf. ὅπως δή.

4 τὴν δύναμιν ἐνεχείρισε. Κότυς δὲ ὁ τῶν Παφλαγόνων ἄρχων βασιλεῖ μὲν οὐχ ὑπήκουε δεξιὰν πέμποντι, φοβούμενος, μὴ ληφθεὶς ἢ χρήματα πολλὰ ἀποτίσειεν, ἢ καὶ ἀποθάνοι· Ἀγησιλάου δὲ καὶ οὗτος ταῖς σπονδαῖς πιστεύσας, εἰς τὸ στρατόπεδόν τε ἦλθε, καὶ συμμαχίαν ποιησάμενος, εἵλετο σὺν Ἀγη-

3. δύναμιν] Hellenica iii. 4, 16. τὰ περὶ αὐτὸν χρήματα καὶ ἱππέας ὡς διακοσίους nominat. Majores copias arguit narratio iv. 1, 7.

4. Κότυς—ἄρχων] Idem supra cap. ii. 26. Sestum Ariobarzanis obsidet. In Hellenicis iv. 1, 3. vulgabatur ante Leonclav. ἦλθεν Ὄτυς. Idem ibidem sect. 27. ad Ariæum Sardes transfugit ab Agesilao. Ariæus autem cum rege Persarum bellum gerebat. Admonuit H. Valesius ad eum locum in Annotatis editis a Weiskio p. 328. eundem esse, quem Nepos in Datame cap. ii. Thyum, Paphlagoniæ dynasten, vocat. Is, ut ait Nepos, regi dicto audiens non erat, quam ob causam Datames propinquus Thyi adversus eum missus est; in quo bello deseruit Datamen Ariobarzanes præfectus Lydiæ, Ioniæ et Phrygiæ. Nihilo secius Datames Thyum vivum cepit cum uxore et liberis. Deinde cum Ariobarzane amicitiam facit, (cap. v.) filium Arsidæum adversus Pisidas mittit, qui in prœlio cadit. Datames ab Autophradate Phrygiæ præfecto oppugnatus frustra tandem dolo Mithridatis, Ariobarzanis filii, occiditur, cap. x. xi. Paucissima Datamis facta memoravit Diodorus xv. cap. 91. sub Olympiade 104, 3. eundem, ut videtur, secutus Theopompum, quem Nepos vertisse videtur, et exscripsisse item Polyænus vii. 21. Post pugnam ad Mantineam demum Agesilai primam legationem in Asiam memorat Xenophon supra c. ii. sect. 25. Pertinet igitur ad Olympiadis 104. annum tertium vel quartum; quo fere tempore Cotys Sestum obsidebat. Accurate annum definire non licet. Diodorus enim aperte solito vitio plurium annorum res gestas in unum contulit. Tamen vel sic apparet eundem esse Cotyn regem vel satrapam Paphlagoniæ, quem cum Theopompo Thyum vel Thuym appellat Nepos. Præterea monet Valesius ab Athenæo libro iv. p. 144. et x. p. 415. inter voracissimos numerari Θὺν, τὸν Παφλαγόνα βασιλέα, auctore Theopompo in libro xxxv. historiarum, qui captivum ad Artaxerxem perductum fuisse memoravit, consentiens cum Nepote. Locum Athenæi exscribens Ælianus V. H. i. 27. Θῦον τὸν Παφλαγόνα appellat. In Plutarchi Agesilao nihil varietatis libri scripti offerunt.

δεξιὰν πέμποντι] Hellenic. iv. 1, 2. simpliciter est καλούμενος ὑπὸ βασιλέως οὐκ ἀναβεβήκει. Nepos xiv. c. 10. *Fidem more Persarum dextra dare.* Diodorus xvi. c. 43. εἰπόντος δὲ τοῦ Θετταλίωνος, ὡς καὶ δεξιὰν λαβεῖν ὁ Τέννης ἠξίωσεν, ἐπὶ τούτοις ὁ μὲν βασιλεὺς ὀργισθεὶς, ὡς οὐ πιστευόμενος, καὶ τὴν δεξιὰν ἔδωκε τῷ Θετταλίωνι· ἔστι δ' ἡ πίστις αὕτη βεβαιοτάτη παρὰ τοῖς Πέρσαις. Cf. Freinsheim ad Curtii vi. 4. In Anabasi ii. 4, 1. est δεξιὰς φέρειν παρὰ βασιλέως, fidem a rege datam nunciare.

καὶ οὗτος] In Halensi et Castal. abest καί. Sequentem numerum χιλίους—δισχιλίους e margine Stephan. consentientem cum Hellen. et Plutarchi Ages. c. xi. recepit Leonclavius in locum vulgati δισχιλίους—τετρακισχιλίους.

σιλάῳ στρατεύεσθαι, χιλίους μὲν ἱππέας, δισχιλίους δὲ πελτοφόρους ἔχων. Ἀφίκετο δὲ καὶ Φαρνάβαζος Ἀγησιλάῳ εἰς 5
λόγους, καὶ διωμολόγησεν, εἰ μὴ αὐτὸς πάσης τῆς στρατιᾶς στρατηγὸς κατασταθείη, ἀποστήσεσθαι βασιλέως· ἢν μέντοι ἐγὼ γένωμαι στρατηγὸς, ἔφη, πολεμήσω σοι, ὦ Ἀγησίλαε, ὡς ἂν ἐγὼ δύνωμαι κράτιστα. Καὶ ταῦτα λέγων ἐπίστευε μηδὲν ἂν παράσπονδον παθεῖν. Οὕτω μέγα καὶ καλὸν κτῆμα τοῖς τε ἄλλοις ἅπασι, καὶ ἀνδρὶ δὴ στρατηγῷ, τὸ ὅσιόν τε καὶ πιστὸν εἶναί τε καὶ ὄντα ἐγνῶσθαι. Καὶ περὶ μὲν εὐσεβείας ταῦτα.

CAP. IV.

ΠΕΡΙ γε μὴν τῆς εἰς χρήματα δικαιοσύνης ποῖα ἄν τις 1
μείζω τεκμήρια ἔχοι τῶνδε; ὑπὸ γὰρ Ἀγησιλάου στέρεσθαι μὲν οὐδεὶς οὐδὲν πώποτε ἐνεκάλεσεν, εὖ δὲ πεπονθέναι πολλοὶ πολλὰ ὡμολόγουν. Ὅτῳ δὲ ἡδὺ τὰ αὑτοῦ διδόναι ἐπ' ὠφελείᾳ ἀνθρώπων, πῶς ἂν οὗτος ἐθέλοι τὰ ἀλλότρια ἀποστερεῖν, ἐφ' ᾧ κακόδοξος εἶναι; εἰ γὰρ χρημάτων ἐπιθυμοίη, πολὺ ἀπραγμονέστερον τὰ αὑτοῦ φυλάττειν, ἢ τὰ μὴ προσήκοντα λαμβάνειν. Ὃς δὲ δὴ καὶ χάριτας ἀποστερεῖν μὴ ἐθέλοι, 2
ὧν οὐκ εἰσὶ δίκαι πρὸς τὸν μὴ ἀποδιδόντα, πῶς, ἅ γε καὶ νόμος κωλύει, ἐθέλοι ἂν ἀποστερεῖν; Ἀγησίλαος δὲ οὐ μόνον τὸ μὴ ἀποδιδόναι χάριτας ἄδικον ἔκρινεν, ἀλλὰ καὶ τὸ μὴ πολὺ μείζους τὸν μείζω δυνάμενον. Τά γε μὴν τῆς πόλεως 3
κλέπτειν πῶς ἄν τις αὐτὸν εἰκότως αἰτιάσαιτο, ὃς καὶ τὰς αὑτῷ χάριτας ὀφειλομένας τῇ πατρίδι καρποῦσθαι παρεδίδου; Τὸ δ', ὁπότε βούλοιτο εὖ ποιεῖν ἢ πόλιν ἢ φίλους χρήμασι,

5. στρατιᾶς] Hoc ex libro Harleiano ductum ab Hutchinsono vulgato στρατηγίας, quod est etiam in Guelf., conjectura assecutus recte prætulit Leoncl.

ὡς ἂν ἐγὼ] Vulgatum ἕως correxit Weiske. Ita etiam Hellenica habent, iv. 1, 14.

Cap. IV. 1. δικαιοσύνης] Cf. ad cap. xi. 8. dicenda.

3. ὁπότε βούλοιτο εὖ ποιεῖν] Pro ipso εὖ ποιεῖν dictum esse putabat Weiske, ita tamen ut simul humanitatis et indulgentiæ significatio quædam insit. Verba autem sequentia δύνασθαι ὠφελεῖν interpretatur *cum posset ab aliis munera accipere et eosdem a quibus accepisset muneribus afficere.* Iis enim bene fecisse, a quibus nihil acceperat aut sperare poterat. Contra Interpretes locum ita vertisse ait, ut si pecunia ab aliis accepta et rursus alii donata dicatur, quod et sententiæ naturam et ra-

δύνασθαι παρ' ἑτέρων λαμβάνοντα ὠφελεῖν, οὐ τοῦτο καὶ μέγα
4 τεκμήριον ἐγκρατείας χρημάτων; Εἰ γὰρ ἐπώλει τὰς χάριτας, ἢ μισθοῦ εὐηργέτει, οὐδεὶς ἂν οὐδὲν ὀφείλειν αὐτῷ ἐνόμισεν· ἀλλ' οἱ προῖκα εὖ πεπονθότες, οὗτοι ἀεὶ ἡδέως ὑπηρετοῦσι τῷ εὐεργέτῃ, καὶ διότι εὖ ἔπαθον, καὶ διότι προεπιστεύθησαν
5 ἄξιοι εἶναι παρακαταθήκην χάριτος φυλάττειν. Ὅστις δ' ᾑρεῖτο καὶ σὺν τῷ γενναίῳ μειονεκτεῖν, ἢ σὺν τῷ ἀδίκῳ πλέον ἔχειν, πῶς οὗτος οὐκ ἂν πολὺ τὴν αἰσχροκέρδειαν ἀποφεύγοι; ἐκεῖνος τοίνυν κριθεὶς ὑπὸ τῆς πόλεως ἅπαντα ἔχειν τὰ Ἄγιδος, τὰ ἡμίσεα τοῖς ἀπὸ μητρὸς αὐτῷ ὁμογόνοις μετέδωκεν, ὅτι πενομένους αὐτοὺς ἑώρα. Ὡς δὲ ταῦτα ἀληθῆ, πᾶσα
6 μάρτυς ἡ τῶν Λακεδαιμονίων πόλις. Διδόντος δ' αὐτῷ πάμπολλα δῶρα Τιθραύστου, εἰ ἀπέλθοι ἐκ τῆς χώρας, ἀπεκρίνατο ὁ Ἀγησίλαος, ὦ Τιθραύστα, νομίζεται παρ' ἡμῖν, τῷ ἄρχοντι κάλλιον εἶναι τὴν στρατιὰν, ἢ ἑαυτὸν πλουτίζειν, καὶ παρὰ τῶν πολεμίων λάφυρα μᾶλλον πειρᾶσθαι ἢ δῶρα λαμβάνειν.

CAP. V.

1 ΑΛΛΑ μὴν καὶ ὅσαι γε ἡδοναὶ πολλῶν κρατοῦσιν ἀνθρώπων, ποίας οἶδέ τις Ἀγησίλαον ἡττηθέντα; ὃς μέθης μὲν ἀποσχέσθαι ὁμοίως ᾤετο χρῆναι καὶ μανίας, σίτων δὲ ὑπὲρ

tionem sect. sequenti adjectam reprobare putat. At enim vero ita scriptum oportebat ἀντωφελεῖν. Sed vir doctus tota sententia loci aberravit, quæ firmatur exemplis positis capitis ii. sect. 25. 26. 27.

4. εὐηργέτει] Halensis εὐεργέτει, ut cap. ii. 29. Eadem deinceps cum Castal. dat ὠφελεῖν.

5. σὺν τῷ γενναίῳ—σὺν τῷ ἀδίκῳ] Vulgatum σὺν αὐτῷ γενναίῳ—σὺν αὐτῷ ἀδίκῳ ex Halensi, Castal. Bryling. correxit Bachius et Zeune. Reiz ad Vigerum p. 815. malebat σὺν αὐτῷ τῷ γενναίῳ—σὺν αὐτῷ τῷ ἀδίκῳ.

– ἐκεῖνος τοίνυν] *Atqui* vertit Weiske, et comparat c. vii. §. 5. Symposii iv. 30. Hieronis iv. 2.

αὐτῷ ὁμογόνοις] Stephanus αὐτοῦ, Leoncl. Wels. Bach. αὑτοῦ dederunt. De re Plutarchi Ages. c. iv. adi, qui τοὺς ἀπὸ μητρὸς οἰκείους nominat.

6. μᾶλλον πειρᾶσθαι] Ex Harleiano, Guelf. et margine Steph. verbum πειρᾶσθαι accessit, quod edd. Halensis et Castal. post δῶρα inserunt, numero oratorio non rite servato. Idem verbum vertit Philelphus.

Cap. V. 1. ποίας] Edd. vett. cum Harleiano ποίαις.

καὶ μανίας] Vulgatum λαιμαργίας Philelphus aliter collocatum ita vertit: *qui ebrietate ac edacitate non secus atque ab ingenti flagitio alienari decere duceret—intempestivo*

καιρὸν ὁμοίως καὶ ἁμαρτίας. Διμοιρίαν γε μὴν λαμβάνων ἐν ταῖς θοίναις, οὐχ οὗτος ἀμφοτέραις ἐχρῆτο, ἀλλὰ διαπέμπων, οὐδετέραν αὐτῷ κατέλιπε· νομίζων βασιλεῖ τοῦτο διπλασιασθῆναι οὐχὶ πλησμονῆς ἕνεκα, ἀλλ' ὅπως ἔχοι καὶ τούτῳ τιμᾶν, εἴ τινα βούλοιτο. Οὐ μὴν ὕπνῳ γε δεσπότῃ, ἀλλ' 2
ἀρχομένῳ ὑπὸ τῶν πράξεων, ἐχρῆτο· καὶ εὐνήν γε εἰ μὴ τῶν συνόντων φαυλοτάτην ἔχοι, αἰδούμενος οὐκ ἄδηλος ἦν· ἡγεῖτο

autem cibo tanquam et impudentia. In ejus libro fuisse conjicit Zeune: ὃς μέθης μὲν καὶ λαιμαργίας ἀποσχέσθαι ὁμοίως ᾤετο χρῆναι καὶ ἁμαρτίας· σίτων δὲ ὑπὲρ καιρὸν ὁμοίως καὶ ἀναιδείας. Ex Athenæi libro xiv. Stephanus apposuit hanc lectionem: ἀπέχεσθαι ὁμοίως ᾤετο χρῆναι καὶ μανίας, σίτων δὲ ὑπερκαίρων ὁμοίως καὶ ἀργίας. Editio Casauboniana vero λαιμαργίας habet pro ἀργίας. Stephanum μανίας et ἀργίας commendantem sequuntur Leonclavius, Hutchinson et Bachius, μανίας καὶ ἁμαρτίας cum Zeunio dedit Weiske. Quod vero Ernesti μανίας repudiat, ideo quod a μανίᾳ abstinere non sit, ut a temulentia cavere, in hominis voluntate positum, respondet Weiske, et locum μανίας habere posse censet, quatenus ab eo vitio quis cavere sibi potest, præsertim cum vere insaniant ebrii. Videtur igitur μέθην voluisse esse μανίαν voluntariam, a qua cavere sibi quisque possit. Equidem Philelphi libri scripturam καὶ ἁμαρτίας—καὶ ἀναιδείας omnium maxime mihi placere profiteor, ejecto tamen inutili interpretamento καὶ λαιμαργίας. Ita enim comparantur res, quæ sunt in hominis voluntate et potestate positæ.

ὁμοίως καὶ ἁμαρτίας] Vulgatum ὁμοίως ὡς καὶ ἁμαρτίας ex Athenæo correxit Zeune, cujus emendationem firmat usus Xenophonteus.

θοίναις] Phiditia Laconica dicit. Cf. de Republ. Lacedæmon. xv. 4.

οὐχ οὗτος] Edd. Halensis et Castal. cum Guelf. libro dant οὕτως, quod ipsum hic positum malebat Ernesti. Vulgatum defendit Zeune comparans loca cap. ii. 26. iv. 4. Symposii viii. 33. quæ plane dissimilia sunt huic nostro. Ego igitur alteram Ernestii conjecturam οὐκ αὐτὸς præfero.

διμοιρίαν γε μὴν λαμβάνων ἐν ταῖς θοίναις οὐχ οὗτος ἀμφοτέραις ἐχρῆτο, ἀλλὰ διαπέμπων οὐδετέραν αὐτῷ κατέλειπε.] Exempla quibus Zeunius οὗτος hic defenderat inepta esse pariter atque ipsum οὗτος recte animadvertit Schneiderus. Equidem quum iterum hunc locum excussi, et illud et quod ego ex melioribus libris posueram οὕτως perinde mendosa esse intellexi. Vera enim scriptura est οὐχ ὅπως ἀμφοτέραις ἐχρῆτο, ἀλλὰ διαπέμπων οὐδετέραν αὐτῷ κατέλειπε. DIND.

οὐδετέραν—κατέλιπε] Guelf. οὐδετέροις κατέλιπε. Vulgatum κατέλειπε ex Steph. secunda correxit Zeune.

2. ἀρχομένῳ] Guelf. γε addit, inutile. Deinde ἄδηλον edd. veteres dant. Ceterum locum hunc expressit Plutarchus in Apophthegm. Lac. p. 788. ed. Reisk. p. 177. ed. Hutten. ubi est: κόρου μὲν καὶ μέθης τοπαράπαν ἀπεχόμενος, ὕπνῳ δ' οὐ δεσπότῃ, ἀλλ' ἀρχομένῳ ὑπὸ τῶν πράξεων χρώμενος, πρὸς δὲ θάλπος οὕτω καὶ ψύχος εἶχεν, ὥστε μόνος ἀεὶ χρῆσθαι ταῖς ὥραις—διετέλει δὲ λέγων τὸν ἄρχοντα προσήκειν οὐ μαλακίᾳ καὶ τρυφῇ, καρτερίᾳ δὲ καὶ ἀνδρίᾳ τῶν ἰδιωτῶν περιεῖναι.

γὰρ ἄρχοντι προσήκειν, οὐ μαλακίᾳ, ἀλλὰ καρτερίᾳ τῶν ἰδιω-
3 τῶν περιεῖναι. Τάδε μέντοι πλεονεκτῶν οὐκ ἠσχύνετο, ἐν μὲν
τῷ θέρει, τοῦ ἡλίου, ἐν δὲ τῷ χειμῶνι, τοῦ ψύχους. Καὶ μὴν
εἴποτε μοχθῆσαι στρατιᾷ συμβαίη, ἑκὼν ἐπόνει παρὰ τοὺς
ἄλλους· νομίζων πάντα τοιαῦτα παραμυθίαν εἶναι τοῖς στρα-
τιώταις. Ὡς δὲ συνελόντι εἰπεῖν, Ἀγησίλαος πονῶν μὲν
4 ἠγάλλετο, ῥᾳστώνην δὲ πάμπαν οὐ προσίετο. Περί γε μὴν
ἀφροδισίων ἐγκρατείας αὐτοῦ ἆρ' οὐχὶ, εἰ μὴ τοῦ ἄλλου, ἀλλὰ
θαύματος ἕνεκα ἄξιον μνησθῆναι; τὸ μὲν γὰρ ὧν μὴ ἐπεθύ-
μησεν ἀπέχεσθαι, ἀνθρώπινον ἄν τις φαίη εἶναι· τὸ δὲ, Μεγα-
βάτου τοῦ Σπιθριδάτου παιδὸς ἐρασθέντα, ὥσπερ ἂν τοῦ καλ-
λίστου ἡ σφοδροτάτη φύσις ἐρασθείη, ἔπειτα, ἡνίκα, ἐπιχωρίου
ὄντος τοῖς Πέρσαις φιλεῖν, οὓς ἂν τιμῶσιν, ἐπεχείρησε καὶ ὁ
Μεγαβάτης φιλῆσαι τὸν Ἀγησίλαον, διαμάχεσθαι ἀνὰ κρά-
τος τῷ μὴ φιληθῆναι, ἆρ' οὐ τοῦτό γε ἤδη τὸ σωφρόνημα καὶ
5 λίαν μανικόν; Ἐπεὶ δὲ, ὥσπερ ἀτιμασθῆναι νομίσας, ὁ Με-

3. ἐν μὲν τῷ] Guelf. ἐν τῷ μέν. Cf. Cyrop. i. 6, 25.

οὐ προσίετο] Philelphus *otio vero omnino tristabatur* vertit, probante Weiskio, qui comparat de usu formulæ Memorab. ii. 6, 18. ii. 7, 11. ii. 8, 5. Simile esse οὔ μοι ἥδιον, abominor, Herodoti ii. 46. Æliani V. H. ii. 23. Hesiodi Ἔργ. 748. et 757. Addo usum Aristophaneum ἓν δ' οὐ προσίεταί με Equit. 369. et Vesp. 742. contra Euripides Electræ 621. προσηκάμην τὸ ῥηθὲν, gratum mibi est, quod dicis.

4. ἀνθρώπινον] Zeune comparabat ἀνθρώπινα ἁμαρτάνειν ex Cyrop. iii. 1, 40. quod nollem a Weiskio repetitum, qui tamen *non ita magnum* interpretatur.

ἐπιχωρίου] De quo Cyrop. i. 4, 27.

διαμάχεσθαι] Plutarchus Agesilai cap. ii. νεανικῶς ἀπομάχεσθαι πρὸς τὴν ἐπιθυμίαν.

τῷ μὴ φιληθῆναι] Weiskianæ annotationi ad h. l. præscriptum legitur τὸ μὴ, quod nescio an hic scriptum maluerit vir doctus, qui negationem μὴ sententiæ addi monet, ut fieri soleat post verba ἀπαγορευτικὰ, quale est h. l. διαμάχεσθαι. Thucyd. iii. 40. ἐγὼ μὲν οὖν καὶ τότε πρῶτον καὶ νῦν διαμάχομαι μὴ μεταγνῶναι ὑμᾶς τὰ προδεδογμένα. et cap. xlii. τούς τε λόγους ὅστις διαμάχεται μὴ διδασκάλους τῶν πραγμάτων γίγνεσθαι, ἢ ἀξύνετός ἐστιν ἢ et cet.

λίαν μανικόν;] Ernesti dictum putat ut τραγῳδικὸν pro *portentoso, incredibili*, atque agnoscit elegantiam ὀξυμώρου, comparatque Horatii *sapientiam insanientem*, si verbum sit a μανίᾳ ductum. Ita apud Aristoph. Pluti versu 424. esse quanquam sensu diverso βλέπει γε τοὶ μανικόν τι καὶ τραγῳδικόν. Quod addit ex Plutarcho proverbio Phrygio μανικὰ dicta fuisse omnia magnæ virtutis facinora a rege quodam Mane, hoc vero plane non pertinet ad Xenophontem. Locus est de Iside cap. xxiv. Φρύγες δὲ μέχρι νῦν τὰ λαμπρὰ καὶ θαυμαστὰ τῶν ἔργων μανικὰ καλοῦσι, διὰ τὸ Μᾶνιν τινὰ τῶν πάλαι βασιλέων ἀγαθὸν ἄνδρα καὶ δυνατὸν γε-

γαβάτης τοῦ λοιποῦ οὐκέτι φιλεῖν ἐπειρᾶτο, προσφέρει τινὶ λόγον τῶν ἑταίρων ὁ Ἀγησίλαος πείθειν τὸν Μεγαβάτην πάλιν τιμᾶν αὐτόν. Ἐρομένου δὲ τοῦ ἑταίρου, ἢν πεισθῇ ὁ Μεγαβάτης, εἰ φιλήσει, ἐνταῦθα διασιωπήσας ὁ Ἀγησίλαος εἶπεν οὑτωσί· οὐδ' εἰ μέλλοιμί γε αὐτίκα μάλα κάλλιστός τε καὶ ἰσχυρότατος καὶ τάχιστος ἀνθρώπων ἔσεσθαι. Μάχεσθαί γε μέντοι πάλιν τὴν αὐτὴν μάχην, ὄμνυμι πάντας τοὺς θεοὺς μᾶλλον βούλεσθαι, ἢ πάντα μοι, ὅσα ὁρῶ, χρύσεα γενέσθαι. Καὶ ὅτι μὲν δὴ ὑπολαμβάνουσί τινες ταῦτα, οὐκ 6 ἀγνοῶ· ἐγὼ μέντοι δοκῶ εἰδέναι, ὅτι πολὺ πλέονες τῶν πολε-

νέσθαι. Sed ipse Ernesti tertiam rationem proposuit, ut νεανικὸν scribatur. Zeune μανικὸν, oppositum ἀνθρωπίνῳ, interpretatur *divinum, a deo profectum*, et comparat Anacreontis μανεῖσα τέχνα Carminis li. 2. Weiske primam Ernestii rationem probans comparat Latinum *insanus*. Equidem, si vera est scriptura, a comparatione cum prophetis et poetis, qui divino numine afflati canunt, tractam malim interpretari, sed δαιμόνιον scriptum malim pro λίαν μανικόν. Ita demum recte opponitur ἀνθρώπινον.

5. οὐκέτι φιλεῖν] Plutarchus Ages. ii. ἐπεὶ δ' ἐκεῖνος αἰσχυνθεὶς ἐπαύσατο καὶ τὸ λοιπὸν ἄπωθεν ἤδη προσηγόρευεν —ἢ πάντα, ὅσα τεθέαμαι, χρυσία μοι γενέσθαι. quæ Moses du Soul vertenda censet: *quam meum esse quicquid auri a me unquam est visum.* Quam sententiam aptiorem etiam censuit Weiske et ad Xenophontem transtulit; monet tamen, hujus verba ita esse ordinanda, ut efficiant istam sententiam: ἢ πάντα μ. γ. ὅσα ὁρῶ χρύσεα. Sed vulgaris interpretatio *ut omnia mihi—in aurum convertantur*, ut olim Midæ, sola verbis Xenophontis convenit; altera Plutarchi verbis τεθέαμαι—χρυσία potest adaptari, vera tamen non videtur.

τιμᾶν αὐτὸν] Edd. vett. ἑαυτὸν—οὑτοσὶ dant. Deinde Guelf. πάντας θεοὺς ἢ μᾶλλον βούλεσθαι πάντα dat.

τὴν αὐτὴν μάχην] *Ad exercendam, confirmandam et demonstrandam continentiam*, recte monente Weiskio. Contra Plutarchus in Apophth. Lacon. p. 176. οὐδὲν, ἔφη, δεῖ πείθειν ἐκεῖνον ὑμᾶς· ἐγὼ γάρ μοι δοκῶ τῶν τοιούτων βούλεσθαι ἐπάνω εἶναι ἢ τὴν εὐανδροτάτην τῶν ἀντιταττομένων πόλιν κατὰ κράτος ἑλεῖν.

6. ὅτι μὲν δὴ ὑπολαμβάνουσι] Zeune *suspecta et incredibilia habere*, Weiske *in dubium vocare* interpretatur, addens proprie esse *adversarii hæc dicta excipiunt, ut ea refutent.* Sequens τοιοῦτον *flagitium aliquod* interpretatur. Zeunianus Index ex h. l. retulit ὑπολαμβάνω, *existimo, suspicor*. Mihi ὅ, τι scribendum, et locus ita interpretandus esse videtur: *equidem non ignoro, quid aliqui de rebus his existiment, suspicentur, vel quomodo eas interpretentur.* Voluisse videtur Xenophon significare, quibusdam hæc visum iri incredibilia vel ideo, quod talia clam fieri soleant. Cui judicio statim occurrit, dum docet, a principibus viris et imperatoribus nihil posse fieri, quod non statim evulgetur.

μίαν ἢ τῶν τοιούτων δύνανται κρατεῖν. Ἀλλὰ ταῦτα μὲν ὀλίγων εἰδότων, πολλοῖς ἔξεστιν ἀπιστεῖν· τὰ δὲ πάντες ἐπιστάμεθα, ὅτι ἥκιστα μὲν οἱ ἐπιφανέστατοι τῶν ἀνθρώπων λανθάνουσιν, ὅ, τι ἂν ποιῶσιν· Ἀγησίλαον δέ τι πράξαντα μὲν τοιοῦτον οὔτε ἰδὼν πώποτε οὐδεὶς ἀνήγγειλεν, οὔτε εἰκάζων
7 πιστὰ ἂν ἔδοξε λέγειν. Καὶ γὰρ εἰς οἰκίαν μὲν οὐδεμίαν ἰδίᾳ ἐν ἀποδημίᾳ κατήγετο, ἀεὶ δὲ ἦν ἢ ἐν ἱερῷ, ἔνθα δὴ ἀδύνατον τὰ τοιαῦτα πράττειν, ἢ ἐν φανερῷ, μάρτυρας τοὺς πάντων ὀφθαλμοὺς τῆς σωφροσύνης ποιούμενος. Εἰ δ' ἐγὼ ταῦτα ψεύδομαι ἀντία τῆς Ἑλλάδος ἐπισταμένης, ἐκεῖνον μὲν οὐδὲν ἐπαινῶ, ἐμαυτὸν δὲ ψέγω.

CAP. VI.

1 ΑΝΔΡΙΑΣ γε μὴν οὐκ ἀφανῆ τεκμήρια μοι δοκεῖ παρασχέσθαι, ὑφιστάμενος μὲν ἀεὶ πολεμεῖν πρὸς τοὺς ἰσχυροτάτους τῶν ἐχθρῶν τῇ τε πόλει καὶ τῇ Ἑλλάδι, ἐν δὲ τοῖς
2 πρὸς τούτους ἀγῶσι πρῶτον μὲν ἑαυτὸν τάττων. Ἔνθα γε μὴν ἠθέλησαν αὐτῷ οἱ πολέμιοι μάχην συνάψαι, οὐ φόβῳ τρεψάμενος νίκης ἔτυχεν, ἀλλὰ μάχῃ ἀντιτύπῳ κρατήσας τρόπαιον ἐστήσατο, ἀθάνατα μὲν τῆς ἑαυτοῦ ἀρετῆς μνημεῖα καταλιπών, σαφῆ δὲ καὶ αὐτὸς σημεῖα ἀπενεγκάμενος τοῦ

τὰ δὲ πάντες] Ita pro ἃ δὲ ex Philelphi versione, edd. Halensi, Castal. Bryl. Harlei. scripsit Hutchinson.

7. οἰκίαν μὲν] Edd. Halensis et Castal. μὲν omittunt. Plutarchi Ages. xiv. ἐσκήνου μὲν γὰρ ἀποδημῶν καθ' αὑτὸν ἐν τοῖς ἁγιωτάτοις ἱεροῖς, ἃ μὴ πολλοὶ καθορῶσιν ἄνθρωποι πράττοντας ἡμᾶς, τούτων θεοὺς ἐπόπτας ποιούμενος καὶ μάρτυρας.

ἦν ἢ ἐν] Philelphus vertit: *semper autem vel in templo aut in publico residebat.* Hinc et ex conjectura Stephani ἦν verbum inseruit cum Hutchinsono Zeune, quamvis vulgatum defendat Bachius. Merito de verbo ἦν subdubitat Weiske, quod non satis grave et sonorum sit. ἀνεστρέφετο vel simile verbum equidem desidero.

Cap. VI. 1. ἀνδρίας] Vulgatum ἀνδρείας ex Stephan. sec. correxit Bachius.

τῇ τε πόλει] Dativum Zeune male refert ad verbum ὑφιστάμενος, cum sit jungendus cum vocabulo ἐχθρῶν. Deinde πρὸς τούτοις Guelf.

πρῶτον μὲν] Leonclavius suspectum sibi merito μὲν in ἀεὶ mutari voluit, probante mecum Weiskio. Inepte defendit Zeune.

πρῶτον] Libri πρῶτον μέν. DIND.

2. σημεῖα] *Vulnera adverso corpore excepta* recte interpretatur Weiske. Plutarchus Agesilai c. xxxvi. καὶ πᾶν ὑπὸ τραυμάτων τὸ σῶμα κατακεκομμένος.

θυμῷ μάχεσθαι. Ὥστ' οὐκ ἀκούοντας, ἀλλ' ὁρῶντας ἐξῆν
αὐτοῦ τὴν ψυχὴν δοκιμάζειν. Τρόπαια μὴν Ἀγησιλάου οὐχ 3
ὅσα ἐστήσατο, ἀλλ' ὅσα ἐστρατεύσατο, δίκαιον νομίζειν. Μεῖον
μὲν γὰρ οὐδὲν ἐκράτει, ὅτι οὐκ ἤθελον αὐτῷ οἱ πολέμιοι μά-
χεσθαι, ἀκινδυνότερον δὲ, καὶ συμφορώτερον τῇ τε πόλει καὶ
τοῖς συμμάχοις. Καὶ ἐν τοῖς ἀγῶσι δὲ οὐδὲν ἧττον τοὺς ἀκο-
νιτὶ, ἢ τοὺς διὰ μάχης νικῶντας στεφανοῦσι. Τήν γε μὴν 4
σοφίαν αὐτοῦ ποῖαι τῶν ἐκείνου πράξεων οὐκ ἐπιδεικνύουσιν;
ὃς τῇ μὲν πατρίδι οὕτως ἐχρῆτο, ὥστε μάλιστα πειθόμενος. . . .
ἑταίροις δὲ πρόθυμος ὢν, ἀπροφασίστους τοὺς φίλους ἐκέκτη-
το· τοὺς δέ γε στρατιώτας ἅμα πειθομένους καὶ φιλοῦντας
αὐτὸν παρεῖχε. Καί τοι πῶς ἂν ἰσχυροτέρα γένοιτο φάλαγξ,
ἢ διὰ τὸ μὲν πείθεσθαι εὔτακτος οὖσα, διὰ δὲ τὸ φιλεῖν τὸν
ἄρχοντα πιστῶς παροῦσα; Τούς γε μὴν πολεμίους εἶχε ψέ- 5
γειν μὲν οὐ δυναμένους, μισεῖν δὲ ἀναγκαζομένους. Τοὺς γὰρ
συμμάχους ἀεὶ πλέον ἔχειν αὐτῶν ἐμηχανᾶτο, ἐξαπατῶν μὲν,

αὐτοῦ τὴν ψυχὴν] Vulgatum αὐτῷ ex versione Philelphi, Castal. et Harleiano libro correxit Hutchinson. Pejus αὐτῷ tenet Guelf.

3. Τρόπαια μὴν] Edd. Halensis, Cast. μὲν οὖν. Philelphus Zeunio καὶ τρόπαια μὴν legisse et vertisse videtur. Vertit autem: *Atque tropæa quidem Agesilai non ea solum quot statuit, jure habenda sunt, sed quot potius bellando promeruit.*

ὅσα ἐστρατεύσατο] Singulas ejus expeditiones bellicas.

ὅτι οὐκ ἤθελον] Credo Xenophontem ὅτε scripsisse. Respondent hæc iis, quæ sunt sect. 2. ἔνθα γε μὴν ἠθέλησαν αὐτῷ—συνάψαι. Sequens συμφορώτερον ex emendatione Stephani receperunt Hutchinson et ceteri editores. Vitiosum συμφερώτερον tenet etiam Guelf.

4. ἑταίροις δὲ πρόθυμος ὢν] Scripturam edd. vett. ἑτέροις ex versione Philelphi, Halensi et Castal. editione et libro Harleiano correxit Zeune. Philelphus vertit: *ut alacri animo sociis obsequendo frequentissimos nihilque recusantes amicos compararit.* Deinde δὲ ex edd. Hal. Castal. inseruit Zeune. Contra Stephanus et cum eo Leoncl. corrigebant: πειθομένοις ἑταίροις πρόθυμος. Sed ex loco Plutarchi Ages. iv. ὃ δέ φησιν ὁ Ξενοφῶν, ὅτι τῇ πατρίδι πειθόμενος ἴσχυε πλεῖστον, ὥστε ποιεῖν ὃ βούλοιτο, τοιοῦτόν ἐστι, quem apposuit etiam Zeune, recte arguit Weiske, post πειθόμενος apodosin excidisse, quam ex Plutarchi narratione conjicere, sed redintegrare non licet. Igitur lacunæ signa apposui. Eadem fere sententia est iterum sect. 2. cap. vii. ὅτι δυνατώτατος ὢν ἐν τῇ πόλει φανερὸς ἦν μάλιστα τοῖς νόμοις λατρεύων. Præterea etiam tertio membro τοὺς δέ γε στρατιώτας deesse videtur verbum vel participium, veluti συμπονῶν vel simile, quod respondeat illi πειθόμενος in primo, deinde πρόθυμος ὢν in altero.

ἢ διὰ] Stephanus malebat ἢ ἡ διά. Assentirer, si esset ποία φάλαγξ. Sententia eadem est Cyrop. vii. 1, 30.

ὅπου καιρὸς εἴη, φθάνων δὲ, ὅπου τάχους δέοι, λήθων δὲ, ὅπου τοῦτο συμφέροι, πάντα δὲ τἀναντία πρὸς τοὺς πολεμίους, ἢ
6 πρὸς τοὺς φίλους ἐπιτηδεύων. Καὶ γὰρ νυκτὶ μὲν ὅσαπερ ἡμέρᾳ ἐχρῆτο, ἡμέρᾳ δὲ ὅσαπερ νυκτὶ, πολλάκις ἄδηλος γιγνόμενος, ὅπου τε εἴη, καὶ ὅπου ἴοι, καὶ ὅ, τι ποιήσοι. Ὥστε καὶ τὰ ἐχυρὰ ἀνώχυρα τοῖς ἐχθροῖς καθίστη, τὰ μὲν παριὼν,
7 τὰ δὲ ὑπερβαίνων, τὰ δὲ κλέπτων. Ὁπότε γε μὴν πορεύοιτο, εἰδὼς, ὅτι ἐξείη τοῖς πολεμίοις μάχεσθαι, εἰ βούλοιντο, συντεταγμένον μὲν οὕτως ἦγε τὸ στράτευμα, ὡς ἂν ἐπικουρεῖν μάλιστα ἑαυτῷ δύναιτο, ἡσύχως δὲ, ὥσπερ ἂν παρθένος ἡ σωφρονεστάτη προβαίνοι· νομίζων ἐν τῷ τοιούτῳ τό, τε ἀτρεμὲς, καὶ ἀνεκπληκτότατον, καὶ ἀθορυβητότατον, καὶ ἀναμαρτητότατον,
8 καὶ δυσεπιβουλευτότατον εἶναι. Τοιγαροῦν τοιαῦτα ποιῶν τοῖς μὲν πολεμίοις δεινὸς ἦν, τοῖς δὲ φίλοις θάρσος καὶ ῥώμην ἐνεποίει. Ὥστε ἀκαταφρόνητος μὲν ὑπὸ τῶν ἐχθρῶν διετέλεσεν, ἀζήμιος δ' ὑπὸ τῶν πολιτῶν, ἄμεμπτος δὲ ὑπὸ τῶν φίλων, πολυεραστότατος δὲ καὶ πολυεπαινετώτατος ὑπὸ πάντων ἀνθρώπων.

CAP. VII.

1 ὩΣ γε μὴν φιλόπολις ἦν, καθ' ἓν μὲν ἕκαστον μακρὸν ἂν εἴη γράφειν· οἴομαι γὰρ οὐδὲν εἶναι τῶν πεπραγμένων αὐτῷ,

6. ὅποι ἴοι] Libri ὅπου ἴοι. DIND.

ἐχυρὰ] Vulgatum ἰσχυρὰ ex edd. Hal. Castal. Bryl. et libro Harlei. cum Hutchinsono correxit Zeune. Deinde ἀνώχυρα dant Welsiana, Hutchinsoniana, Bachiana editio, quas imitatur etiam Weiskiana. ἀνόχυρα prætulit Zeune, qui non meminerat ἀνώμαλος, ἀνώμοτος, ἀνώνυμος, ἀνώδυνος et similia cum litera ω scripta.

7. ἐξείη] Edd. Halens. Castal. ἐξίοι. Philelphus item *sciens eo consilio se egressum, ut cum hostibus manus consereret*. Guelf. ἐξήει dat.

συντεταγμένον] Aristides Guelf. συντεταγμένως—ἑαυτοῖς δύναιντο. Guelf. liber Xenophontis sequens μὲν omittit. Postea προβαίνει edd. vett. excepta Castal.

καὶ ἀνεκπληκτότατον] Weiske scriptum malebat καὶ τὸ ἀνέκπληκτον et cetera, aut τό τε ἀτρεμέστατον καὶ ἀνεκπλ. Quid si dicamus superlativum modum vocabuli ἀτρεμὲς usu non fuisse frequentatum?

8. φίλοις] Juntina cum margine Steph. φιλίοις dat.

πολυεπαινετώτατος] Ald. Junt. πολυεπαινώτατος, quod in πολυεπαινότατος mutarunt recentiores. Quod vero Halensis, Castal. et ex Harleiano libro dedit Hutchinson, cum quo facit Guelf. contra analogiam peccare ait Zeune. Cui Weiske opponit πολυέραστος, πολυδάκρυτος, πολυγύμναστος, πολυθρύλλητος, πολύευκτος et similia a perfecto passivo derivata vocabula, quæ non conveniunt cum vocabulo πολυεπαίνετος, cui simile equidem nondum reperi.

ὅ, τι οὐκ εἰς τοῦτο συντείνει. Ὡς δ' ἐν βραχεῖ εἰπεῖν, ἅπαν-
τες ἐπιστάμεθα, ὅτι Ἀγησίλαος, ὅπου ᾤετο τὴν πατρίδα ὠφε-
λήσειν, οὐ πόνων ὑφίετο, οὐ κινδύνων ἀφίστατο, οὐ χρημάτων
ἐφείδετο, οὐ σῶμα, οὐ γῆρας προὐφασίζετο· ἀλλὰ καὶ βασι-
λέως ἀγαθοῦ τοῦτο ἔργον ἐνόμιζε, τὸ τοὺς ἀρχομένους ὡς πλεῖ-
στα ἀγαθὰ ποιεῖν. Ἐν τοῖς μεγίστοις δὲ ὠφελήμασι τῆς 2
πατρίδος καὶ τόδε ἐγὼ τίθημι αὐτοῦ, ὅτι δυνατώτατος ὢν ἐν τῇ
πόλει, φανερὸς ἦν μάλιστα τοῖς νόμοις λατρεύων. Τίς γὰρ
ἂν ἠθέλησεν ἀπειθεῖν, ὁρῶν τὸν βασιλέα πειθόμενον; τίς δ' ἂν
ἡγούμενος μειονεκτεῖν, νεώτερόν τι ἐπεχείρησε ποιεῖν, εἰδὼς τὸν
βασιλέα νομίμως καὶ τὸ κρατεῖσθαι φέροντα; Ὃς καὶ πρὸς 3
τοὺς διαφόρους ἐν τῇ πόλει, ὥσπερ πατὴρ πρὸς παῖδας, προσ-
εφέρετο· ἐλοιδορεῖτο μὲν γὰρ ἐπὶ τοῖς ἁμαρτήμασι, ἐτίμα δ',
εἴτι καλὸν πράσσοιεν, παρίστατο δ', εἴτις συμφορὰ συμβαίνοι,
ἐχθρὸν μὲν οὐδένα ἡγούμενος πολίτην, ἐπαινεῖν δὲ πάντας ἐθέ-
λων, σώζεσθαι δὲ πάντας κέρδος νομίζων, ζημίαν δὲ τιθεὶς, εἰ
καὶ ὁ μικροῦ ἄξιος ἀπόλοιτο· εἰ δ' ἐν τοῖς νόμοις ἠρεμοῦντες
διαμένοιεν, δῆλος ἦν εὐδαίμονα μὲν αἰεὶ ἔσεσθαι τὴν πατρίδα
λογιζόμενος, ἰσχυρὰν δὲ τότε, ὅταν οἱ Ἕλληνες σωφρονῶσιν.
Εἴγε μὴν αὖ καλὸν Ἕλληνα ὄντα φιλέλληνα εἶναι, τίνα τίς 4
εἶδεν ἄλλον στρατηγὸν, ἢ πόλιν οὐκ ἐθέλοντα αἱρεῖν, ὅταν οἴη-
ται πορθήσειν, ἢ συμφορὰν νομίζοντα τὸ νικᾷν ἐν τῷ πρὸς Ἕλ-
ληνας πολέμῳ; Ἐκεῖνος τοίνυν, ἀγγελίας μὲν ἐλθούσης αὐτῷ, 5
ὡς ἐν τῇ ἐν Κορίνθῳ μάχῃ ὀκτὼ μὲν Λακεδαιμονίων, ἐγγὺς δὲ

Cap. VII. 1. τὴν πατρίδα] Liber Harleianus τι additum habet.

σῶμα] Nepos cap. viii. *nam et statura fuit humili, et corpore exiguo, et claudus altero pede.* Infirmum corpus arguit hic locus.

2. νομίμως] Æquo animo, uti leges volunt.

3. διαφόρους] De his narrat similia Plutarchus Agesilai cap. v. alia in Apophthegm. Lacon. p. 185. multis verbis vitiosa.

σωφρονῶσιν] Et vires suas a mutuis inimicitiis translatas convertere contra communem hostem, regem nempe Persarum.

4. αὖ καλὸν] Aldina et Juntina καλὸν omittunt, et pro τὸ νικᾷν dant τὸν ἱκανόν.

5. ἐν Κορίνθῳ] Præpositionem omittit Guelf. verba item τῶν πολεμίων cum edd. vett. quæ ex versione Philelphi, Plutarcho, ex Hellenicis cum Leonclavio et Stephano restituit Hutchinson eumque secuti editores. Sed vulgo leguntur hoc ordine: ἐγγὺς δὲ τῶν πολεμίων μύριοι, quem mutavit Weiske. Ecce Priscianus p. 1173. ex h. l. habet ἐγγὺς δὲ μυρίων τεθνᾶσι τῶν πολεμίων. De numero occisorum ex utraque parte dissentientes scriptores varie conci-

μύριοι τῶν πολεμίων τεθναῖεν, οὐκ ἐφησθεὶς φανερὸς ἐγένετο,
ἀλλ' εἶπεν ἄρα, φεῦ, ὦ Ἑλλὰς, ὁπότε οἱ νῦν τεθνηκότες ἱκανοὶ
6 ἦσαν ζῶντες νικᾷν μαχόμενοι πάντας τοὺς βαρβάρους. Κο-
ρινθίων γε μὴν τῶν φευγόντων λεγόντων, ὅτι ἐνδιδοῖτο αὐτοῖς ἡ
πόλις, καὶ μηχανὰς ἐπιδεικνύντων, αἷς πάντες ἤλπιζον ἑλεῖν τὰ
τείχη, οὐκ ἤθελε προσβάλλειν, λέγων, ὅτι οὐκ ἀνδραποδίζε-
σθαι δέοι Ἑλληνίδας πόλεις, ἀλλὰ σωφρονίζειν. Εἰ δὲ τοὺς
ἁμαρτάνοντας, ἔφη, ἡμῶν αὐτῶν ἀφανιοῦμεν, ὁρᾷν χρὴ, μὴ
7 οὐδ' ἔχωμεν μεθ' ὅτου τῶν βαρβάρων κρατήσομεν. Εἰ δ' αὖ
καλὸν καὶ μισοπέρσην εἶναι, ὅτι καὶ ὁ πάλαι ἐξεστράτευσεν
ὡς δουλωσόμενος τὴν Ἑλλάδα, καὶ ὁ νῦν συμμαχεῖ μὲν τού-
τοις, μεθ' ὁποτέρων ἂν οἴηται μείζω βλάψειν, δωρεῖται δ'
ἐκείνοις, οὓς ἂν νομίζῃ λαβόντας πλεῖστα κακὰ τοὺς Ἕλληνας
ποιήσειν, εἰρήνην δὲ συμπράττει, ἐξ ἧς ἂν ἡγῆται μάλιστ' ἂν
ἡμᾶς ἀλλήλοις πολεμήσειν, ὁρῶσι μὲν οὖν ἅπαντες ταῦτα·
ἐπεμελήθη δὲ τίς ἄλλος πώποτε πλὴν Ἀγησίλαος, ἢ ὅπως

